This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

# PINDARI CARMINA

CUM

DEPERDITORUM FRAGMENTIS SELECTIS.

RELEGIT

F. G. SCHNEIDEWIN.

EDITIO ALTERA EMENDATIOR.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLXV.

KPD 1930

HARVARD
UNIVERSITY
LIBRARY
046*84

FRID. RITSCHELIO

SVO

MNEMOSYNON GASTVNENSE

ANNO MDCCCLV.

# PRAEFATIO.

---

Pindari carmina iterum edituro ad manus erant ab *Iulio Reslero* Silesio ex compluribus codicibus Italis sedulo excerptae scripturae, quarum partem vir doctus prompta in me voluntate transmisit. Inter eos codices excellit antiquus ille Vaticanus, quem *Tycho Mommsenius* recte dixit unum omnium optimum esse. Ego nec hunc nec reliquos sine fructu consului. Deinde cum cura expendi quae ab hominibus eruditis post Gothanam editionem, quam anno MDCCCXLIII instruxeram, in medium sunt allata, inter quae eminent emendationes *God. Hermanni* in libellis academicis propositae, maxime *Emendationes quinque carminum Olympiorum*, quas anno XLVII Lipsiae edidit. Eius ego libelli accuratam censuram scripsi in Nuntiis Litt. Gotting. a. XLVIII, nr. 66 sqq. p. 662 sqq. Alia mihi ipsi de cursu temporis subnata sunt. Iam cum caussae mutationum mearum magnam partem ex Gothana editione peti possint, restat, ut ea enumerem quae in his exemplaribus novavi: quae autem post annum L, quo haec exemplaria primum expressa sunt, prodierunt curae Pindaricae, eae certis de caussis nunc quidem in usum vocari non potuerunt. Igitur

Olymp. I, 5 dedi *μηκέτ' ἀελίου* ex libris melioribus, ut II, 32. 62. III, 24. Isthm. IV, 1, cfr. Ahrens Dial. Dor. p. 39 sq., non ausus idem ubi libri repugnarent. — 22 cum Hermanno comma post *δεσπόταν* delevi, posui post *Συρακόσιον*. — 50 *δεύτατα*, id ut cum virtute positum *καὶ δ.* sonet, cll. Sophoclis fr. 587 *κείνην ἀνοικτίρμων τις οἰκτείρειεν ἂν* et forte Aesch. Ag. 1163 *νεογνὸς ἂν βροτῶν μάθοι.* — 53 *κα-ἰρους* — 89 *μεμαότας* cum scholiis librisque optimis.

Olymp. II, 22 *ἀνακάς*, cfr. Philol. III, 118 sq. — 46 *τι* cum Aristarcho cll. Soph. O. R. 353. 817. — 55

ἐτυμώτατον ex optimis cum Mommsenio. — 56 ἓν δὲ — 57 αὖτις cum Rauchensteinio. — 75 ὀρθαῖσι cum Mommsenio. — 85 τὸ πὰν — 95 ἐπέβα cum Mommsenio ex optimis. — 97 θέλων cum Ahrente de Crasi et Aphaer. p. 17.

Olymp. III, 30 Ὀρθωσίας cum Ahrente Philol. III, 235. — 38 revocavi πα, ut id pertineat ad ὅτι πλείσταισι .... — 43 νῦν δὲ pro νῦν γε ex Scholl. Vrat. A: Νῦν δὲ ἀντὶ τοῦ νῦν ἤδη.

Olymp. VI, 53 γεγενημένον — 74 ἐκ δ' ἄλλων cum Er. Schmidio. — 75 πρῶτον e Scholl. et Vrat. A B Pal. C. — 91 κρατὴρ

Olymp. VII, 28 θενὼν — 29 ἔκτανεν — 80 κνισάεσσα

Olymp. VIII, 58 λαχεῖν,

Olymp. IX, 14 post Ὀπόεντος reposui comma cum Heynio. — 32 ἤρειδεν δέ μιν cum Hermanno, cfr. Fix ad Eur. Cycl. 42. — 46 Λαοὶ cum Dissenio. — 47 οἶμον — 56 κοῦροι κόραι τε φερτάτων Λελέγων cum Hermanno Emendatt. p. 5 sqq., ubi tamen κορᾶν τε volebat. Ego cum in censura illa p. 665 sqq. demonstravissem, ex qua parte Hermanni rationes laborarent, vir summus emendationem perfecit in litteris die sexto Iunii anni XLIII ad me datis, unde lubet promere haec: „Etwas curioses ist uns allen beiden passirt, mir, dass ich mir einen fehler habe zu schulden kommen lassen, den Sie, wofür ich Ihnen sehr dankbar bin, mit recht bemerkt haben; Ihnen, wofür ich Ihnen zum zweiten mahle danke, dass Sie die verbesserung mir nicht weggenommen haben, da Sie es mit einem striche thun konnten. Denn ich hätte schreiben sollen κόραι τε." — 76 Θετιόγνητος cll. censura illa p. 670. — 112 Αἰαντέων ἐν δαίθ'

Olymp. X, 10 πραπίδεσσιν ἐςαεί cum Bergkio.

Olymp. XI, 9 ὁρᾶτ' ὦν νῦν ψ. ἐλ. ὅπα ..., quia enuntiatum ab ὅπα incipiens non videbatur posse verbo, unde suspendatur, carere. Cfr. etiam *Fr. Wieselerus* in Philol. VI, 668. — 24 ἐξήριτον cum Hermanno. — 25 βία Ἡρακλέος cum eodem. — 71 Φράστωρ δ' — 72 δὲ Νικεὺς cum Meinekio. — 87 μάλα δέ οἱ cum Boeckhio.

Olymp. XIII, 5 Ποτιδᾶνος, ut 40 ex Pal. C. — 35 Θεσ-

σαλοῖ' ex librorum optimorum Θεσσαλοῖο, v. Ahrens Philol. III, 235. — 72 ἄνα δ' ἔπαλτ' cum Heynio. — 79 ἃ τάχιστα cum Kaysero et Hermanno. — 83 τέλλει cum Hermanno. — 88 cum eodem ἐρήμων, ut 107 Ἀρκάσι μάσσω — 114 κούφοισί μ'

Olymp. XIV, 6 γλυκέ' ἄνεται cum Kaysero, ut cum libris in antistr. ἐν μελέταις τ'

Pyth. II, 67 σὲ ποτὶ π. λ. cum Bergkio.

Pyth. III, 6 Ἀσκλαπιόν

Pyth. IV, 8 ἀργινόεντι — 36 ἵν — 147 νῷν, ut et Vaticanus habet. — 184 τόνδ' αὖεν Emperius.

Pyth. V, 73 sqq. Hermannum plane secutus sum. — 112 δὲ

Pyth. VI, 4 ἐς λάϊνον cum Bergkio.

Pyth. VII, 1 μεγαλοπτόλιες cum Boeckhio olim, quoniam πολίεσι v. 9, ubi Vat. Medic. B et F πολίεσσιν, ferri nequit.

Pyth. VIII, 68 κατά τιν' ἁρμονίαν

Pyth. IX, 18 ἐφίλησεν — 31 κραδίᾳ — 37 μελιαδέα cum Vaticano. — 64 rectius interpunxi. — 91 φατὶ — Fortasse v. 85 recte Vat. Ἀλκμάνα

Pyth. X, 5 θέλοντες cum Vat. aliisque. — 17 ex Vat. ἕποιτο — 21 θεὸς αἰεί — 57 Ἱπποκλέαν

Pyth. XI, 26 ἀμβλάκιον ex Vat. — 55 ἅτ' malit Ahrens de Crasi et Aphaer. p. 19.

Pyth. XII, 12 τε πέτρᾳ cum Hermanno.

Nem. I, 27 post προϊδεῖν posui comma cum Rauchensteinio.

Nem. III, 34 κίαωλκὸν cum Ahrente Philol. III, 235. — 41 ψεφεννὸς — 54 Ἀσκλαπιόν. Versu 29 Vat. ἐσλὸν αἰνεῖν, idem 47 σωμάτια.. ἀσθμαίνοντα, ut illud ex dittographia σώματι et σώματα natum esse appareat.

Nem. V, 35 νεομηνίᾳ cum Vat.

Nem. VI, 11 ἐκ πεδ. cum Hermanno, ut 18 ὁμαιχμίου - 26 ἐπεί οἱ — 49 νικῶντ' ἤρεφε δασκίοις — 68 τ' cum rmanno.

Nem. VII, 47 θεμισκόπον cum Dindorfio in Thes. Steph. 286. — 61 σκοτεινὸν sine nota vitii, cll. Hermanni El. D. p. 24 — 83 κρατὴρ

Nem. IX, 47 παρὰ κρατῆρι cum Scholl. Luciani, Orione Et. 33, 15 et Etym. Sorbon. p. 185, 12. — 55 σκοποῖ' cum Ahrente Philol. III, 235.

Nem. X, 15 ἐναρόντ' ὄψιν οἱ cum Ahrente. — 24 Hermannus δυςφόρων flagitat, ego εὔφρον' ὢν conieci. — 43 ἀπέβαν cum Vat. — 84 ascivi nunc Hermanni scripturam.

Nem. XI, 7 κνίσα, ut cum aliis Vat.

Isthm. I, 48 fortasse recte τράφει Vat. — 63 Hermannus fallitur cum σεσιγαμένον requirit, cfr. ad Ol. XIII, 91. Commemorat σωπάσομαι Et. Leid. p. 2469[b] Gaisf.

Isthm. III, 17 διέστιχον cum libris omnibus, v. Lobeck. ad Buttmanni Gramm. II, 293 et Dindorf. Thes. Steph. II, 1323. — 23 βιότου, cum etiam Vat. βίου, non τὸ βίου exhibeat. Idem codex unus 36 ἄνθησε pro vitio reliquorum ἄνθος praebet, ut Chrysippus videtur legisse. — 58 comma post ἕρπει commendavit Rauchensteinius. — 89 καὶ Hermannus: τε etiam Vat. ignorat.

Isthm. IV, 1 Ἀελίου ex Vat. aliisque, cfr. ad Ol. I, 5. — 42 secutus sum Hermannum, cuius emendationem valde commendat Tzetza in Homer. p. 20 τίς γὰρ ἐσθλὸν Τήλεφον ἑῷ δορὶ τρῶσε Καΐκου πρὸς ὄχθαις.

Isthm. V, 2 κρατῆρα ex libris omnibus. — 42 γ' delevi cum Ahrente de Crasi et Aphaer. p. 21.

Isthm. VI, 44 ὅ τοι, quod in Gothana proponebam, fidenter reddidi poetae ex Vat.

Isthm. VII, 7 ἀπράκτων cum Scholiis. — 31 ἐπάκουσαν cum Hermanno, εἶπε δ' ex Scholiis vetustis ab I. Reslero et T. Mommsenio editis. — 46 ἄνακτε ex mea et Rauchensteinii suspitione. — 56 οὔτε ex Scholiis. — 59 καὶ ἀθανάτοις ex Scholiis et Med. B.

Fragm. 4, 4 ἐκτίσσατο

Paean. fr. 2 dedi scripturam eam, quam ex vitiis librorum concinnabam Philol. V, 366 sq., refutatam a Bergkio postea et Wieselero Philol. VI, 736. Qui quod posuit Χρύσειαι δ' ὀξὺ παρ' αἰετοῦ, vereor equidem ne paucis approbarit. Bergkius probabilius Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ

Dithyramb. fr. 3, 13 quod in Gothana dixeram latere aliquid in scripturis librorum, feliciter eruit Herm. Ad.

Kochius Philol. VI, 734 *φοινικοεανῶν ὁπότ᾽ οἰχθέντος Ὡρᾶν θαλάμου*. De hoc carmine cum consuluissem G. Hermannum, die quinto Nov. anni XLIII haec rescripsit: „Sie wünschen meine meinung über zwei fragmente zu erfahren. In dem 3 aus den dithyramben lässt sich, wie ich glaube, das *ἐν Ἀργείᾳ Νεμέᾳ* leicht erklären, wenn man annimmt, dass der dithyrambe von Athen nach Nemea geschickt worden ist. In dem fr. sind aber noch manche verstösse gegen die poetische sprache zu beseitigen. Es wird so lauten müssen:

*Ἴδετ᾽ ἐν χορόν, Ὀλύμπιοι,*
*ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,*
*πολύβατον οἵτ᾽ ἄστεος ὀμφαλὸν θυόεντα*
*ἐν ταῖς ἱεραῖς Ἀθάναις*
*οἰχνεῖτε, πανδαίδαλόν τ᾽ εὐκλέ᾽ ἀν᾽ ἀγορὰν*
*ἰοδετᾶν λάχετε στεφάνων*
*τὰν ἐαρίδρεπτον λοιβάν,*
*Διόθεν τέ με σὺν ἀγλαΐᾳ*
*ἴδετε πορευθέντ᾽ ἐς ἀοιδὰν*
*δεύτερον ἐπὶ κισσοδέταν θεόν,*
*ὃν βρόμιον, ὃν ἐριβόαν βροτοὶ καλέομεν,*
*ὑπάτων μὲν πατέρων γόνον μελπόμενοι,*
*γυναικῶν τε Καδμείαν Σεμέλαν.*
*ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει*
*φοίνικος ἔρνος, ὁπότ᾽ οἰχθέντος Ὡρᾶν θαλάμου*
*εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.*
*τότε θάλπεται, τότ᾽ ἐπ᾽ ἀμβρόταν χθόν᾽ ἐραταὶ*
*ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,*
*ἀχεῖ τ᾽ ὀμφαὶ μελέων σὺν αὐλοῖς,*
*ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.* —"

Sed de vv. 12 et 13 erravisse virum praestantissimum ar…unt Scholia recens edita ad Isthm. VII, 35, quae plurali pro singulari Pindaro familiare esse his verbis allatis …ent: *ὑπάτων μέν τε πατέρων γυναικῶν τε Καδ-…ᾶν, ἀντὶ τοῦ Διὸς καὶ Σεμέλης.*

Prosod. 3, 4 *θρόνῳ* — 9, 3 *δίνασ᾽ ἄπο* cum Din-…fio.

Hyporch. fr. 4 in aliquot locis ascivi emendationes Hermanni, qui difficillimum carmen expolire conatus est in progr. Lips. ann. XLV edito: *Pindari ad solem deficientem versus.* Idem in illis quas dicebam litteris nonnulla aliter conformabat. Sed afferam ipsa eius verba: „In dem fragmente des hyporchems auf die sonnenfinsterniss beweist Plutarch nichts für *ἐπὶ σκότου ἀτραπόν*; auch ist der hiatus anstössig. Ebensowenig kann Neumanns „göttergespann“ ein zeugniss für *ἵππους ζαθέας* sein, da vielmehr der Armenier *ἵππους θοὰς* und *θείας* verwechselt zu haben scheint. *Θοὰς* ist hier fast nothwendig und in dem *θα* vor *θοὰς* scheint ein participium zu liegen, da man sonst die beiden accusative *ἵππους* und *τέρας* nicht construiren kann. Das ganze fragment möchte daher etwa so zu verbessern sein:

*Ἀκτὶς Ἀελίου τί πολύσκοπ᾽, ἐμῶν μᾶτερ ὀμμάτων,*
*ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ*
*κλεπτόμενον ἔθηκας ἀμάχανον ἰσχὺν ποτανὰν ἀνδράσιν*
*καὶ σαφανείας ὁδόν,*
*ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα*
*ἐλαύνειν τι νεώτερον ἢ πάρος;*
*ἀλλά σε πρὸς Διὸς ἵππους στάσαισα θοὰς ἱκετεύω*
*ἀπήμον᾽ ἐς ὄλβον τινὰ τράποιο Θήβαις,*
*ὦ πότνια, πάγκοινον τέρας.*
*πολέμου δ᾽ εἰ σᾶμα φέρεις τινός, ἢ καρποῦ φθίσιν,*
*ἢ νιφετοῦ σθένος ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,*
*ἢ πόντου κενέωσιν ἂμ πέδον,*
*ἢ παγετὸν χθονός, ἢ νότιον θέρος ὕδατι ζακόρῳ διερόν,*
*ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,*
*ὀλοφύρομαι οὐδὲν ὅ τι πάντων μέτα πείσομαι.*“

Scol. I, 17 *δηὖτ᾽* cum Lud. Dindorfio.

Scol. II, 8 *θεᾶς*, reliqua fere cum Hermanno.

Fragm. inc. 55 restitui in Nuntiis Litt. Gotting. a. XLVII, nr. 156: aliter Hermannus Philol. II, 135.

Fragm. inc. 81 *ἀνακηκίει* cum Bergkio.

Fragm. inc. 120 conformavi ad mentem Hermanni *de verss. ad solem defic.* p. 9.

Fragm. inc. 122 praeclare restitutum est a Maur. Hauptio ope scholiastae Medicei Aesch. Perss. 49:

*Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,*
*ἐγχέων προοίμιον, ᾇ θύεται*
*ἄνδρες ὑπὲρ πολίων τὸν ἱρόθυτον θάνατον.*

Sed haec hactenus. Consilium est in Addendis editionis Gothanae, ubi absolvero, diiudicare omnia, quae vel ad emendationem vel ad interpretationem poetae his annis proximis sunt in medium prolata.

# VITA PINDARI.

(Ex Eustathii prooemio commentariorum Pindaricorum.)

Ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ κατὰ τὸ Ἐπαμεινώνδας, Κρεώνδας· κατὰ δέ τινας Δαϊφάντου ἢ Σκοπελίνου αὐλητοῦ καὶ Μυρτοῦς. ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί φασιν εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα ἤπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ, τῷ περιᾳδομένῳ Λάσῳ τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν δυωνυμίας λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι. ἄλλοι δὲ πάτρων Πινδάρου εἴτε πατρωὸν τὸν Σκοπελῖνον εἶπον γενέσθαι. εἰσὶ δ' οἳ καὶ οὐ Μυρτώ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Βίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. τέθνηκε δὲ ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. ἔσχε δέ φασι θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, καὶ υἱὸν δὲ Δαΐφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἦ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι  
ἔκλαυσαν, πινυταὶ Πινδάριαι θύγατρες,  
Ἀργόθεν ἦμος ἵκοντο, κομιζούσ' ἔνδοθι κρωσσοῦ  
λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ πῶς ἐν Ἄργει θανὼν ὁ Πίνδαρος εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἐστὶν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα

καὶ θανὼν κατ' αὐτὸ τὸ Ἄργος ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. τῷ δὲ ῥηθέντι υἱῷ Δαϊφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ, ὅς φασι καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιούς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ἢ νεώτερος πρεσβυτέρου. τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ' ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν Σικελίαν. καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. λέγεται γάρ, ὅτι Πίνδαρος ἐρωτηθείς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει, ἔφη· διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

ᾄδεται δὲ καὶ ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. διὰ δὲ τὸ θεοφιλὴς δόξαι καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω φασὶν αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ, καὶ τὸν ἱερέα δὲ βοᾶν ἐν ταῖς θυσίαις· «Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ·» ἢ καὶ ἄλλως· «Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ.» κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν κηρύσσει καθ' ἡμέραν· «Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ.» καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών·

Πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾗ πρῶτος εὐνάσθην ἀγαπατὸς ἐν σπαργάνοις.

λέγεται δὲ καὶ ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου. διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή·

Ὦ Πάν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ.

τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν εἶνο·

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.

οὐδὲ μάτην λαροῖς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος
ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
μάρτυς ὁ Μαινάλιος κερόεις θεὸς ὕμνον ἀείσας
τὸν σέο καὶ νομίων λησάμενος δονάκων.

λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο νεβρείους μὲν αὐλούς, τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. δῆλον γάρ, ὡς νεβρὸς το νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, ουτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. ἡ δὲ χέλυς, ο ἐστιν ἡ κιθάρα, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ' ὀλίγα γεγράψεται), καθ' ου ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. ο δὲ ἑσμὸς δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. δασύνεται γὰρ ἀπὸ τοῦ ἕζω. κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ περὶ ζώων ἱστορίας ἀφεσμός. τὸ δὲ κηρόδετον μέλι ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ κηροπλάστῳ δόνακι, ὃς δηλοῖ τὸ σύριγγα. Μαινάλιος δὲ θεὸς ὁ Πὰν ὡς Ἀρκαδικός. ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρει. κερόεις δὲ ὁ αὐτός, ἐπεὶ κερασφόρος ἐπλάττετο, διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντός, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. ὅτι δὲ κέρατα ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαί, δηλοῖ ὁ γράψας ὑψικέρατα πέτραν, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. ὕμνον δὲ ἀείσας ταὐτόν ἐστι τῷ ᾄσας παιᾶνα, τόν, ὡς δεδήλωται, Πινδαρικόν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. δόνακες δὲ νόμιοι, τουτέστι φίλοι τοῖς νέμουσι· καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμούς, ἃ τῷ Πανὶ φίλα εἰσί. καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. λέγεται δὲ καί, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, εἰ μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· Πότνια θεσμοφόρε· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ φασι καὶ Ἴστρος ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα κηρία ἐνέ-

θετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτόν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. καὶ οὕτως οἰωνισάμενος ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους ἢ Ἀπολλοδώρου, ὃν φασι καὶ προϊστάμενον κυκλίων χορῶν καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστωθὲν διακοσμήσαντα περιβοηθῆναι. τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνῆμα τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι, κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ. λέγεται δὲ καί, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σφῶν βασιλεύς, ἀπέσχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον τό·

*Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε.*

τοῦτο δέ φασι καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας ἐφύλαξε τὴν οἰκίαν, ἣ καὶ εἰς πρυτανεῖον ὕστερον ἀπετελέσθη.

φέρεται δὲ λόγος, καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος αἰτῆσαι Πινδάρῳ οἷα φίλῳ τὸ ἐν ἀνθρώποις ἄριστον· καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα, ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὂν καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἕωθεν οὐκ ἔτ' ἦσαν ὡς θανάτῳ ἀπεληλυθότες. καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μ[illegible]ρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισ[illegible]ην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν) ἔτυχ[illegible] μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν, αὐτοὶ δὲ προὐκαλέσ[illegible]το θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. ἀλλὰ ταῦτα μὲν οἱ[illegible] παρερρίφθω οὐδ' αὐτὰ εἰς κενόν.

τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,
οὐκ οἶον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,
εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.
τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
ὅς ῥά τε οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
ἀλλὰ τὸ μὲν μετόπισθεν. ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
ἤϊα καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠΰκερως Πὰν
Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.
ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
τῷ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
τῶν πισύρων, μακάρων παιήονας ἔν δέ τε θρήνους,
καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,
ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε.

Πίνδαρος ἐρωτηθεὶς, τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφόσε δ' ἐρωτηθεὶς, τί πάρεστι θύσων, παιᾶνα εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί. πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; οὐ μόνον εὖ πράττοντος ἔφη δεῖσθαι, ἀλλὰ καὶ πράξαντος. τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται; καὶ γὰρ οἱ ναυπηγοὶ ἔφη πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ οἴδασι. τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστήν, διὰ τί δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς ὡς κορυφαῖον χοροῦ ἄριστον.

εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ κωμικῷ προστέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. εἰ δὲ καὶ ὕμνοι λέγονται οἵ -τοί, ἀλλ' αὐτὸ παραχρήσεως εἶδος ἐστί, καθ' ἣν καὶ τὸ -νεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ -· Ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις. -ῆλον δέ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη, τουτ-τιν ἰδέαι, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν -; εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. με

λοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδὸς καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει, ἀλλ᾽ αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ ἀναξιφόρμιγγες ὕμνοι καὶ ἑξῆς. εἰ δ᾽ ἴσως ταὐτόν τι φόρμιγξ καὶ λύρα, οὐδ᾽ οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. ὡς δὲ λύρα εἴρηται ἢ παρὰ τὸ λύειν ἀράς, οἷς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς λύτρον καταλλακτήριον εὑρεθῆναι ὑπὸ Ἑρμοῦ, ὃς χέλυν, ὅ ἐστι λύραν, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης, δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς, οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Α΄.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι ΚΕΛΗΤΙ.

Strophae.



Epodi.



Στρ. α΄.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύεν

*ἔλδεαι, φίλον ἦτορ,*
*μηκέτ' ἀελίου σκόπει*
*ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος.*
*μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·*
*ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται*
*σοφῶν μητίεσσι, κελαδεῖν*
*Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους*
*μάκαιραν Ἱέρωνος ἑστίαν,*

*Ἀντ. α΄.*

*θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμήλῳ*
*Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν*
*ἀγλαΐζεται δὲ καὶ*
*μουσικᾶς ἐν ἀώτῳ,*
*οἷα παίζομεν φίλαν*
*ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν. ἀλλα Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου*
*λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις*
*νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,*
*ὅτε παρ' Ἀλφεῷ σύτο δέμας*
*ἀκέντητον ἐν δρόμοισι παρέχων,*
*κράτει δὲ προσέμιξε δεσπόταν*

*Ἐπ. α΄.*

*Συρακόσιον, ἱπποχάρμαν βασιλῆα. λάμπει δέ οἱ κλέος*
*ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·*
*τοῦ μεγασθενὴς ἐράσσατο γαιάοχος*
*Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ*

**Diversitas scripturae Heynianae.**

v. 5. *μηκέθ' ἁλίου* — v. 6. *φαεινὸν* — v. 10. *ἱκόμενοι* — v. 12. *πολυμάλῳ* — v. 22. *δεσπόταν, Συρακόσιον* — v. 24. *παρ' εὐάνορι*

ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
ἦ θαυματὰ πολλά, καί πού τι καὶ βροτῶν φάτιν
ὑπὲρ τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦ-
θοι.

Στρ. β'.

Χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τοπολλάκις·
ἁμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά·
μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι,
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

Ἀντ. β'

δαμέντα φρένας ἱμέρῳ χρυσέαισιν ἀν' ἵπποις
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι,
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλα μαιό-
μενοι φῶτες ἄγαγον·
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυρὶ ζέοισαν ἀμφ' ἀκμὰν

v. 28. θαύματα — Ibid. βροτῶν φρένας ὑπὲρ τὸν ἀληθῆ · v. 37 seq. πατὴρ ἐς εὔνομ. ἔρανον— v. 41. χρυσέαισί τ' ἀν'

μαχαιρᾳ τάμον κάτα μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

Ἐπ. β΄.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν. ἀφίσταμαι.
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὑπερκρέμασε καρτερὸν αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

Στρ. γ΄.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
ἔθεσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

v. 49. κατὰ μέλη, — v. 53. κακαγόρως — v. 57. ταν οἱ — v. 60. τέταρτον, πόνον — v. 64. θέσσαν et λασέμεν — v. 66. αὖθις

*Αντ. γ'.*

Πισάτα παρα πατρὸς εὔδοξον Ἱπποδάμειαν
σχεθέμεν. ἄγχι δ' ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν
ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι,
Ποσείδαον, ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας ἀναβάλλεται γάμον

*Ἐπ. γ'.*

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα
λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος
ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατ' ὦν ἔπεσι.
τὸν μὲν ἀγάλλων θεὸς
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαν-
τας ἵππους.

*Στρ. δ'.*

ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον·

v. 74. ποσὶ — v. 79. τρεῖς γε — v. 84. οὑτοσὶ ἆθλός γ'
v. 86. ἔπεσσι. — v. 87. δίφρον χρύσεον ἐν πτεροῖσιν

*τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.*
*νῦν δ' ἐν αἱμακουρίαις*
*ἀγλααῖσι μέμικται,*
*Ἀλφεοῦ πόρῳ κλιθείς,*
*τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ. τὸ δὲ κλέος*
*τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις*
*Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται*
*ἀκμαί τ' ἰσχύος θρασύπονοι·*
*ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον*
*ἔχει μελιτόεσσαν εὐδίαν*

*Ἀντ. δ΄.*

*ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν*
*ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι*
*κεῖνον ἱππίῳ νόμῳ*
*Αἰοληΐδι μολπᾷ*
*χρή· πέποιθα δὲ ξένον*
*μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἀλλὰ καὶ δύναμιν κυριώτερον*
*τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.*
*θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται*
*ἔχων τοῦτο κᾶδος, Ἱέρων,*
*μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,*
*ἔτι γλυκυτέραν κεν ἔλπομαι*

*Ἐπ. δ΄.*

*σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λογων,*
*παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν*

v. 89. *τέκε δὲ λ. ἓξ ἀρ. μεμαλότας* — v. 99. *ἀεὶ* — v. 101 *ἱππικῷ* — v. 104. *ἄλλον ἤ* — v. 107. *κῆδος*

*Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·*
*ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυφοῦται*
*βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.*
*εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, ἐμέ τε τοσσάδε νικαφόροις*
*ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.*

---

## *ΟΛΥΜΠΙΟΝΙΚΑΙ Β'.*

## *ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι*

### *ΑΡΜΑΤΙ.*

---

Strophae.



Epodi.



Ἀναξιφόρμιγγες ὕμνοι, Στρ. α΄.
τίνα θεόν, τίν᾽ ἥρωα, τίνα δ᾽ ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ᾽ ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπι δίκαιον ξένων, ἔρεισμ᾽ Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

καμόντες οἳ πολλὰ θυμῷ Ἀντ. α΄.
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ᾽ ἔσαν
ὀφθαλμός, αἰών τ᾽ ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ᾽ ἀρεταῖς.
ἀλλ᾽ ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ᾽ Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων Ἐπ. α΄
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ᾽ ἂν
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ᾽ ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

ὅταν θεοῦ Μοῖρα πέμπῃ Στρ. β΄.
ἀνακὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις

v. 6. γεγωνητέον ὀπι, δικαιον ξένον, — v. 22. ἀνεκὰς

*Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ' ἐπίτνει βαρὺ*
*κρεσσόνων πρὸς ἀγαθῶν.*
*ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ*
*κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ δέ μιν Παλλὰς αἰεὶ*
*καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.*

*λέγοντι δ' ἐν καὶ θαλάσσᾳ* 'Αντ. β'.
*μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον*
*Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε κέκριται*
*πεῖρας οὔ τι θανάτου,*
*οὐδ' ἁσύχιμον ἁμέραν ὁπότε, παῖδ' ἀελίου,*
*ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι*
*εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.*

*οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον* Ἐπ. β'.
*τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ*
*ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·*
*ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱὸς*
*συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν*
*παλαίφατον τέλεσσεν.*

*ἰδοῖσα δ' ὀξεῖ' Ἐρινυς* Στρ. γ'.
*ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·*
*λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις*

v. 23. δὲ πιτνεῖ — v. 30. abest γε. — v. 32. ἁλίου, — 38. Λάϊον — v. 41. Ἐριννὺς — v. 42. πέφνεν ἑοῖ — v. 43. πόντι

ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντι ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς Ἀντ. γ'.
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
ἄγαγον. το δὲ τυχεῖν
πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,

ἀστὴρ αρίζηλος, ἐτυμώτατον Ἐπ. γ'.
ἀνδρὶ φέγγος· ἐν δέ μιν ἔχων τις οἶδεν το μέλλον,
ὅτι θανόντων μὲν ἐνθάδ' αὔτις ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

ἶσον δὲ νύκτεσσιν αἰεί, Στρ. δ'.
ἶσα δ' ἐν ἁμέραις ἀέλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δεδόρκαντι βίον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ

v. 46. ἔχοντα — v. 52. δυσφρονων. — v. 55. ἀλαθινον pro ἐτυμώτατον — v. 56. εἰ δέ μιν ἔχει τις. — v. 62. ἅλιον — v. 63. ἐσλοὶ νέμονται βίοτον, et ibid. ταράσσοντες ἀλκᾷ χερῶν,

κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρα μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

ὅσοι δ' ἐτόλμασαν ἐςτρὶς 'Αντ. δ'.
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νάσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κεφαλὰς

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, 'Επ. δ'.
ὃν πατὴρ ἔχει Κρόνος ἑτοῖμον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
'Αχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ

ὃς Ἕκτορ' ἔσφαλε, Τρῴας Στρ. ε'.
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
'Αοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

v. 71. νᾶσον — v. 72. περιπνέουσιν, — v. 74. καὶ στε-λίνοις — v. 75. ὀρθαῖς — v. 81. Τροίας — v. 87. γαρυέμεν

Διὸς πρὸς ὄρνιχα θεῖον. Ἀντ. ε΄.
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλ-
λομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀϊστοὺς ἱέν-
τες; ἐπί τοι
Ἀκράγαντι τανύσαις·
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν φίλοις
ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος Ἐπ. ε΄.
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀν-
δρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν
καλοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν·
ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

v. 95. αἶνον ἔβα — v. 97. ἐσθλῶν κακοῖς

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ΄.

## ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

### ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

---

Strophae.

–⏑⏑–⏑⏑–––⏑–––́⏑⏑–⏑⏑⏓
––⏑⏑–⏑⏑–––́⏑⏓
––́⏑⏑–⏑⏑–––́⏑–––⏑⏑––́⏑⏓
––́⏑–––́⏑–––́⏑–––́⏑⏑–⏑⏑–––́⏑⏓
–⏑–––⏑–––́⏑–⏒

Epodi.

– ⏑ – ⏒ – ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α'.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω τοι παρέστα μοι νεοσίγαλον εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαοκωμον. ἐπεὶ χαιταισι μὲν ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως, ἅ τε Πίσα με γεγωνεῖν· τᾶς ἄπο
θεύμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

Ἐπ. α'.

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας,
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας· τάν ποτε

v. 4. οὕτω ποι — v. 13. βάλοι

Ἴστρου ἀπο σκιαρὰν παγᾶν ἔνεικεν Ἀμφιτρυω-
νιαδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἄθλων,

Στρ. β'.

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θερά-
ποντα λόγῳ·
πιστὰ φρονέων Διος αἴτει πανδόκῳ
ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στε-
φανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων,
διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμον ἀντέφλεξε Μήνα,

Ἀντ. β'.

καὶ μεγάλων ἀέθλων ἁγναν κρίσιν καὶ πενταε-
τηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις
Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπα-
κουέμεν αὐγαῖς ἀελίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν'

Ἐπ. β'.

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυ-
γνάμπτων μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πα-
τρόθεν

v. 16. θεράποντα. ὅγε — v. 18. ἀρετᾶς. — v. 23. ἔθαλλε — v. 24. ἔδοξε et ἁλίου — v. 25. πόρευεν

χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε
Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσίας ἔγραψεν ἱράν.

Στρ. γ'

ταν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιᾶς ὄπι-
θεν Βορέα
ψυχροῦ. τόθι δένδρεα θαύμαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον
περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος
ἀντιθέοισιν νίσσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γ'.

τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν
ἀγῶνα νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πα θυμὸς ὀτρύνει φάμεν
Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος, εὐίππων διδόντων Τυν-
δαριδᾶν, ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γ'.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς
αἰδοιέστατον,
νῦν δὲ πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων
ἅπτεται

v. 30. Ὀρθωσιᾳ ἔγρ. ἱεραν· — v. 31. κᾳκειναν — v. 35. μοις — v. 43. νῦν γε

οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἐστι σοφοῖς ἄβατον
κἀσόφοις. οὔ μιν διώξω· κεινὸς εἴην.

v. 44. στηλᾶν — v. 45. οὐ μὴν

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Δ'.

## ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

### ΑΠΗΝΗι.

---

Strophae.



Epodi.



Στρ.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ·
τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ'
ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
ξείνων δ' εὖ πρασσόντων, ἔσαναν αὐτίκ' ἀγ-
γελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀμ-
βρίμου,
Οὐλυμπιονίκαν δέκευ
Χαρίτων ἕκατι τόνδε κῶμον,

Ἀντ.

χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ψαύ-
μιος γὰρ ἵκει
ὀχέων, ὃς ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι κῦδος
ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί μιν αἰνέω μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις
καὶ πρὸς ἁσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τε-
τραμμένον.
οὐ ψεύδεϊ τέγξω λόγον·
διάπειρά τοι βροτῶν ἔλεγχος·

Ἐπ.

ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν

v. 7. ἠνεμόεσσαν et ὀβρίμον, — v. 10. ἧκει — v. 15. .νίαις

ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον
ἔειπεν Ὑψιπυλείᾳ μετὰ στέφανον ἰών·
Οὗτος ἐγὼ ταχυτᾶτι·
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν
πολιαὶ θαμὰ καὶ παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

v. 22. χαλκοῖσι — v. 26. νέοις ἐν ἀνδράσι πολιαί, continuato versu.

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ε'.

## ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι ΑΠΗΝΗι.

---

Strophae.

x
– – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ –
x
– – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑⏑ – –́ ⏑ – ⏑ – ⏒
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏒

Epodi.

x
– – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏒
x
– – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏒

Στρ. α'.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

Ἀντ. α'.

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον

v. 4. Καμαρίνα

βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,

Ἐπ. α΄.

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄκρων' ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

Στρ. β΄.

ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε Ὤανιν, ἐγχωρίαν τε λίμναν,

Ἀντ. β΄.

καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ἀπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν

Ἐπ. β΄.

αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον
κινδύνῳ κεκαλυμμένον· ἠὺ δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

Στρ. γ΄.

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντ' Ἰδαῖόν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

v. 6. πεμπταμέροις — v. 11. Ὤανον — v. 16. εὖ δὲ ἔχοντες

*Ἀντ. γʹ.*

*αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς*
*δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσειδανίαισιν ἵπποις*
*ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,*

*Ἐπ. γʹ.*

*υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει,*
*ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς, μὴ ματεύσῃ θεὸς γενέσθαι.*

v. 21. *Ποσειδανίοισιν* — v. 22. *εὔθυμον, ἐς τελευτάν*

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ϛʹ.

## ΑΓΗΣΙΑι ΣΥΡΑΚΟΣΙΩι

## ΑΠΗΝΗι.

---

Strophae.



Epodi.



Στρ. α'.

Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον,
πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον
χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;

Ἀντ. α'.

ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων
Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ.
Ἀγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ
ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμφιάρηον
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.

Ἐπ. α'.

ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαϊονίδας
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς,

v. 3. ἀρχομένους — v. 6. Συρακουσᾶν· — v. 13. Ἀμιάραον

ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνα-
σθαι. τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὢν φιλόνεικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως
μαρτυρήσω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Στρ. β'.

Ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνά-
μεν αὐταῖς·
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμε-
ρόν μ' ἐλθεῖν ἐν ὥρᾳ·

Ἀντ. β'.

ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
παῖδ' ἰοβόστρυχον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλ-
φεὸν οἰκεῖν·
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον
ἔψαυσ' Ἀφροδίτας.

v. 18. δεσπότᾳ νῦν πάρστι — v. 19. οὐ φιλόνεικος ἐὼν οὔτ' ὢν δύσερίς τις ἄγαν, — v. 25. ἄλλαν — v. 28. σάμερόν γ' ἐλθεῖν — v. 33. βρέφος γ',

*Ἐπ. β'.*

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα
θεοῖο γόνον·
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις χόλον οὐ
φατὸν ὀξείᾳ μελέτᾳ,
ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πά-
θας.
ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα
κάλπιδά τ' ἀργυρέαν, λόχμας ὑπὸ κυανέας
τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας
πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·

*Στρ. γ'.*

ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς
Ἴαμος
ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμ-
φεῖ
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ
πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας
ἐν οἴκῳ
εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι· Φοίβου γὰρ αὐ-
τὸν φᾶ γεγάκειν

*Ἀντ. γ'.*

πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθο-
νίοις
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι

v. 37. Πυθώναδ', — v. 38. ταύτας περ — v. 42. Ἐλευθὼ
[σ]υμπαρέστασεν

οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον. ἀλλ' ἐν
κέκρυπτο γὰρ σχοίνῳ βατίᾳ τ' ἐν ἀπειράτῳ,
ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί μιν χρόνῳ σύμπαντι μάτηρ

Ἐπ. γʹ.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν,
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμάτας σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλασέν τέ μιν· Ὄρσο, τέκνον,
δεῦρο πάγκοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.

Στρ. δʹ.

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου·
ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωστον, εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν, πατρὶ
ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν.

v. 53. γεγεναμένον — ib. sequ. ἐγκέκρυπτο — v. 66. ἀκούειν — v. 68. πατρός θ'

'Αντ. δ'.

ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμι-
δᾶν.
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς
ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει
χρῆμ' ἕκαστον· μῶμος ἐκ δ' ἄλλων κρέμαται
φθονεόντων
τοῖς, οἷς ποτε πρῶτον περὶ δωδέκατον δρόμον
ἐλαυνόντεσσιν αἰδοία ποτιστάξει Χάρις εὐκλέα
μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄροις, Ἁγησία, μά-
τρωες ἄνδρες

'Επ. δ'.

ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυ-
σίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας
ἔχει μοῖράν τ' ἀέθλων
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σω-
στράτου,
σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,
ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόοισι πνοαῖς·
ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,

Στρ. ε'.

πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν
ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων

v. 74. Μῶμος — v. 75. πρωτοις περὶ δωδ. δρόμον γ' v. 76. ποτιστάζει — v. 77. ὄρος, — v. 83. προσέλκει

*ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,*
*Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,*
*γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν*
*λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,*
*ἠϋκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·*

*Ἀντ. ε'.*

*εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·*
*τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,*
*ἄρτια μηδόμενος, φοινικόπεζαν*
*ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,*
*καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν*
*λύραι μολπαί τε γιγνώσκοντι. μὴ θράσσοι χρόνος ὄλβον ἐφέρπων.*
*σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἀγησία δέξαιτο κῶμον*

*Ἐπ. ε'.*

*οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισσόμενον,*
*ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ*
*νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς*
*τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.*

v. 91. *κρητὴρ* — v. 92. *εἶπον* et *Συρακουσᾶν* — v. 96. *δέ μιν* — v. 97. *θραύσοι* — v. 100. *εὐμάλοιο* — v. 102. *τῶνδ' ἐκείνων τε*

δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων
ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
Ἀμφιτρίτας, ἐμῶν δ' ὕμνων ἄεξ' εὔτερπὲς ἄνθος.

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ζ'.

## ΔΙΑΓΟΡΑι ΡΟΔΙΩι ΠΥΚΤΗι.

---

Strophae.



Epodi.



Στρ. α'.

Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ
δωρήσεται
νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε, πάγ-
χρυσον κορυφὰν κτεάνων,

v. 2. ἀμπέλου ἔνδον — v. 4. νειανίᾳ

συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν, ἐν
δὲ φίλων
παρεόντων θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·

'Αντ. α΄.

καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀθλο-
φόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
ἱλάσκομαι,
Οὐλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν. ὁ δ' ὄλβιος,
ὃν φᾶμαι κατέχοντ' ἀγαθαί.
ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἀδυ-
μελεῖ
θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν
αὐλῶν.

'Επ. α΄.

και νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν
τὰν ποντίαν
ὑμνέων, παῖδ' 'Αφροδίτας 'Αελίοιό τε νύμφαν,
'Ρόδον,
εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' 'Αλφειῷ
στεφανωσάμενον
αἰνέσω πυγμᾶς ἄποινα
καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἀδόντα
Δίκᾳ,
'Ασίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας 'Αργείᾳ σὺν αἰχμᾷ.

Στρ. β΄.

ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου

v. 5. ἐν — v. 8. φρενός γ' — v. 11. ἀδυμελεῖ θ' — v. 12. ἅμα μὲν — v. 14. παῖδ' 'Αφροδίτας 'Αελίοιό τε, νύμφαν 'Ρόδον, — v. 19. ἐμβόλω

ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς
εὔχονται· τὸ δ᾽ Ἀμυντορίδαι
ματρόθεν Ἀστυδαμείας· ἀμφὶ δ᾽ ἀνθρώπων φρασὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται· τοῦτο δ᾽ ἀμάχανον εὑρεῖν,

Ἀντ. β'.

ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον
σκάπτῳ θενὼν
σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλθόντ᾽ ἐκ θαλάμων Μιδέας
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς. αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ᾽ ἐς θεὸν ἐλθών.

Ἐπ. β'

τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον
εἶπε Λερναίας ἀπ᾽ ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν,
ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν,
ἀνίχ᾽ Ἁφαίστου τέχναισιν
χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ᾽ ἄκραν

. 24. φρεσὶν — v. 25. ἀναρίθματοι — v. 26. καὶ ἐν
. 28. θένων — v. 29. ἔκταν᾽ ἐν — v. 33. ἀκτᾶς στέλ-
ς — v. 34. χρυσαῖς

*ἀνορούσαισ᾽ ἀλάλαξεν ὑπερμάκει βοᾷ·*
*Οὐρανὸς δ᾽ ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.*

Στρ. γ΄.

*τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας*
*μέλλον ἔντειλεν φυλάξασθαι χρέος*
*παισὶν φίλοις,*
*ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ*
*σεμνὰν θυσίαν θέμενοι*
*πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ᾽ ἐγχειβρόμῳ. ἐν*
*δ᾽ ἀρετὰν*
*ἔβαλεν καὶ χάρματ᾽ ἀνθρώποισι Προμαθέος αἰ-*
*δώς·*

Ἀντ. γ΄.

*ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος,*
*καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν*
*ἔξω φρενῶν.*
*καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ᾽ ἀνέβαν φλογὸς*
*οὔ· τεῦξαν δ᾽ ἀπύροις ἱεροῖς*
*ἄλσος ἐν ἀκροπόλει. κείνοις ὁ μὲν ξανθὰν ἀγα-*
*γὼν νεφέλαν*
*πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν*

Ἐπ. γ΄.

*πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ*
*κρατεῖν.*
*ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ᾽ ὁμοῖα κέλευθοι*
*φέρον.*
*ἦν δὲ κλέος βαθύ· δαέντι δὲ καὶ σοφία μείζων*
*ἄδολος τελέθει.*

v. 39. *φαυσίβροτος* — v. 46. *ὁδόν γ᾽* — v. 48. *καί το γὰρ αἰθούσας* — v. 49 *κείνοισι μὲν*

*φαντὶ δ' ἀνθρώπων παλαιαὶ*
*ῥήσιες οὔπω, ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,*
*φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,*
*ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.*

*Στρ. δ'.*

*ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου·*
*καί ῥά μιν χώρας ἀκλάρωτον λίπον,*
*ἁγνὸν θεόν.*
*μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν. ἀλλά μιν οὐκ εἴασεν· ἐπεὶ πολιᾶς*
*εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν*
*πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.*

*Ἀντ. δ'.*

*ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν*
*χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν*
*μὴ παρφάμεν,*
*ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα μιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ*
*ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύτασαν δὲ λόγων κορυφαὶ*
*ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς*

*Ἐπ. δ'.*

*νᾶσος, ἔχει τέ μιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,*
*πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν*

v. 63. μάλοις — v. 67. φαενὸν

*ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδεξαμένους*
*παῖδας, ὧν εἷς μὲν Κάμειρον*
*πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,*
*διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν,*
*ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.*

Στρ. ε'.

*τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ*
*ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,*
*ὥσπερ θεῷ,*
*μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις. τῶν ἄνθεσι Διαγόρας*
*ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων,*
*Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.*

Ἀντ. ε'.

*ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τ' ἐν Ἀρκαδίᾳ*
*ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι*
*Βοιώτιοι,*
*Πέλλανά τ'· Αἰγίνᾳ τε νικῶνθ' ἑξάκις· ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα*
*ψᾶφος ἔχει λόγον. ἀλλ', ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου*
*μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,*

Ἐπ. ε'.

*ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ οἱ αἰδοίαν χάριν*

v. 75 seq. *δασσάμενοι, πατρωΐαν ἀστέων μοῖραν·* — v. 80. *μάλων* et *κνισσάεσσα* — v. 86. *Αἴγινα Πελλάνα τε* — v. 88. *τεθμὸν, Ὀλυμπιονίκαν*

καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξείνων. ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν
εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε οἱ πατέρων ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

v. 93. Καλλιάνακτος, Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν, ἔχει — v. 95. διαιθύσσουσιν

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Η'.

## ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι.

---

Strophae.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓

Epodi.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ –́ ⏑ – – –́ ⏑ ⏓

Στρ. α'.

Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία,
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες
ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου,
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·

Ἀντ. α'.

ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς.
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,
τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος αἰεί,
ᾧτινι σὸν γέρας ἕσπητ' ἀγλαόν·
ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
ἀγαθῶν, πολλαὶ δ' ὁδοὶ
σὺν θεοῖς εὐπραγίας.

Ἐπ. α'.

Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· ὃς σὲ μέν Νεμέᾳ πρόφατον,
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν Ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων
ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
ἔνθα Σώτειρα Διὸς ξενίου
πάρεδρος ἀσκεῖται Θέμις

v. 8. αἴνεται et εὐσεβέων — v. 14. εὐπραξίας. — v. 15. δὲ κλάρωσεν — v. 16. ὃν μὲν ἐν Ν.

Στρ. β'.

ἔξοχ' ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπει,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
δυσπαλές, τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν·
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι·

'Αντ. β'.

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

'Επ. β'

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ' ἐσόρουσε βοάσαις.
ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς 'Απόλλων·
Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός·

v. 39. πνοὰς βάλον·

Στρ. γ'.

οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ἄρξεται
καὶ τετράτοις. ὣς ἄρα θεὸς σάφα εἴπαις
Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων.
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τανύεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

Ἀντ. γ'.

καὶ Κορίνθου δειράδ', ἐποψόμενος δαῖτα κλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν λαχεῖν

Ἐπ. γ'.

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.

v. 46. ἄρα — v. 48. ἐπ' Ἰσθμὸν ποντίαν — v. 54. Μειλησίᾳ — v. 58. ἀνδρῶν μάχαν — v. 59. ἐν παγκρατίῳ. — v. 60. ῥαίτερον. — v. 62. δ' ἐκεῖνος

νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

Στρ. δ'.

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακὼν
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
Ἀΐδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ.

Ἀντ. δ'.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ' ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
κὰν νόμον ἐρδόμενον·
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

Ἐπ. δ'.

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργ' ἐθέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν·

v. 78. κανvόμον — v. 83 seq. ὅν σφιν ὤπασεν Ζεὺς γένει. — v. 85. ἔργα θέλοι

*ἀλλ' ἀπήμαντον ἄγων βίοτον*
*αὐτούς τ' ἀέξοι καὶ πόλιν.*

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Θ'.
## ΕΦΑΡΜΟΣΤΩι ΟΠΟΥΝΤΙΩι ΠΑΛΑΙΣΤΗι.

---

Strophae.

⏑⏑–́⏑⏑–⏑⏓
⏒–́⏑⏑–⏑––⏒–́⏑⏑–⏑–⏑–⏒.
–⏒–́⏑⏑–⏑–⏒–́⏑⏑–⏒
––́⏑⏑–⏑––́⏑⏑–⏒
–⏒–́⏑⏑–⏑–⏒–́⏑⏑–⏒
⏖⏑––́⏑⏑––́⏑⏑–⏒
–⏒–́⏑⏑–⏑⏓
⏒–́⏑⏑–⏒
⏑–́⏑⏑–⏑–́⏑⏒
––́⏑⏑–́⏑–⏒–́⏑⏑–⏒

Epodi.

⏑–́⏑–⏑–⏑–
⏑⏑–́⏑–⏑–⏑–⏒
⏑⏑–́⏑⏑–⏒
–́––́⏑⏑–⏑––́⏒
–́⏑⏑–́–́–
––́⏑⏑–⏑⏑–⏑⏓
–́⏑–́⏑⏑–⏑⏑––́–
–́⏑–⏒–⏑–́⏑⏑–⏒–⏑–́⏑⏑–⏑–⏒

**Τ**ὸ μὲν Ἀρχιλόχου μέλος — Στρ. α'.
φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κε-
χλαδώς,

ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι
κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον Ἄλιδος
τοιοῖσδε βέλεσσιν,
τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ
ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας·

πτερόεντα δ' ἵει γλυκὺν — Ἀντ. α'.
Πυθῶνάδ' ὀϊστόν· οὔτοι χαμαιπετέων λόγων ἐφά-
ψεαι
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων
κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις ἓ καὶ υἱόν·
ἂν Θέμις θυγάτηρ τέ οἱ Σώτειρα λέλογχεν
μεγαλόδοξος Εὐνομία, θάλλει δ' ἀρεταῖσιν
ἔν τε Κασταλίᾳ παρὰ
Ἀλφεοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι κλυτὰν
Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον.

ἐγὼ δέ τοι φίλαν πόλιν — Ἐπ. α'
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾶ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'· ἀγαθοὶ δὲ καὶ
σοφοὶ κατὰ δαίμον' ἄνδρες

v. 12. Πυθώναδ' — ibid. ἐφάψη — v. 16—18. Vulgo ita legitur: θάλλει δ' ἀρεταῖς, ἴσον τε Κασταλίᾳ παρ' Ἀλφειοῦ τε ῥέεθρον·

ἐγένοντ᾽. ἐπεὶ ἀντία Στρ. β'.
πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε
χερσίν,
ἀνίκ᾽ ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν,
ἤρειδεν δέ μιν ἀργυρέῳ τόξῳ πολεμίζων
Φοῖβος, οὐδ᾽ Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ᾽ ᾇ κατάγει κοίλαν πρὸς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

μανίαισιν ὑποκρέκει. Ἀντ. β'.
μὴ νῦν λαλάγει τὰ τοιαῦτ᾽· ἔα πόλεμον μάχαν
τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν᾽ αἰολοβρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ᾽ εὐνᾶς ὁμόδαμον
κτησάσθαν λίθινον γόνον·
Λαοὶ δ᾽ ὀνόμασθεν.
ἔγειρ᾽ ἐπέων σφιν οἶμον λιγύν,
αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων

νεωτέρων. λέγοντι μὰν Ἐπ. β'.
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλὰ
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ᾽ ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι

v. 29 seq. Vulgo sic legitur: ἐγένοντο. ἐπεὶ ἔναντ᾽ ἂν πῶς τριόδοντος etc. — v. 32. ἤρειδέν τέ — v. 43. Παρνασσοῦ — v. 46. λαοὶ — v. 52. ἀνάπωσιν

ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας
κοῦροι κόραι τε φερτάτων Λελέγων, ἐγχώριοι βασιλῆες αἰεί,

πρὶν Ὀλύμπιος ἁγεμὼν Στρ. γ'.
θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις ἕκαλος
μίχθη Μαιναλίαισιν ἐν δειραῖς καὶ ἔνεικεν
Λοκρῷ, μὴ καθέλοι μιν αἰὼν πότμον ἐφάψαις
ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
ἄλοχος, εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν,
μάτρωος δ' ἐκάλεσσέ μιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορφᾷ τε καὶ
ἔργοισι. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.

ἀφίκοντο δέ οἱ ξένοι Ἀντ. γ'.
ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
Αἰγίνας τε Μενοίτιον· τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκᾶντας Δαναοὺς τρέψαις ἁλίαισιν
πρύμναις Τήλεφος ἔμβαλεν·
ὥστ' ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν νόον.
ἐξ οὗ Θετιόγνητος οὐλίῳ νιν ἐν Ἄρει

παραγορεῖτο μή ποτε Ἐπ. γ'.

v. 56. κορᾶν τε φερτάτων Κρόνιδᾶν, — ibid. αἰεί. — .58. τὰν παῖδ' ἀπὸ et Ὀποῦντος — v. 61. ἔχε — v. 66. λεών ε — v. 68. Θηβᾶν, ἰδ' Ἀρκάδες — v. 69. υἷα — v. 71. Τεύ-ϱανος — v. 75. νόον γ'. — v. 76. Θέτιος γόνος οὐλίῳ μιν ν Ἄρει·

σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς.
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις, ὅτ' ἀμφότεροι κράτησαν
μίαν ἔργον ἀν' ἁμέραν. Στρ. δ'.
ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσσαις
διήρχετο κύκλον ὅσσᾳ βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.
τὰ δὲ Παρρασίῳ στρατῷ Ἀντ. δ'.
θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος εἰναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἑλέσθαι.
ἄνευ δὲ θεοῦ σεσιγαμένον
οὐ σκαιότερον χρῆμ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι

v. 89. οἷον ἐν — v. 103. σεσιγαμένον γ'

ὁδῶν ὁδοὶ περαίτεραι, Ἐπ. δ'.
μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μὲν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν,
Αἰαντέων ἐν δαίθ' ὃς Ἰλιάδα νικῶν ἐπεστεφάνωσε βωμόν.

v. 107. μάν — v. 110. δαιμονίως — v. 112. Αἰάντεόν τε δαῖθ' ὃς Οἰλιάδα

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ι'. (ΙΑ'.)

## ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

### ΠΑΙΔΙ ΠΥΚΤΗι.

---

Strophae.

´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – –
´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ –
´– ⏑ – – ´– ⏑ ⏑ –
´– ⏑ – ⏑ ´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏓
´– ⏑ – – ´– ⏑ –
´– ⏑ – – ´– ⏑ – ⏑ ´– ⏑ ⏑ – ⏑ ⏑ ⏒

Epodus.

´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – –
´– ⏑ ⏑ – ⏑ ⏑ – –
´– ⏑ – ⏑⏑ ⏑ – – – ⏑ ⏑ – ⏑ ⏑ –
´– ⏑ – – ´– ⏑ – ⏑ ´– ⏑ –
´– ⏑ – – ´– ⏑ – ⏑ ´– ⏑ –
´– ⏑ – ⏓ – ⏑ –
´– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ´– ⏑ ⏒
´– ⏑ ⏑ – – ´⏑ – –
´– ⏑ – ⏑ ´– ⏑ – ´– ⏑ – – ´– ⏑ – ⏓

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα Στρ.
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων
ὀμβρίων, παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχαὶ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις Ἀντ.
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει·
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ἐσαεί.
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας Ἐπ.
ἁδυμελῆ κελαδήσω,
τῶν Ἐπιζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ', ἐγγυάσομαι
μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν
μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος.

v. 4. πράσσει, — v. 5. λόγων· — v. 7. ἀφθόνατος — v. 10. ἐσαεὶ πραπίδεσσιν.

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΑ΄. (Ι΄.)
# ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕ-ΦΥΡΙΩι
## ΠΑΙΔΙ ΠΥΚΤΗι.

Strophae.



Epodi.



Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι Στρ. α΄.
Ἀρχεστράτου παῖδα πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων
ἐπιλέλαθ'. ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.
Ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος Ἀντ. α΄.
ἐμὸν καταίσχυνε βαθὺ χρέος.

v. 8. ἁμὸν κατήσχυνε

ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος·
ὁρᾶτ' ὦν νῦν ψᾶφον ἑλισσομέναν
ὅπα κῦμα κατακλύσσει ῥέον
ὅπα τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.

Ἐπ. α΄.

νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων,
μέλει τέ σφισι Καλλιόπα
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύκνεια μάχα καὶ
ὑπέρβιον
Ἡρακλέα· πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν
Ἴλᾳ φερέτω χάριν
Ἀγησίδαμος, ὡς
Ἀχιλεῖ Πάτροκλος.
θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν πα-
λάμᾳ.

ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες, Στρ. β΄.
ἔργων πρὸ πάντων βιότῳ φάος.
ἀγῶνα δ' ἐξήριτον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν
ἀρχαίῳ σάματι πὰρ Πέλοπος
βία Ἡρακλέος ἐκτίσσατο,
ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα,

πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον Ἀντ. β΄.
ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο. λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν
δάμασε καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ,

v. 9. ὁ τόκος ἀνδρῶν. νῦν — v. 10. ῥέον; — v. 12. χάριν; — v. 15. Κυκνεία — v. 21. ὥρμασε — v. 23. ἔργον — v. 24. ἐξαίρετον — v. 25. βίη — v. 29. ἄκονθ' — v. 30. κἀκείνους

*ὅτι πρόσθε ποτὲ Τιρύνθιον*
*ἔπερσαν αὐτῷ στρατὸν*
*μυχοῖς ἥμενοι Ἄλιδος*

Ἐπ. β΄.

*Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας*
*Ἐπειῶν βασιλεὺς ὄπιθεν*
*οὐ πολλὸν ἴδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρὶ*
*πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας*
*ἵζοισαν ἑὰν πόλιν.*
*νεῖκος δὲ κρεσσόνων*
*ἀποθέσθ᾽ ἄπορον.*
*καὶ κεῖνος ἀβουλίᾳ ὕστατος*
*ἁλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.*

*ὁ δ᾽ ἄρ᾽ ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν* Στρ. γ΄.
*λαίαν τε πᾶσαν Διὸς ἄλκιμος*
*υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ· περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ᾽ ἐν καθαρῷ*
*διέκρινε, τὸ δὲ κύκλῳ πέδον*
*ἔθηκε δόρπου λύσιν,*
*τιμάσαις πόρον Ἀλφεοῦ*

*μετὰ δώδεκ᾽ ἀνάκτων θεῶν. καὶ πάγον* Ἀντ. γ΄.
*Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ*
*νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι. ταύτᾳ δ᾽ ἐν πρωτογόνῳ τελετᾷ*
*παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν*
*ὅ τ᾽ ἐξελέγχων μόνος*
*ἀλάθειαν ἐτήτυμον*

Ἐπ. γ΄.

*χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,*

v. 33. *ἄμενον* — v. 41. *κἀκεῖνος* — v. 44. *λείαν*

*ὅπα τὰν πολέμοιο δόσιν*
*ἀκρόθινα διελὼν ἔθυε καὶ πενταετηρίδ' ὅπως*
*ἄρα*
*ἔστασεν ἑορταν σὺν Ὀλυμπιάδι πρώτᾳ*
*νικαφορίαισί τε.*
*τίς δὴ ποταίνιον*
*ἔλαχε στέφανον*
*χείρεσσι, ποσίν τε καὶ ἅρματι,*
*ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθε-*
*λών;*

*σταδίου μὲν ἀρίστευσεν εὐθὺν τόνον* Στρ. δ'.
*ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου*
*Οἰωνός· ἷκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων·*
*ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·*
*Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος*
*Τίρυνθα ναίων πόλιν·*
*ἀν' ἵπποισι δὲ τέτρασιν*

*ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·* Ἀντ. δ'.
*ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν·*
*μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις*
*ὑπὲρ ἁπάντων, καὶ συμμαχία θόρυβον*
*παραίθυξε μέγαν. ἐν δ' ἕσπερον*
*ἔφλεξεν εὐώπιδος*
*σελάνας ἐρατὸν φάος.*

Ἐπ. δ'.

*ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις*
*τὸν ἐγκώμιον ἀμφὶ τρόπον.*

v. 58. *ἐν Ὀλυμπιάδι* — v. 61. *γε λάχε* — v. 62. *ἅρμασιν*, — v. 64. *στάδιον* et *εὐθύτονον* — v. 66. *ἥκεν* et *Τέγεαν·* — v. 67. *Δόρυκλος δὲ τέλος πυγμᾶς φέρε* — v. 70. *Σᾶμος ἠείδετο·* — v. 71. *κἄκοντι Φρ. ἔλασε* — v. 72. *δ' Ἐνικεὺς ἅπαντας· καὶ συμμαχίᾳ*

*ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καί νυν ἐπωνυμίαν χάριν*
*νίκας ἀγερώχου, κελαδησόμεθα βροντὰν*
*καὶ πυρπάλαμον βέλος*
*ὀρσικτύπου Διός,*
*ἐν ἅπαντι κράτει*
*αἴθωνα κεραυνὸν ἀραρότα.*
*χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων,*
*τὰ παρ' εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν· Στρ. ε'.*
*ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ*
*ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη, μάλα δέ οἱ θερμαίνει φιλότατι νόον·*
*ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα*
*ἐπακτὸν ἀλλότριον,*
*θνάσκοντι στυγερώτατος·*

*καὶ ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ, Ἀντ. ε'.*
*Ἀγησίδαμ', εἰς Ἀΐδα σταθμὸν*
*ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερπνόν. τὶν δ' ἁδυεπής τε λύρα*
*γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν.*
*τρέφοντι δ' εὐρὺ κλέος*
*κόραι Πιερίδες Διός.*

*Ἐπ. ε'.*

*ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος*
*Λοκρῶν ἀμφέπεσον μέλιτι*
*εὐάνορα πόλιν καταβρέχων· παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου*

v. 78. *καὶ νῦν* — v. 81. *Διός γ',* — v. 86. *ὥς τε* — v. 87. *ἥκοντι νεότατι* et *δέ τοι* — v. 95. *ἔχοντι* — v. 99. *δ' εὐάνορα* et *ἐρατὸν Ἀρχεστράτου*

*αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ*
*βωμὸν παρ' Ὀλύμπιον,*
*κεῖνον κατὰ χρόνον*
*ἰδέᾳ τε καλὸν*
*ὥρᾳ τε κεκραμένον, ἅ ποτε*
*ἀναιδέα Γανυμήδει πότμον ἄλαλκε σὺν Κυπρογενεῖ.*

v. 102. *χρόνον γ'* — v. 104 seq. *ἅ ποτ' ἀναιδέα* et *τὸν πότμον*

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΒʹ.

## ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩι

### ΔΟΛΙΧΟΔΡΟΜΩι.

S t r o p h a e.

–́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑––́⏑⏑–⏑⏑––́⏑⏑–
–́⏑––́⏑––́⏑–
–́⏑––́⏑––́⏑⏑⏓
–́⏑––́⏑⏑–⏑⏑––
–́⏑–⏒–́⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑⏓

E p o d u s.

–́⏑⏑–⏑⏑––́⏑–⏑
–́⏑⏑–⏑⏑––́⏑–⏑–́⏑⏓
–́⏑––́⏑⏑–⏑⏑–⏑⏑–
––́⏑⏑–⏑⏑––́⏑––́⏑––
–́⏑–⏑–́⏑⏑–⏑⏑–
–́⏑––́⏑––́⏑⏑–
–́⏑––́⏑––́⏑–́⏑––́⏑––

*Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,* Στρ.
*Ἱμέραν εὐρυσθενέ' ἀμφιπόλει, Σώτειρα Τύχα.*
*τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ*

v. 2. *Ἱμέρᾳ εὐρυσθενέ' ἀμφὶ πόλει,*

νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια
τάμνοισαι κυλίνδοντ' ἐλπίδες·

σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων 'Αντ.
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν·
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν
μικρῷ πεδάμειψαν χρόνῳ.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν, 'Επ.
ἐνδομάχας ἅτ' ἀλέκτωρ, συγγόνῳ παρ' ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πά-
τρας.
νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ', Ἐργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέων παρ'
οἰκείαις ἀρούραις.

v. 6. ταὶ δ' αὖ et τέμνοισαι — v. 16. Κνωσίας ἄμερσε

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΓ'.

## ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙῼ ΣΤΑΔΙΟΔΡΟΜῼ ΚΑΙ ΠΕΝΤΑΘΛῼ.

Strophae.



Epodi.



Τρισολυμπιονίκαν — Στρ. α'.
ἐπαινέων οἶκον ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον Ποτιδᾶνος, ἀγλαόκουρον.
ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασίγνηταί τε, βάθρον πολίων ἀσφαλές,
Δίκα καὶ ὁμότροπος Εἰράνα, ταμίαι ἀνδράσι πλού-του,
χρύσεαι παῖδες εὐβούλου Θέμιτος·

v. 5. Ποσειδᾶνος, — v. 6. πολίων, ἀσφαλής, — v. 9. ἀλεξεῖν

*ἐθέλοντι δ' ἀλέξειν* *'Αντ. α'.*
*ὕβριν, κόρου ματέρα θρασύμυθον.*
*ἔχω καλά τε φράσαι, τόλμα τέ μοι*
*εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.*
*ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.*
*ὔμμιν δέ, παῖδες 'Αλάτα, πολλὰ μὲν νικαφόρον*
*ἀγλαΐαν ὤπασαν*
*ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,*
*πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον*

*'Επ. α'.*
*῟Ωραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ'· ἅπαν δ'*
*εὑρόντος ἔργον.*
*ταὶ Διωνύσου πόθεν ἐξέφανεν*
*σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;*
*τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,*
*ἢ θεων ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον*
*ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,*
*ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.*

*ὕπατ' εὐρὺ ἀνάσσων* *Στρ. β'.*
*'Ολυμπίας, ἀφθόνητος ἔπεσσιν*
*γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,*
*καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων*
*Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·*
*δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει*
*πεδίων ἐκ Πίσας,*
*πεντάθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβό-*
*λησεν*
*τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.*

v. 14. *ὤπασάν γ'* — v. 15. *ἐν ἀέθλοισιν*, — v. 21. *βαλῆα* — v. 22. *ἔθηκ'*; — v. 25. *ἀφθόνατος* — v. 30. *δρόμον· οὐκ ἀντεβόλησεν*

δύο δ' αὐτὸν ἔρεψαν **Ἀντ. β'.**
πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ·
πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου θ' ἁλίῳ ἀμφ' ἑνί, μηνός τέ οἱ
τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ἔργα ποδαρκὴς
ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις,

**Ἐπ. β'.**
Ἑλλώτια δ' ἑπτάκις· ἐν δ' ἀμφιάλοισι Ποτιδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί.
ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν
περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν.

ἕπεται δ' ἐν ἑκάστῳ **Στρ. γ'.**
μέτρον. νοῆσαι δὲ καιρὸς ἄριστος.
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ, Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν,
καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,
ναΐ σώτειραν Ἀργοῖ καὶ προπόλοις.

v. 34. Νεμέα — v. 35. Θεσσαλοῦ — v. 38. τρία μὰν ἔργα — v. 40. Ποσειδᾶνος — v. 42. τέρψιές θ' ἕψοντ' ἐρίτιμοί τ ἀοιδαί. — v. 53. θεμέναν τὸν γάμον αὐτᾷ,

τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ 'Αντ. γ'.
πρὸ Δαρδάνου τειχέων ἐδόκησαν
ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν 'Ατρέος
'Ελέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί. τοῖσι μὲν
ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·

'Επ. γ'.
ὃς τᾶς ὀφιώδεος υἱόν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινὸν
Παλλὰς ἤνεγκ'· ἐξ ὀνείρου δ' αὐτίκα
ἦν ὕπαρ· φώνασε δ'· Εὕδεις, Αἰολίδα βασιλεῦ;
ἄγε φίλτρον τόδ' ἵππειον δέκευ,
καὶ Δαμαίῳ νιν θύων ταῦρον ἀργᾶντα πατρὶ δεῖξον.

κυαναιγὶς ἐν ὄρφνᾳ Στρ. δ'.
κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν
ἔδοξεν· ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος, ὥς τ' ἀνὰ βωμῷ θεᾶς
κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ οἱ αὐτὰ
Ζηνὸς ἐγχεικεραύνου παῖς ἔπορεν

v. 58. Ἀτρέως — v. 60. τοῖσι μὰν — v. 61. σφετέρου μὲν ατρὸς – v. 69. μιν et ἀργὸν — v. 76. ἀπ' ἐκείνου χρήσιος· τπως τέ οἱ

δαμασίφρονα χρυσόν. *Ἀντ. δ'.*
ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι
κελήσατό μιν, ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' αὐερύῃ Γεαόχῳ,
θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
τέλλει θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
φάρμακον πραῢ τείνων ἀμφὶ γένυι,

*Ἐπ. δ'.*
ἵππον πτερόεντ'· ἀναβὰς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμων
τοξόταν βάλλων γυναικεῖον στρατόν,
καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
διασωπάσομαί οἱ μόρον ἐγώ·
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.

ἐμὲ δ' εὐθὺν ἀκόντων *Στρ. ε'.*
ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
Ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος
Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ. παύρῳ δ' ἔπει θήσω φανέρ' ἀθρό', ἀλαθής τέ μοι

v. 81. αὖ ἐρύῃ Γαιαόχῳ, — v. 82. Ἱππείᾳ — v. 83. πληροῖ δὲ θεῶν et κτίσιν γ'· — v. 84. ὁρμαίνων ἔλαβεν — v. 85. γένυ, — v. 87. δ' ἐκείνῳ — v. 88. ἐρήμου — v. 91. διασιγάσομαι αὐτῷ μόρον omisso ἐγώ — v. 92. ἀρχεῖαι δέχονται.

ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
ἁδύγλωσσος βοᾷ κάρυκος ἐσλοῦ.

τὰ δ' Ὀλυμπίᾳ αὐτῶν — Ἀντ. ε'.
ἔοικεν ἤδη πάροιθε λελέχθαι·
τὰ δ' ἐσσόμενα τότ' ἂν φαίην σαφές·
νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν
τέλος· εἰ δὲ δαίμων γενέθλιος ἕρποι,
Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν. τὰ δ' ἐπ' ὀφρύϊ Παρνασίᾳ,
ἐν Ἄργεΐ θ' ὅσσα καὶ ἐν Θήβαις, ὅσα τ' Ἀρκάσι μάσσω
μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ,

Ἐπ. ε'.

Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,
ἅ τ' Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών,
ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου καλλίπλουτοι
πόλιες, ἅ τ' Εὔβοια. καὶ πᾶσαν κατὰ
Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν.
ἄνα, κούφοισί μ' ἐκνεῦσαι ποσίν·
Ζεῦ τέλει', αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν.

v. 99. ἑξηκοντάκι γὰρ ἀμφοτέρωθέν γ' — v. 103. τά τ' — v. 106. Διὶ et Παρνασσίᾳ, — v. 107. ἀμφ' Ἄργεΐ θ' et ὅσσα τε Ἀρκάσ' ἀνάσσων — v. 109. Πελλάνα — v. 114. ἀλλὰ κούφοισιν ἐκν. — v. 115. Ζεῦ, τέλει, αἰδῶ διδοὺς

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΔ΄.

## ΑΣΩΠΙΧΩι ΟΡΧΟΜΕΝΙΩι

### ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

– –́ ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑⏑ –́ ⏑ – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ ⏑⏑ ⏓ –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –

Καφισίων ὑδάτων Στρ. α΄
λαχοῖσαν αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ᾽, ἐπεὶ εὔχομαι. σὺν ὔμμιν γὰρ τά τε τερπνὰ καὶ
τὰ γλυκέ᾽ ἄνεται πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
κοιρανέοισιν χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι παρὰ

v. 2. λαχοῖσαι — v. 5. σὺν γὰρ ὑμῖν τὰ τερπνὰ — v. 6. τὰ γλυκέα γίγνεται — v. 8. οὔτε γὰρ — v. 9. κοιρανέοντι

*Πύθιον Ἀπόλλωνα θρόνους,*
*ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.*

*ὦ πότνι' Ἀγλαΐα* Στρ. β'.
*φιλησίμολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου*
*παῖδες, ἐπάκοος γένευ, Θαλία τε*
*ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ*
*κοῦφα βιβῶντα· Λυδίῳ δ' Ἀσώπιχον ἐν τρόπῳ*
*ἐν μελέταις τ' ἀείδων ἔμολον,*
*οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινυεία*
*σεῦ ἕκατι. μελανοτειχέα νῦν δόμον*
*Φερσεφόνας ἐλθέ, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν,*
*Κλεύδαμον ὄφρ' ἰδοῖσ' υἱὸν εἴπῃς, ὅτι οἱ νέαν*
*κόλποις παρ' εὐδόξου Πίσας*
*ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.*

v. 13. abest ὦ — v. 15. *ἐπάκοοι νῦν, Θαλία τε* — v. 17. *Λυδίῳ γὰρ Ἀσ.* — v. 18. *ἐν μελέταις τε ἀείδων μόλον·* — v. 19. *Μινύεια* — v. 20. *μελαντειχέα* — v. 21. *ἴθι* pro *ἐλθέ* — v. 22. *ὄφρα* — v. 23. *κόλποισι* et *εὐδόξοιο*

# *ΠΥΘΙΟΝΙΚΑΙ.*

## *ΠΥΘΙΟΝΙΚΑΙ Α΄.*

## *ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι ΑΡΜΑΤΙ.*

S t r o p h a e.



E p o d i.



*Στρ. α΄.*

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βά-
σις, ἀγλαΐας ἀρχά,
πείθονται δ᾽ ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς
ἐλελιζομένα.

v. 4. ὁπόταν τῶν φροιμίων

καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός,
ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,

Ἀντ. α'.

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλαΐστρον, κατέ-
χευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης, τρα-
χεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας,
ἀμφί τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.

Ἐπ. α'.

ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαι-
μάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων
δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·

Στρ. β'.

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ δ' ἁμέραισιν μὲν προ-
χέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόν-
του πλάκα σὺν πατάγῳ.

κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσ-
ιδέσθαι, θαῦμα δὲ καὶ παριόντων ἀκοῦσαι,

'Αντ. β'.

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον
ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον,
τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν
ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου

'Επ. β'.

ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοι-
κότα γὰρ
καὶ τελευτὰν φερτέραν νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε καὶ Δάλου ἀνάσσων Φοῖβε, Παρνασοῦ τε
κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.

Στρ. γ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν.
ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι

v. 32. κάρυξ — v. 34. ἐς πλόον, ἀρχ. — v. 35. κἂν 1
λευτᾷ φερτέρου νόστου — v. 37. στεφάνοισί τε ἵπποις — v. 5
Παρνασσῷ

μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν
ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων
δόσιν εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.

Ἀντ. γ'.

ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις
τλάμονι ψυχᾷ παρέμειν', ἁνίχ' εὑρίσκοντο θεῶν
παλάμαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν τὰν
Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη· σὺν δ' ἀναγκαίᾳ φίλον
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν. φαντὶ δὲ Λα-
μνόθεν ἕλκει τειρόμενον μετανάσσοντας ἐλθεῖν

Ἐπ. γ'.

ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους
Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν δι-
δούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων. χάρμα δ' οὐκ
ἀλλότριον νικαφορία πατέρος
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·

Στρ. δ'.

ῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ

. 45. ἀμεύσεσθ' — v. 47. ἀμμνάσειεν, — v. 51. σὺν
δ .άγκᾳ μιν φίλον — v. 52. μεταλλάσοντας ἐλθεῖν — v. 59.
π ό μοι

Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσ'. ἐθέ-
λοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖ-
σιν ἐν Αἰγιμιοῦ
Δωρίοις. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν
βαθύδοξοι γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.

Ἀντ. δ'.

Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον
λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραίρων τράποι
σύμφωνον ἐς ἁσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοῖνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς
ἔχῃ, ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·

Ἐπ. δ'.

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ'
ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μά-
χαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα παίδεσσιν
ὕμνον Δεινομένευς τελέσαις,

v. 62. ἔκτισσε. θέλοντι — v. 65. Δωριῆς. — v. 67. Ζεῦ τέλει, — v. 70. δᾶμόν τε γέρων et ἐφ' ἁσυχίαν. — v. 72. Φοίνιξ — v. 75. αἱρέομαι — v. 76. Ἀθηναίων — v. 78. Μῆδοι μὲν

τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων.

Στρ. ε'.

καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.

Ἀντ. ε'.

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρδεσσ'· ὀπιθόμβροτον αὔχημα δόξας

Ἐπ. ε'.

οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾶ φάτις,
οὐδέ μιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν

v. 85. οἰκτιρμῶν — v. 90. ἀεὶ — v. 92. ὦ φίλε, κέρδεσιν εὐτραπέλοις.

μαλθακὰν παίδων ὀάροισι δέκονται.
τὸ δὲ παθεῖν εὖ πρῶτον ἄθλων· εὖ δ' ἀκούειν
δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ, στέφανον ὕψιστον δέ-
δεκται.

v. 98. δέχονται

---

# ΠΥΘΙΟΝΙΚΑΙ Β΄.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

## ΑΡΜΑΤΙ.

---

Strophae.



Epodi.



Στρ. α'.

Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου
τέμενος Ἄρεος, ἀνδρῶν ἵππων τε σιδαροχαρμᾶν
δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων
μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων
τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
ποταμίας ἕδος Ἀρτέμιδος, ἇς οὐκ ἄτερ
κείνας ἀγαναῖσιν ἐν χερσὶ ποικιλανίους ἐδάμασσε
πώλους.

ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ Ἀντ. α'.
ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλᾶντα τίθησι κόσμον,
ξεστὸν ὅταν δίφρον
ἔν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ
σθένος ἵππιον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων
θεόν.
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.
κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις
φᾶμαι Κυπρίων, τὸν ὁ χρυσοχαῖτα προφρόνως
ἐφίλησ' Ἀπόλλων,

Ἐπ. α'.

ἱερέα κτίλον Ἀφροδίτας· ἄγει δὲ χάρις φίλων ποί-
νιμος ἀντὶ ἔργων ὀπιζομένα·
σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει, πολεμίων καμάτων ἐξ
ἀμαχάνων
διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές.

v. 7. τᾶς οὐκ ἄτερ — v. 16. ἐφίλασ' — v. 17. ποί τινος ἀντὶ

θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς
λέγειν ἐν πτερόεντι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τί-
νεσθαι.

Στρ. β'.

ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον, μακρὸν οὐχ ὑπέμεινεν ὄλ-
βον, μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀυάταν ὑπερά-
φανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ' ἀμπλακίαι
φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι
ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε
θνατοῖς·

Ἀντ. β'.

ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπειρᾶτο. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ
παντὸς ὁρᾶν μέτρον.
εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν
ἔβαλόν ποτε καὶ τὸν ἑλόντ'· ἐπεὶ νεφέλᾳ παρε-
λέξατο,
ψεῦδος γλυκὺ μεθέπων, ἄϊδρις ἀνήρ·
εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν οὐρανιᾶν
θυγατέρι Κρόνου· ἄντε δόλον αὐτῷ θέσαν
Ζηνὸς παλάμαι, καλὸν πῆμα. τὸν δὲ τετράκνα-
μον ἔπραξε δεσμόν,

v. 26. μακρόν γ' et φρεσίν — v. 28. ἀάταν — v. 31. ὅτι τ' — v. 34. καθ' αὐτὸν — v. 36. ἔβαλον· ποτὶ καὶ τὸν ἵκοντ'. — v. 38. οὐρανία

Ἐπ. β΄.

ἑὸν ὄλεθρον ὄγ᾿· ἐν δ᾿ ἀφύκτοισι γυιοπέδαις
πεσὼν τὰν πολύκοινον ἀνδέξατ᾿ ἀγγελίαν.
ἄνευ οἱ Χαρίτων τέκεν γόνον ὑπερφίαλον,
μόνα καὶ μόνον, οὔτ᾿ ἐν ἀνδράσι γερασφόρον οὔτ᾿
ἐν θεῶν νόμοις·
τὸν ὀνύμαξε τράφοισα Κένταυρον, ὃς
ἵπποισι Μαγνητίδεσσιν ἐμίγνυτ᾿ ἐν Παλίου
σφυροῖς, ἐκ δ᾿ ἐγένοντο στρατὸς
θαυμαστός, ἀμφοτέροις
ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ᾿
ὕπερθε πατρός.

Στρ. γ΄.

θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται,
θεός, ὃ καὶ πτερόεντ᾿ αἰετὸν κίχε, καὶ θαλασ-
σαῖον παραμείβεται
δελφῖνα, καὶ ὑψιφρόνων τιν᾿ ἔκαμψε βροτῶν,
ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ᾿. ἐμὲ δὲ χρεὼν
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
εἶδον γὰρ ἑκὰς ἐὼν ταπόλλ᾿ ἐν ἀμαχανίᾳ
ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν
πιαινόμενον· τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου
σοφίας ἄριστον.

Ἀντ. γ΄.

τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν
καὶ στρατοῦ. εἰ δέ τις
ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει

v. 41. ἀνεδέξατ᾿ — v. 42. ἄνευ δ᾿ οἷ — v. 43. νομοῖς· — v. 50. πτερόεντα ἀετὸν — v. 53. ἀδινόν, κακαγορίαν. — v. 56. πότμου σοφίας, ἄριστον. — v. 57. πεπορεῖν, — v. 58. μὰν

ἕτερόν τιν᾽ ἀν᾽ Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,
χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.
εὐανθέα δ᾽ ἀναβάσομαι στόλον ἀμφ᾽ ἀρετᾷ
κελαδέων. νεότατι μὲν ἀρήγει θράσος
δεινῶν πολέμων· ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,

'Επ. γ΄.

τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ᾽ ἐν πεζομάχαισι· βουλαὶ δὲ πρεσβύτεραι
ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον
ἐπαινεῖν παρέχοντι. χαῖρε. τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·
τὸ Καστόρειον δ᾽ ἐν Αἰολίδεσσι χορδαῖς ἑκὼν
ἄθρησον χάριν ἑπτακτύπου
φόρμιγγος ἀντόμενος.
γένοι᾽ οἷος ἐσσὶ μαθών· καλός τοι πίθων παρὰ παισίν, αἰεὶ

Στρ. δ΄.

καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώμητον, οὐδ᾽ ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν·
οἷα ψιθύρων παλάμαις ἕπετ᾽ αἰεὶ βροτῷ.
ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφαύτιες,
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺ

v. 61. κενεᾷ. — v. 65. ἀνδράσι — v. 66. ἔπος ποτί ῥα πάντα — v. 69. χορδαῖς θέλων — v. 74. ἀμωμήτων, — v. 75. βροτῶν. — v. 76. ὑποφάτιες, — v. 78. κέρδει — v. 79. ὀχοίσας

σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὣς ὑπὲρ ἕρκος, ἅλμας.

'Αντ. δ'.

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
δόλιον ἀστόν· ὅμως μὰν σαίνων ποτὶ πάντας,
ἀγὰν πάγχυ διαπλέκει.
οὔ οἱ μετέχω θράσεος. φίλον εἴη φιλεῖν·
ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι,
ἀλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠπόταν ὁ λάβρος στρατός,
χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,

'Επ. δ'.

ὃς ἀνέχει ποτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος. ἀλλ' οὐδὲ ταῦτα νόον
ἰαίνει φθονερῶν· στάθμας δέ τινος ἑλκόμενοι
περισσᾶς ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν
ἀρήγει· ποτὶ κέντρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος. ἀδόντα δ' εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

v. 82. πάντας ἄγαν — v. 86. νομὸν — v. 89. ποτὲ μὲν et αὖ δ' — v. 90. ἑλκόμενος — v. 91. ἐνέπαξεν — v. 92. ἰαχανῶνται τυχεῖν. — v. 93. ζυγόν γ'

## *ΠΥΘΙΟΝΙΚΑΙ Γ'.*

## *ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι*
## *ΚΕΛΗΤΙ.*

Strophae.

–́⏑–––́⏑⏑–⏑⏑⏓
–́⏑–––́⏑⏑–⏑⏑–––́⏑–––́⏑⏓
––́⏑⏑–⏑⏑⏓
–́⏑⏑–⏑⏑–⏑⏑–⏑⏑–––́⏑–––́⏑–––́⏑⏑⏓
–́⏑–––́⏑⏑–⏑⏑–––́⏑⏓
–́⏑⏑–⏑⏑––́⏑–––́⏑–––́⏑⏒
–́⏑⏑–⏑⏑–––́⏑–⏒

Epodi.

–́⏑–––́⏑⏑–⏑⏑⏓
–́⏑–––́⏑–––́⏑⏓
–́⏑–––́⏑⏑–⏑⏑–––́⏑⏓
–́⏑–⏒–́⏑⏑–⏑⏑–⏒
–́⏑⏑–⏑⏑–––́⏑–––́⏑⏓
–́⏑⏑–⏑⏑–––́⏑–––́⏑⏓
–́⏑⏑–⏑⏑–––́⏑⏑–⏑⏑⏓
–́⏑–––́⏑⏑–⏑⏑–––́⏑–⏒
⏑⏑–́⏑⏑–––́⏑–––́⏑⏓

*Ἤθελον Χείρωνά κε Φιλυρίδαν,* Στρ. α΄.
*εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος,*
*ζώειν τὸν ἀποιχόμενον,*
*Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου, βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον,*
*νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ*
*τέκτονα νωδυνιᾶν ἅμερον γυιαρκέων Ἀσκλαπιόν,*
*ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.*

v. 1. *Φιλλυρίδαν* — v. 5. *νόον* — v. 6. *τέκτον' ἀνωδυνίας ἅμερον γυιαρκέος*

*τὸν μὲν εὐΐππου Φλεγύα θυγάτηρ* 'Ἀντ. α'.
*πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δα-*
*μεῖσα χρυσέοις*
*τόξοισιν ὕπ' Ἀρτέμιδος,*
*εἰς Ἀΐδα δόμον ἐν θαλάμῳ κατέβα τέχναις Ἀπόλ-*
*λωνος. χόλος δ' οὐκ ἀλίθιος*
*γίγνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν*
*ἀμπλακίαισι φρενῶν, ἄλλον αἴνησεν γάμον κρύ-*
*βδαν πατρός,*
*πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ,*
*καὶ φέροισα σπέρμα θεοῦ καθαρόν.* Ἐπ. α'.
*οὐδ' ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,*
*οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες*
*οἷα παρθένοι φιλέοισιν ἑταῖραι*
*ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι*
*ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.*
*ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,*
*ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,*
*μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.*
*ἔσχε τοιαύταν μεγάλαν ἀάταν* Στρ. β'.
*καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ*
*εὐνάσθη ξένου*
*λέκτροισιν ἀπ' Ἀρκαδίας.*
*οὐδ' ἔλαθε σκοπόν· ἐν δ' ἄρα μηλοδόκῳ Πυ-*
*θῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεὺς*
*Λοξίας κοινᾶνι παρ' εὐθυτάτῳ, γνώμᾳ πιθών,*
*πάντα ἴσαντι νόῳ· ψευδέων δ' οὐχ ἅπτεται· κλέ-*
*πτει τέ νιν*
*οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.*

v. 12. *μιν* — v. 13. *αἴνησε* — v. 14. *ἀκερσεκόμᾳ* — v. 16. *οὐκ* *ιειν'* — v. 19. *ὑπὸ κουρίζεσθ'* — v. 24. *ἀάταν* — v. 27. *μαλοδό-ῳ* et *τόσσ' εἰσάϊεν* — v. 28. *κοινῶνι* et *γνώμαν* — v. 29. *τέ μιν*

*καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα* *'Αντ. β'.*
*ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασι-*
*γνήταν μένει*
*θύοισαν ἀμαιμακέτῳ*
*ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν*
*ᾤκει παρθένος. δαίμων δ' ἕτερος*
*ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων*
*πολλοὶ ἐπαῦρον, ἁμᾶ δ' ἔφθαρεν, πολλὰν δ'*
*ὄρει πῦρ ἐξ ἑνὸς*
*σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.*

*ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ* *'Επ. β'.*
*σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν*
*λάβρον Ἁφαίστου, τότ' ἔειπεν Ἀπόλλων· Οὐκ-*
*έτι*
*τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι*
*οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.*
*ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ*
*νεκροῦ*
*ἅρπασε· καιομένα δ' αὐτῷ διέφανε πυρά·*
*καί ῥά μιν Μάγνητι φέρων πόρε Κενταύρῳ δι-*
*δάξαι*
*πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.*

*τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων* *Στρ. γ'.*
*ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρω-*
*μένοι*
*ἢ χερμάδι τηλεβόλῳ,*
*ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι, λύ-*
*σαις ἄλλον ἀλλοίων ἀχέων*
*ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,*

v. 35. *ἐδαμάσατο* — v. 36. *πολλάν τ'* — v. 44. *διέφαινε*

τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

ἀλλὰ κέρδει καὶ σοφία δέδεται. 'Αντ. γ'.
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανεὶς
ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα· χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.
χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν,
γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.

μή, φίλα ψυχά, βίον ἀθάνατον 'Επ. γ'.
σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χείρων, καί τί οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον
καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν
Ἀρέθοισαν ἐπὶ κράναν παρ' Αἰτναῖον ξένον,

ὃς Συρακόσσαισι νέμει βασιλεὺς Στρ. δ'.
πραΰς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.
τῷ μὲν διδύμας χάριτας,

v. 52. περιάπτων — v. 55. κᾀκεῖνον — v. 58. ἐνέσκηψεν — v. 59. φρεσί, — v. 65. κέν μιν — v. 69. Ἀρέθουσαν

εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις,
τοὺς ἀριστεύων Φερένικος ἕλ' ἐν Κίρρᾳ ποτέ·
ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.

ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω 'Αντ. δ'.
Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται. 'Επ. δ'.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄϊον Θήβαις, ὁπόθ' Ἁρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις, Στρ. ε'.
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις, ἕδνα τε

v. 74. ἕλε — v. 76. περάσσαις. — v. 81. σὺν δύο

*δέξαντο· Διὸς δὲ χάριν*
*ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔστασαν*
*ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ*
*τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις*
*εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκωλένῳ γε*
*Ζεὺς πατὴρ*
*ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.*

*τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα* *'Αντ. ε'.*
*τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυ-*
*χὰν λιπὼν*
*ὦρσεν πυρὶ καιόμενος*
*ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει θνατῶν ἀλα-*
*θείας ὁδόν, χρὴ πρὸς μακάρων*
*τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ*
*ὑψιπετᾶν ἀνέμων. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν*
*ἔρχεται,*
*ἄσπετος εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.*

*σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις* *'Επ. ε'.*
*ἔσσομαι· τὸν ἀμφέποντ' αἰεὶ φρασὶν*
*δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.*
*εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,*
*ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.*
*Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων*
*φάτις,*
*ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ*
*ἅρμοσαν, γιγνώσκομεν. ἁ δ' ἀρετὰ κλειναῖς*
*ἀοιδαῖς*
*χρονία τελέθει. παύροις δὲ πράξασθ' εὐμαρές.*

v. 106. ὃς πολὺς εὖτ' ἂν — v. 108. φρεσὶ

# ΠΥΘΙΟΝΙΚΑΙ Δ΄.

## ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ ΑΡΜΑΤΙ.

Strophae.

–́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑–––́⏑⏑–⏑⏑––́⏑––́⏑–⏒
–́⏑⏑–⏑⏑–⏑⏑––́⏑–⏒
–́⏑⏑–⏑⏑––́⏑–⏒–́⏑⏓
–́⏑––́⏑––́⏑⏑–⏑⏑–⏑⏑⏓
–́⏑––́⏑––́⏑–́⏑⏓
⏖́⏑–⏓–́⏑–⏒

Epodi.

–⏑––́⏑⏑–⏑⏑––́⏑–′⏑⏓
–́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑⏑––́⏑––́⏑––́⏑⏑–⏑⏑⏓
––́⏑⏑–⏑⏑–⏑⏑––́⏑–⏒
–́⏑––́⏑––́⏑⏑⏓
–́⏑–⏒–́⏑⏑–⏑⏑––́⏑––́⏑–⏒

*Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ* Στρ. α΄.
*στᾶμεν, εὐΐππου βασιλῆϊ Κυράνας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,*
*Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων,*
*ἔνθα ποτὲ χρυσέων Διὸς αἰητῶν πάρεδρος*
*οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱρέα*
*χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν*
*νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐάρματον*
*πόλιν ἐν ἀργινόεντι μαστῷ,*

v. 4. *Διὸς ὀρνίχων πάρεδρος*, — v. 5. *ἱέρεα*

*καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαιθ'* *'Αντ. α'.*
*ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον, Αἰήτα*
*τό ποτε ζαμενὴς*
*παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα*
*Κόλχων. εἶπε δ' οὕτως*
*ἡμιθέοισιν 'Ιάσονος αἰχματᾶο ναύταις·*
*Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·*
*φαμὶ γὰρ τᾶσδ' ἐξ ἀλιπλάκτου ποτὲ γᾶς 'Επάφοιο*
*κόραν*
*ἀστέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον*
*Διὸς ἐν Ἄμμωνος θεμέθλοις.*

*'Επ. α'.*
*ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαν-*
*τες θοάς,*
*ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελ-*
*λόποδας.*
*κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων*
*ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνί-*
*δος ἐν προχοαῖς*
*λίμνας θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι*
*ξείνια πρῴραθεν Εὔφαμος καταβὰς*
*δέξατ'· αἴσιον δ' ἐπί οἱ Κρονίων Ζεὺς πατὴρ*
*ἔκλαγξε βροντάν·*

*ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν* *Στρ. β'.*
*ναῒ κρημνάντων ἐπέτοσσε, θοᾶς 'Αργοῦς χαλινόν.*
*δώδεκα δὲ πρότερον*
*ἁμέρας ἐξ 'Ωκεανοῦ φέρομεν νώτων ὕπερ γαίας*
*ἐρήμων*
*εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.*
*τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν*

v. 14. ἀλιπλάγκτου — v. 22. πρώραθεν

ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ' ἐπέων
ἄρχετο, ξείνοις ἅτ' ἐλθόντεσσιν εὐεργέται
δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ — Ἀντ. β'.
κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα
ἔμμεναι· γίγνωσκε δ' ἐπειγομένους· ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας
δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
οὐδ' ἀπίθησέ ἱν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν
χειρί οἱ χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ

Ἐπ. β'.

ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυνον θαμὰ
λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴκοι νιν βάλε πὰρ χθόνιον
Ἅιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ παρ' ὄχθαις·

τετράτων παίδων κ' ἐπιγεινομένων — Στρ. γ'.

v. 36. ἀπίθησέ νιν, — v. 39. ἐναλίᾳ — v. 40. ὄτρυνον — v. 44. Ἀΐδα

*αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπει-*
*ρον. τότε γὰρ μεγάλας*
*ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ*
*Μυκηνᾶν.*
*νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν*
*ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν*
*νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πε-*
*δίων*
*δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι*
*Φοῖβος ἀμνάσει θέμισσιν*

*Πύθιον ναὸν καταβάντα χρόνῳ* *Ἀντ. γ'.*
*ὑστέρῳ νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον*
*τέμενος Κρονίδα.*
*ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι*
*σιωπᾷ*
*ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.*
*ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ*
*λόγῳ*
*χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ*
*κελάδῳ·*
*ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πεπρωμένον*
*βασιλέ' ἄμφανεν Κυράνᾳ,*

*Ἐπ. γ'.*
*δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται*
*πρὸς θεῶν.*
*ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὥτε φοινικανθέμου ἦρος*
*ἀκμᾷ,*
*παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας·*

v. 54. *ἀμμνάσει* — v. 56. *ἀγαγὲν* — v. 61. *αὐδάσασα* — v. 62. *Κυράνας* — v. 64. *ὥστε* — v. 65. *τούτου*

*τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιό-*
*νων ἔπορεν*
*ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω*
*καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ*
*κεῖνο πλευσάντων Μινυᾶν, θεόπομποί σφισιν*
*τιμαὶ φύτευθεν.*

*τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;* Στρ. δ'.
*τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις;*
*θέσφατον ἦν Πελίαν*
*ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς*
*ἀκάμπτοις.*
*ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ,*
*πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·*
*τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν*
*μεγάλᾳ,*
*εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐδείελον*
*χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,*

*ξεῖνος αἴτ' ὢν ἀστός. ὁ δ' ἄρα χρόνῳ* Ἀντ. δ'.
*ἷκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος· ἐσθὰς*
*δ' ἀμφότερόν νιν ἔχεν,*
*ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι*
*γυίοις,*
*ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·*
*οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί,*
*ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ' εὐθὺς*
*ἰὼν σφετέρας*
*ἐστάθη γνώμας ἀταρμύκτοιο πειρώμενος*
*ἐν ἀγορᾷ πλήθοντος ὄχλου.*

v. 66. *Ἀμφικτυόνων* — v. 72. *ἀκνάμπτοις.* — v. 79. *μιν* — v. 81. *παρδαλέα* — v. 82. *οἴχοντ'* — v. 84. *ἀταρβάτοιο*

Ἐπ. δ'.
τὸν μὲν οὐ γίγνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε·
Οὔτι που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,
ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι Στρ. ε'.
γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
καταμιάναις εἰπὲ γένναν.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις Ἀντ. ε'.
ὧδ' ἀμείφθη· Φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν. ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ἔργον

v. 89. Ἐπιάλτα — v. 95. παπτήναις — v. 103. Χαρικλοῖς

οὔτ' ἔπος εὐτράπελον κείνοισιν εἰπὼν ἱκόμαν
οἴκαδ', ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισί, τιμάν.

Ἐπ. ε'.

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασὶν
ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
ἁγεμόνος δείσαντες ὕβριν κᾶδος ὡσείτε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι, μίγα κωκυτῷ γυναικῶν
κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ δὲ τράφεν Χείρωνι δῶκαν.

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων Στρ. ϛ'.

ἴστε. λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως·
Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξείναν ἱκοίμαν γαῖαν ἄλλων.
Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός.
ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων·
ἃν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

v. 109. μιν et φρεσὶν — v. 113. θηκάμενοι μετὰ κωκυτῷ — v. 118. ἱκόμαν — v. 122. περὶ

*καὶ κασίγνητοί σφισιν ἀμφότεροι* 'Αντ. ϛ'.
*ἦλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν Φέρης*
*κράναν Ὑπερῇδα λιπών,*
*ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ' Ἄδματος*
*ἶκεν καὶ Μέλαμπος*
*εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ*
*μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,*
*ξείνι' ἁρμόζοντα τεύχων, πᾶσαν ἐν. εὐφροσύναν*
*τάνυεν,*
*ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις*
*ἱερὸν εὐζωᾶς ἄωτον.*

'Επ. ϛ'.
*ἀλλ' ἐν ἕκτᾳ πάντα, λόγον θέμενος σπουδαῖον,*
*ἐξ ἀρχᾶς ἀνὴρ*
*συγγενέσιν παρεκοινᾶθ'· οἱ δ' ἐπέσποντ'. αἶψα*
*δ' ἀπὸ κλισιᾶν*
*ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλθον Πελία μέγαρον*
*ἐσσύμενοι δ' εἴσω κατέσταν. τῶν δ' ἀκούσαις*
*αὐτὸς ὑπαντίασεν*
*Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ' Ἰάσων*
*μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον*
*βάλλετο κρηπῖδα σοφῶν ἐπέων· Παῖ Ποσειδᾶνος*
*Πετραίου,*

*ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι* Στρ. ζ'.
*κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρ-*
*πόντων πρὸς ἐπίβδαν ὅμως·*
*ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαί-*
*νειν λοιπὸν ὄλβον.*
*εἰδότι τοι ἐρέω· μία βοῦς Κρηθεῖ τε μάτηρ*

v. 125. *Ὑπερηΐδα* — v. 126. *ἧκεν καὶ Μέλαμπος,* — v. 134. *μέγαρον Πελία·* — v. 135. *ὑπηντίασεν*

*καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γο-*
*ναῖς*
*ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου*
*χρύσεον*
*λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα*
*πέλει*
*ὁμογόνοις, αἰδῶ καλύψαι.*
*οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν* Ἀντ. ζ'.
*οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δά-*
*σασθαι. μῆλά τε γάρ τοι ἐγὼ*
*καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀγρούς τε πάν-*
*τας, τοὺς ἀπούραις*
*ἀμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·*
*κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν·*
*ἀλλὰ καὶ σκᾶπτον μόναρχον καὶ θρόνος, ᾧ ποτε*
*Κρηθεΐδας*
*ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας,*
*τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας*
Ἐπ. ζ'.
*λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀνασταίῃ*
*κακόν.*
*ὣς ἄρ' ἔειπεν. ἀκᾶ δ' ἀνταγόρευσεν καὶ Πελίας·*
*Ἔσομαι*
*τοῖος. ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας*
*ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει·*
*δύνασαι δ' ἀφελεῖν*
*μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι*
*Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,*
*δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ' ἐκ*
*πόντου σαώθη*

v. 147. *νῶιν* — v. 148. *μᾶλά* — v. 152. *θρόνον* — v. 155. *ἀναστήσῃ*

ἔκ τε ματρυιᾶς ἀθέων βελέων. Στρ. η΄.
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φωνεῖ. μεμάν-
τευμαι δ' ἐπὶ Κασταλίᾳ,
εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύ-
χειν ναΐ πομπάν.
τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμ-
φοτέροις.
σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρί-
θεν·
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη

ὤρνυεν κάρυκας ἐόντα πλόον Ἀντ. η΄.
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ
τρεῖς ἀκαμαντομάχαι
ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε,
δοιοὶ δ' ὑψιχαῖται
ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου· τῶν μὲν
κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν'
εὐρυβία.
ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοιδᾶν πατὴρ
ἔμολεν, εὐαίνητος Ὀρφεύς.

Ἐπ. η΄.
πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱους ἐπ'
ἄτρυτον πόνον,
τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυ-
τον. ταχεως

v. 167. ἄμμι — v. 170. ὄρνυεν — v. 179. ταχέως δ'

*ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·*
*καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων*
*Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν*
*νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.*
*τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον τόνδ' αὖεν Ἥρα*

*ναὸς Ἀργοῦς, μή τινα λειπόμενον* Στρ. θ'.
*τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ*
*φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.*
*ἐς δ' Ἰαωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,*
*λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά οἱ*
*μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς*
*Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου*
*κρέμασαν ἀγκύρας ὕπερθεν,*

*χρυσέαν χείρεσσι λαβὼν φιάλαν* Ἀντ. θ'.
*ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους*
*κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει, νύκτας τε καὶ πόντου κελεύθους*
*ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·*
*ἐκ νεφέων δέ οἱ ἀντάϋσε βροντᾶς αἴσιον*
*φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι.*
*ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ σάμασιν*
*πιθόμενοι· κάρυξε δ' αὐτοῖς*

v. 180. θέμεθλα — v. 184. πόθον γ' ἔνδαιεν

'Επ. θ'.

ἐμβαλεῖν κώπαισι τερασκόπος ἀδείας ἐνίκτων ἐλ-
πίδας·
εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκο-
ρος.
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμ-
πόμενοι
ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἕσσαντ' εἰνα-
λίου τέμενος,
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὑπᾶρχεν
καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι δεσπόταν λίσσοντο
ναῶν,

συνδρόμων κινηθμὸν ἀμαιμάκετον Στρ. ι'.
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζωαί, κυ-
λινδέσκοντό τε κραιπνότεραι
ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤδη τελευ-
τὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἤλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
μῖξαν Αἰήτᾳ παρ' αὐτῷ. πότνια δ' ὀξυτάτων
βελέων
ποικίλαν ἴϋγγα τετράκναμον Οὐλυμπόθεν
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ

μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν 'Αντ. ι'.
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς ἐκδιδά-
σκησεν σοφὸν Αἰσονίδαν·
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ, ποθεινὰ
δ' Ἑλλὰς αὐτὰν

v. 209. δίδυμοι — v. 211. 212. ἔπειτ' ἐν ἤλυθον, — v. 214. τετρακνάμον'

ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ᾽ ἀέθλων δείκνυεν πατρωΐων·
σὺν δ᾽ ἐλαίῳ φαρμακώσαισ᾽ ἀντίτομα στερεᾶν
ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.

'Επ. ι΄.

ἀλλ᾽ ὅτ᾽ Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον
σκίμψατο
καὶ βόας, οἳ φλόγ᾽ ἀπὸ ξανθᾶν γενύων πνεῦν
καιομένοιο πυρός,
χαλκέαις δ᾽ ὁπλαῖς ἀράσσεσκον χθόν᾽ ἀμειβό-
μενοι·
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρθὰς δ᾽
αὔλακας ἐντανύσαις
ἤλαυν᾽, ἀνὰ βωλακίας δ᾽ ὀρόγυιαν σχίζε νῶτον
γᾶς. ἔειπεν δ᾽ ὧδε· Τοῦτ᾽ ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρω-
μνὰν ἀγέσθω,
κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ. Στρ. ια΄.
ὣς ἄρ᾽ αὐδάσαντος ἀπὸ κρόκεον ῥίψαις Ἰάσων
εἷμα θεῷ πίσυνος
εἴχετ᾽ ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμά-
κου ξείνας ἐφετμαῖς.
σπασσάμενος δ᾽ ἄροτρον, βοέους δήσαις ἀνάγκᾳ
ἔντεσιν αὐχένας ἐμβάλλων τ᾽ ἐριπλεύρῳ φυᾷ
κέντρον αἰανὲς βιατὰς ἐξεπόνασ᾽ ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ᾽ ἀφωνήτῳ περ ἔμπας ἄχει
δύνασιν Αἰήτας ἀγασθείς.

v. 219. φρεσὶ — v. 225. πνέον — v. 228. ἀναβωλακίας δ᾽ ὀργυιὰν — v. 233. αἰόλει — v. 234. βοέοις δήσαις ἀνάγκας — v. 236. ἐξεπόνησ᾽

'Αντ. ια'.

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας, στεφάνοισί τέ μιν ποίας ἔρεπτον,
μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς
δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαι-
ραι·
ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτα-
τᾶν γενύων,
ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,
τέλεσαν ἃν πλαγαὶ σιδάρου.

'Επ. ια'.

μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συν-
άπτει· καί τινα
οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἅγημαι σοφίας
ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,
ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν
Πελίαο φόνον·
ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ
Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδείξαντ' ἀγῶν' ἐσθᾶ-
τος ἀμφίς,

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς Στρ. ιβ'
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλ-
βου δέξατο μοιρίδιον

v. 253. ἐπεδείξαντο κρίσιν ἐσθ. — v. 255. περ ἀρούραις et ἀκτῖνας

*ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ*
*τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν*
*ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ*
*νᾶσον· ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον*
*σὺν θεῶν τιμαῖς ὀφέλλειν, ἄστυ χρυσοθρόνου*
*διανέμειν θεῖον Κυράνας*
*ὀρθόβουλον μῆτιν ἐφευρομένοις.* 'Αντ. ιβ'.
*γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει*
*ἐξερείψαι μὲν μεγάλας δρυός, αἰσχύνοι δέ οἱ θαητὸν εἶδος·*
*καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,*
*εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον·*
*ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα*
*μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν,*
*ἑὸν ἐρημώσαισα χῶρον.*

'Επ. ιβ'.

*ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος.*
*χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.*
*ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·*
*ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς δὴ γίγνεται, ἐξαπίνας*
*εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.*

v. 258. *ἤθεσιν ἔν ποτε* — v. 264. *ἐξερείψαι κεν* — v. 265. *ψᾶφον περ αὐτᾶς* — v. 267. *κιόνεσσι* — v. 269. *ἐρημώσασα* — v. 273. *αὖθις*

τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπου-
δὰν ἅπασαν.

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος Στρ. ιγ'.
ῥῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν
πράγματι παντὶ φέρειν.
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. ἐπέγνω
μὲν Κυράνα
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν
νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ
βιοτᾷ,
ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς, Ἀντ. ιγ'.
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς πρὸς
ἀνθρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν· θεράπων δέ οἱ, οὐ δράστας
ὀπαδεῖ. φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον, καλὰ γιγνώσκοντ' ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτλας οὐ-
ρανῷ
προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε
κτεάνων·
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ
μεταβολαὶ λήξαντος οὔρου

Ἐπ. ιγ'.
ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν νοῦσον διαντλή-
σαις ποτὲ

*οἶκον ἰδεῖν, ἐπ' Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων*
*θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς*
*δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἁσυχίᾳ θιγέμεν,*
*μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν.*
*καί κε μυθήσαιθ' ὁποίαν Ἀρκεσίλᾳ*
*εὗρε παγὰν ἀμβροσίων ἐπέων, πρόσφατον Θήβᾳ ξενωθείς.*

v. 298. *μυθήσαιθ', ὁποίαν, Ἀρκεσίλα,* — v. 299. *ἐπέων πρόσφατον,*

## ΠΥΘΙΟΝΙΚΑΙ Ε'.

## ΑΡΚΕΣΙΛΑι ΚΥΡΗΝΑΙΩι

## ΑΡΜΑΤΙ.

Strophae.



Epodi.

⏑ – – ⏑ ⏕ – ⏑ – ⏑ – ⏑ ⏑ ⏓
x
⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – – ⏑ – ⏑ ⏑ –
x x
– ⏑ – ⏑ ⏑ – ⏕ ⏑ – ⏑ ⏑ –
x
⏑ – ⏑ – – ⏑ – ⏑ ⏑ – –
⏑ – – ⏑ ⏑ – ⏕ ⏑ –
– ⏑ ⏑ – ⏕ ⏑ – ⏑ ⏑ – – ⏑ –
⏑ – ⏕ ⏑ – ⏑ ⏕ ⏑ – –
– ⏑ – – ⏑ ⏓
x
– ⏑ – ⏑ ⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ ⏕ ⏑ – – ⏑ ⏓
⏕ ⏑

Ὁ πλοῦτος εὐρυσθενής, *Στρ. α'.*
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ
πολύφιλον ἑπέταν.
ὦ θεόμορ' Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος
ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσσεαι
ἕκατι χρυσαρμάτου Κάστορος·
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν καταιθύσσει
μάκαιραν ἑστίαν.

σοφοὶ δέ τοι κάλλιον *Ἀντ. α'.*
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ' ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέ-
μεται·
τὸ μὲν ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων,
ἐπεὶ συγγενὴς

v. 9. ξὺν — v. 17. ἔχει συγγενὴς

ὀφθαλμὸς
αἰδοιότατον γέρας,
τεᾷ τοῦτο μιγνύμενον φρενί·
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι
εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν δέδεξαι
τόνδε κῶμον ἀνέρων,

Ἐπ. α'.

Ἀπολλώνιον ἄθυρμα. τῷ σε μὴ λαθέτω
Κυράνᾳ γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδόμενον
παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν,
φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων
ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων
ὀψινόου θυγατέρα πρόφασιν Βαττιδᾶν
ἀφῖκται δόμους θεμισκρεόντων·
ἀλλ' ἀρισθάρματιν
ὕδατι Κασταλίας ξενωθεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις

Στρ. β'.

ἀκηράτοις ἀνίαις
ποδαρκέων δώδεκ' ἂν δρόμων τέμενος.
κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν· ἀλλὰ κρέμαται,
ὁπόσα χεριαρᾶν
τεκτόνων δαίδαλ' ἄγων
Κρισαῖον λόφον
ἄμειψεν
ἐν κοιλόπεδον νάπος
θεοῦ· τό σφ' ἔχει κυπαρίσσινον

v. 19. αἰδοιέστατον — v. 24. Post ἀειδόμενον interpungebatur colo. — v. 29. ἀφίκετο — v. 33. δώδεκα δρόμων — v. 36. δαιδάλματ' — v. 40. τόσσ' ἔχει

*μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν,*
*Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασίῳ κάθεσσαν,*
*τὸν μονόδροπον φυτόν.*

*ἑκόντι τοίνυν πρέπει* **'Αντ. β'.**
*νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.*
*'Αλεξιβιάδα, σὲ δ' ἠΰκομοι φλέγοντι Χάριτες.*
*μακάριος, ὃς ἔχεις*
*καὶ πεδὰ μέγαν κάματον*
*λόγων φερτάτων*
*μναμεῖα.*
*ἐν τεσσαράκοντα γὰρ*
*πετόντεσσιν ἁνιόχοις ὅλον*
*δίφρον κομίξαις ἀταρβεῖ φρενί,*
*ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν ἀέθλων καὶ*
*πατρωΐαν πόλιν.*

**'Επ. β'.**
*πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται·*
*ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ*
*τὰ νέμων,*
*πύργος ἄστεος ὄμμα τε φαεννότατον*
*ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι*
*λέοντες περὶ δείματι φύγον,*
*γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν·*
*ὁ δ' ἀρχαγέτας ἔδωκ' 'Απόλλων*
*θῆρας αἰνῷ φόβῳ,*
*ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύ-*
*μασιν.*

*ὃ καὶ βαρειᾶν νόσων* **Στρ. γ'.**
*ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,*

v. 42. *Παρνασσίῳ* et *καθέσσαντο*, *μονόδροπον φυτόν.* — v. 49. *μναμήϊον.* — v. 55. *ἔμπας* — v. 59. *γλῶτταν*

*πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,*
*ἀπόλεμον ἀγαγὼν*
*ἐς πραπίδας εὐνομίαν,*
*μυχόν τ' ἀμφέπει*
*μαντεῖον·*
*τῷ καὶ Λακεδαίμονι*
*ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ*
*ἔνασσεν ἀλκᾶντας Ἡρακλέος*
*ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμόν, γαρύειν ἀπο Σπάρτας ἐπήρατον κλέος,*

*Ἀντ. γ'.*

*ὅθεν κεκοιναμένοι*
*ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,*
*ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἄγεν,*
*πολύθυτον ἔρανον*
*ἔνθεν ἀναδεξαμέναν,*
*Ἄπολλον, τεᾷ,*
*Καρνεῖε,*
*ἐν δαιτὶ σεβιζέμεν*
*Κυράνας ἀγακτιμέναν πόλιν·*
*ἔχοντι τὰν χαλκοχάρμαι ξένοι*
*Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον, καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον*

*Ἐπ. γ'.*

*ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως*
*δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι,*
*τοὺς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς*

v. 69. *μαντήϊον.* — v. 71. *ἔν τ' Ἄργεϊ καὶ* — v. 73. *το δ' ἐμὸν γαρύεν τ'* — v. 74. *γεγενναμένοι* — v. 77. *πολύθυτον [ἐς] ἔρανον* — v. 78. *ἀναδεξάμενοι* — v. 79. *τεὰ* — v. 80. *Καρνεῖα* — v. 81. *σεβίζομεν,* — v. 86. *ἰχνέοντες*

ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσεν δ' ἄλσεα μείζονα θεῶν,
εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν, ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι δίχα
κεῖται θανών.

μάκαρ μὲν ἀνδρῶν μέτα Στρ. δ'.
ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής.
ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες ἀΐδαν
βασιλέες ἱεροὶ
ἐντί, μεγαλᾶν δ' ἀρετᾶν
δρόσῳ μαλθακᾷ
ῥανθεισᾶν
κώμων ὑπὸ χεύμασιν,
ἀκούοντί τοι χθονίᾳ φρενὶ
σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
ἔνδικόν τ' Ἀρκεσίλᾳ. τὸν ἐν ἀοιδᾷ νέων πρέπει
χρυσάορα Φοῖβον ἀπύειν,

ἔχοντα Πυθωνόθεν Ἀντ. δ'.
τὸ καλλίνικον λυτήριον δαπανᾶν
μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί.
λεγόμενον ἐρέω·
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται
γλῶσσάν τε·
θάρσος δὲ τανύπτερος
ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·
ἀγωνίας δ', ἕρκος οἷον, σθένος·

v. 98. μεγάλαν δ' ἀρετὰν — v. 100 seq. ῥανθεῖσαν ὕμνων θ' ὑποχεύμασιν — v. 102. ποι — v. 110. φέρβεται· γλῶσσάν τε θάρσος τε

ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας, πέ-
φανταί θ' ἁρματηλάτας σοφός·

Ἐπ. δ'.

ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,
τετόλμακε. θεός τέ οἱ τονῦν τε πρόφρων τελεῖ
δύνασιν,
καὶ τολοιπὸν ὄπισθε, Κρονίδαι μάκαρες,
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων
χειμερία καταπνοὰ δαμαλίζοι χρόνον.
Διός τοι νόος μέγας κυβερνᾷ
δαίμον' ἀνδρῶν φίλων.
εὔχομαί νιν Ὀλυμπίᾳ τοῦτο δόμεν γέρας ἔπι Βάτ-
του γένει.

v. 118. τὸ λοιπόν, ὦ Κρονίδαι

## ΠΥΘΙΟΝΙΚΑΙ ϛ'.

## ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι ΑΡΜΑΤΙ.



Στρ. α'.

Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἐς λάϊνον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

Στρ. β'.

τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς
ἁλὸς ἄξοισι παμφόρῳ χεράδι
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.

σύ τοι σχέθων νιν ἐπιδέξια χειρὸς ὀρθὰν Στρ. γ'.
ἄγεις ἐφημοσύναν,
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

v. 1. η γὰρ — v. 4. ἐς ναὸν — v. 13. ἄξει et χεράδει — v. 21. τάν ποτ'

ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς  Στρ. δʹ.
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ᾽ ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ᾽ ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δονηθεῖσα φρὴν βόασε παῖδα ὅν·

Στρ. εʹ.

χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων δ᾽ ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν.  Στρ. ϛʹ.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ᾽ ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων·
τίν τ᾽, Ἐλέλιχθον, ὀργαῖς ἐς ἱππίαν ἔσοδον
μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

v. 28. ἐγένετο — v. 36. δοναθεῖσα et βόασεν — v. 37. ἀπέριψεν αὐτοῦ· — v. 40. ἐδόκησέ τε — v. 43. παρήκει. — v. 50 seq. ὀργαῖς ὃς εὗρες ἵππιον εἷς || οδον ἁδόντι κτλ.

# ΠΥΘΙΟΝΙΚΑΙ Ζ΄.

## ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩι ΤΕΘΡΙΠΠΩι.

Strophae.



Epodus.



Κάλλιστον αἱ μεγαλοπτόλιες Ἀθᾶναι Στρ.
προοίμιον Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ
κρηπῖδ' ἀοιδᾶν
ἵπποισι βαλέσθαι.
ἐπεὶ τίνα πάτραν, τίνα οἶκον
λαῶν ὀνυμάξομαι
ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

v. 1. μεγαλοπόλιες — v. 5. τίνα τ' οἶκον — v. 6. ναίοντ

πάσαισι γὰρ πολίεσσι λόγος ὁμιλεῖ    *Ἀντ.*
Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον
Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν.
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ' ἀπὸ Κίρρας,

ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων.    *Επ.*
νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι,
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα.
φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

v. 9. πολίεσι — v. 10. Ἀπόλλων, — v. 15. Ὀλυμπιας, — v. 20. πὰρ μονίμαν

---

## ΠΥΘΙΟΝΙΚΑΙ Η′.

## ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΛΑΙΣΤΗι.

---

Strophae.



Epodi.



Φιλόφρον Ἁσυχία, Δίκας — Στρ. α'.
ὦ μεγιστόπολι θύγατερ,
βουλᾶν τε καὶ πολέμων
ἔχοισα κλαΐδας ὑπερτάτας,
Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.
τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·

τὺ δ', ὁπόταν τις ἀμείλιχον — Ἀντ. α'.
καρδίᾳ κότον ἐνελάσῃ,
τραχεῖα δυσμενέων
ὑπαντιάξαισα κράτει τιθεῖς
ὕβριν ἐν ἄντλῳ. τὰν οὐδὲ Πορφυρίων μάθεν
παρ' αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι.

Ἐπ. α'.

βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ μιν ἄλυξεν,
οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ' Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ.

v. 13. φίλτατόν γ', — v. 15. βίᾳ — v. 20. πόᾳ Παρνασσίᾳ

*ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς* Στρ. β'.
*ἁ δικαιόπολις ἀρεταῖς*
*κλειναῖσιν Αἰακιδᾶν*
*θίγοισα νᾶσος· τελέαν δ' ἔχει*
*δόξαν ἀπ' ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται*
*νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς*
*ὑπερτάτους ἥρωας ἐν μάχαις·*

*τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.* Ἀντ. β'.
*εἰμὶ δ' ἄσχολος ἀναθέμεν*
*πᾶσαν μακραγορίαν*
*λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,*
*μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον*
*ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,*
*ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.*

Ἐπ. β'.
*παλαισμάτεσσι γὰρ ἰχνέων ματραδελφεοὺς*
*Ὀλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις,*
*οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·*
*αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις,*
*τὸν ὅνπερ ποτ' Ὀϊκλέος παῖς ἐν ἑπταπύλοις ἰδὼν*
*υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,*

*ὁπότ' ἀπ' Ἄργεος ἤλυθον* Στρ. γ'.
*δευτέραν ὁδὸν Ἐπίγονοι.*
*ὧδ' εἶπε μαρναμένων·*
*Φυᾷ τὸ γενναῖον ἐπιπρέπει*
*ἐκ πατέρων παισὶν λῆμα. θαέομαι σαφὲς*
*δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος*
*νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.*

v. 28. *τὰ καὶ ἐν ἀνδράσιν* — v. 32. *κνίσσῃ* et *ποσί μοι ἴτω* — v. 33. *τρέχον τεὸν* — v. 35. *ἰχνεύων* — v. 40. *ᾐνίξατο* — v. 43. *εἶπε· μαρναμένων*

ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ   Ἀντ. γ'.
νῦν ἀρείονος ἐνέχεται
ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν
ἀντία πράξει. μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ
θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν
ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ

Ἐπ. γ'.

Ἄβαντος εὐρυχόρους ἀγυιάς. τοιαῦτα μὲν
ἐφθέγξατ' Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτὸς
Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν
ὑπάντασέ τ' ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον,
μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.

τὺ δ', ἑκαταβόλε, πάνδοκον   Στρ. δ'.
ναὸν εὐκλέα διανέμων
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τόθι χαρμάτων
ὤπασας· οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν
πενταθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες.
ἄναξ, ἑκόντι δ' εὔχομαι νόῳ

κατά τιν' ἁρμονίαν βλέπειν,   Ἀντ. δ'.
ἀμφ' ἕκαστον ὅσα νέομαι.
κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέστακε· θεῶν δ' ὄπιν
ἄφθιτον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων

v. 52. μοῦνος — v. 54. λεῷ — v. 59. ὑπάντασεν ἰόντι — v. 66. πενταεθλίου et ἐπάγαγες, — v. 67. ἄναξ. ἑκόντι — v. 68. κατὰ τὶν — v. 72. Ξεινάρκει,

κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλ-
λει, χὡπόθεν
ἔσσεται, εὖ καθορᾷς.
εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,

ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν Στρ. γ'.
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ' εὐρυλεί-
μων πότνιά σοι Λιβύα
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρό-
φρων· ἵνα οἱ χθονὸς αἶσαν
αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ' ἀγνῶτα
θηρῶν.

τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς Ἀντ. γ'.
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
ταὶ δ' ἐπιγουνίδιον κατθηκάμεναι βρέφος αὐταῖς,
νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θή-
σονταί τέ νιν ἀθάνατον
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φί-
λοις, ἄγχιστον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν.
ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τε-
λευτάν.

ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν Ἐπ. γ'.
πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν' ἆμαρ διαίτα-
σεν· θαλάμῳ δὲ μίγεν

v. 48. χῶτε ποτ' — v. 50. εἰ δέ γε χρὴ πὰρ σοφὸν — v. 62. αὐταῖς, — v. 64. φίλοις ἄγχιστον, ὀπάονα μάλων,

ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν
ἀμφέπει κλεινάν τ' ἀέθλοις.
καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων
δέξεται,
καλλιγύναικι πάτρᾳ
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι· Στρ. δ'.
βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν,
ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον
οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐ-
ρυσθῆος ἐπεὶ κεφαλὰν
ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ' ὑπὸ
γᾶν διφρηλάτα Ἀμφιτρύωνος
σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος
κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.

τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων Ἀντ. δ'.
ἐν μόναις ὠδῖσιν Ἀλκμήνα
διδύμων κρατησίμαχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ παρα-
βάλλει,
μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν
θρέψαντο καὶ Ἰφικλέα·
τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν
ἐσλόν. Χαρίτων κελαδεννᾶν
μή με λίποι καθαρὸν φέγγος. Αἰγίνᾳ τε γὰρ
φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐ-
κλεΐξαι,

v. 79. ἔγνων — v. 88. ἀεὶ — v. 91. φαμὶ et εὐκλεΐξεν

σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών· 'Επ. δ'.
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ'
ἐν ξυνῷ πεποναμένον εὖ
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον ἄφωνοί θ' ὡς ἑκάστα
φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν,

ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου Στρ. ε'.
Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν
ἐπιχωρίοις. ἐμὲ δ' ὦν τις ἀοιδὰν
διψάδ' ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
καὶ παλαιὰν δόξαν ἑῶν προγόνων· οἷοι Λιβύσ-
σας ἀμφὶ γυναικὸς ἔβαν
Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον
μναστῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν
εἶδος

ἔπλετο· χρυσοστεφάνου δέ οἱ Ἥβας 'Αντ. ε'.
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ' ἐν
Ἄργει
οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι,
πρὶν μέσον ἆμαρ ἑλεῖν,

v. 96. σύν τε δίκα — v. 102. πάντεσσ' — v. 103. οὖν et ἀοιδᾶν — v. 104. δίψαν — v. 105. καὶ παλαιῶν δόξα τεῶν

ὠκύτατον γάμον. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος·
σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν,
ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.

οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ    Ἐπ. ε΄
νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις τέλος ἔμμεν ἄκρον,
εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
ἀμφί οἱ ψαύσειε πέπλοις.
ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,
παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. πολλὰ μὲν κεῖνοι δίκον
φύλλ' ἔπι καὶ στεφάνους·
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν.

v. 123. πολλά μιν

---

## ΠΥΘΙΟΝΙΚΑΙ Ι΄.

## ΙΠΠΟΚΛΕΑι ΘΕΣΣΑΛῼ ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜῼ.

---

Strophae.

x
–⏒–́⏑⏑–⏒
⏑–́⏒–́⏑⏑–⏑––́⏑⏑––́⏑⏓
⏑–́⏑⏑–⏑⏑–⏒–́⏑⏑–⏒
x
⏑–́–́⏑⏑–⏒–́⏑⏑––⏑–́⏑⏑––́⏑–⏑⏓
⏑–́–́⏑–⏑–́⏑⏑–⏑–⏑
⏑⏑–́⏑⏑–⏑–⏒–́⏑–⏑⏓

Epodi.

⏒–́⏑⏑––⏒–́⏑⏑–⏑⏓
–́⏑⏑–⏒
––́⏑–́⏑⏑––́⏑⏑––́⏑⏓
––́⏑–́⏑⏑––́⏑⏓
––́⏑–́⏑⏑–⏑–⏒
⏒–́⏑–⏑–́⏑⏑–⏑––́⏑⏓

*Ὀλβία Λακεδαίμων·* *Στρ. α΄.*
*μάκαιρα Θεσσαλία· πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς*
*ἀριστομάχου γένος Ἡρακλεῦς βασιλεύει.*
*τί κομπέω κατ' ἄκαιρον; ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει*
*Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες*
*ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.*

*γεύεται γὰρ ἀέθλων·* *Ἀντ. α΄.*
*στρατῷ περικτιόνων θ' ὁ Παρνάσιος αὐτὸν μυχὸς*
*διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.*
*Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται·*
*ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ' ἔπραξεν·*
*τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς*

*Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις* *Ἐπ. α΄.*
*Ἄρεος ὅπλοις·*
*θῆκεν δὲ καὶ βαθυλείμων' ὑπὸ Κίρρας ἀγὼν*
*πέτραν κρατησίποδα Φρικίαν.*
*ἕποιτο μοῖρα καὶ ὑστέραισιν*
*ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν·*

v. 1. *Λακεδαῖμον·* — v. 3. *Ἡρακλέος* — v. 4. *τί;* et *παρὰ καιρόν;* — v. 8. *τ' Ἀμφικτυόνων ὁ Παρνάσσιος* — v. 11. *τεοῖσι μήδεσι* et *ἔπραξε·* — v. 13. *Οὐλυμπιονίκα* — v. 14 seq. *Ἄρεος ὅπλοι-‖σιν θῆκε* — v. 17. *ἕσποιτο*

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν Στρ. β'.
λαχόντες οὐκ ὀλίγαν δόσιν, μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς αἰεί
ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίγνεται σοφοῖς,
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,

καὶ ζώων ἔτι νεαρὸν Ἀντ. β'.
κατ' αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων.
ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ·
ὅσαις δὲ βρότεον ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον
πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις
ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.

Ἐπ. β'.
παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας,
δώματ' ἐσελθών,
κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
εὐφαμίαις τε μάλιστ' Ἀπόλλων
χαίρει, γελᾷ θ' ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.

Μοῖσα δ' οὐκ ἀποδαμεῖ Στρ. γ'.
τρόποις ἐπὶ σφετέροισι· παντᾶ δὲ χοροὶ παρθένων
λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται·
δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως.

v. 21. θεὸς εἴη — v. 27. οὔπω et αὐτοῖς. — v. 29. εὕροις ἂν — v. 30. θαυμαστὰν — v. 36. ὀρθιᾶν — v. 40. εἰλαπινάζουσιν

νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ
οἰκέοισι φυγόντες 'Αντ. γ'.
ὑπέρδικον Νέμεσιν. θρασείᾳ δὲ πνέων καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ' Ἀθάνα,
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφνέν τε Γοργόνα, καὶ ποικίλον κάρα
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι
θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται 'Επ. γ'.
ἔμμεν ἄπιστον.
κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ
πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον.
ἔλπομαι δ' Ἐφυραίων Στρ. δ'.
ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας·
τῶν δ' ἕκαστος ὀρούει, 'Αντ. δ'.
τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός·
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανεῖ Θώρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.

v. 54. ὥς τε — v. 58. ἔν τε καλ. — v. 60. ἔκνιξέ γε

'Επ. δ'.

πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει
καὶ νόος ὀρθός.
κἀδελφεοὺς μὲν ἐπαινήσομεν ἐσλούς, ὅτι
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
αὔξοντες· ἐν δ' ἀγαθοῖσι κεῖται
πατρώϊαι κεδναὶ πολίων κυβερνάσιες.

v. 69. ἀδελφεοὺς δέ τ' ἐπ. — v. 71. κεῖνται

---

## ΠΥΘΙΟΝΙΚΑΙ ΙΑ'.

## ΘΡΑΣΥΔΑΙῼ ΘΗΒΑΙῼ

## ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

---

Strophae.



Epodi.



Στρ. α'.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις,

Ἰνώ τε Λευκοθέα ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων,
ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων
θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας,

Ἀντ. α΄.

Ἰσμήνιον δ' ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον,
ὦ παῖδες Ἁρμονίας, ἔνθα καί νυν ἐπίνομον ἡρω-
ΐδων
στρατὸν ὁμαγυρέα καλεῖ συνίμεν,
ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκρᾳ σὺν ἑσπέρᾳ,

ἑπταπύλοισι Θήβαις Ἐπ. α΄.
χάριν ἀγῶνί τε Κίρρας,
ἐν τῷ Θρασυδαῖος ἔμνασέ μ' ἑστίαν
τρίτον ἔπι στέφανον πατρῴαν βαλών,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
νικῶν ξένου Λάκωνος Ὀρέστα.

Στρ. β΄.

τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμνή-
στρας
χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσ-
πενθέος,
ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ πόρευσ' Ἀχέροντος ἀκτὰν παρ' εὔσκιον

Ἀντ. β΄.

νηλὴς γυνά. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐ-
ρίπῳ

v. 2. Ἰνὼ δὲ — v. 4. ματέρι — v. 6. μαντεῖον — v. 8. ὁμηγυρέα — v. 10. κελαδῆτε — v. 13. ἔμνασεν ἑστίαν — v. 14. τρίτος — v. 21. πόρευ'

*σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον;*
*ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν*
*ἔννυχοι πάραγον κοῖται; τὸ δὲ νέαις ἀλόχοις*
*ἔχθιστον ἀμβλάκιον καλύψαι τ' ἀμάχανον*
*ἀλλοτρίαισι γλώσσαις·* *'Επ. β'.*
*κακολόγοι δὲ πολῖται.*
*ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·*
*ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει.*
*θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας*
*ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,*

*Στρ. γ'.*

*μάντιν τ' ὄλεσσε κόραν, ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέντων*
*Τρώων ἔλυσε δόμους ἁβρότατος. ὁ δ' ἄρα γέροντα ξένον*
*Στρόφιον ἐξίκετο, νέα κεφαλά,*
*Παρνασοῦ πόδα ναίοντ'· ἀλλὰ χρονίῳ σὺν Ἄρει*
*πέφνεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς.*

*'Αντ. γ'.*

*Ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσιπόρους τριόδους ἐδινάθην,*
*ὀρθὰν κέλευθον ἰὼν τοπρίν· ἤ μέ τις ἄνεμος ἔξω πλόου*
*ἔβαλεν, ὡς ὅτ' ἄκατον εἰναλίαν.*
*Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθῷ συνετίθευ παρέχειν*
*φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλλᾳ ταρασσέμεν*

v. 23. *ἔκνισε* — v. 24. *λέχει δαμαλιζομέναν* — v. 25. *ἐννύχιοι* v. 26. *ἀμπλάκιον* — v. 32. *ἱκὼν* — v. 35. *ἐξίκετο νέᾳ κεφαλᾷ* — v. 36. *Παρνασσοῦ* et *ἀλλά γε χρόνῳ* — v. 38. *ἤ ῥ'* et *ἀμευσίπορον τρίοδον* — v. 41. *συνέθευ παρέχειν.* — v. 42. *ἄλλα χρὴ ταρασσέμεν.*

ἢ πατρὶ Πυθονίκῳ — Ἐπ. γ΄.
τό γέ νυν ἢ Θρασυδαίῳ·
τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.
τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι
Ὀλυμπίαν ἀγώνων πολυφάτων
ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·

Στρ. δ΄.

Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν
Ἑλλανίδα στρατιὰν ὠκύτατι. θεόθεν ἐραίμαν καλῶν,
δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
τῶν γὰρ ἂμ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ
ὄλβῳ τεθαλότα, μέμφομ' αἶσαν τυραννίδων·

Ἀντ. δ΄.

ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι· φθονεροὶ δ' ἀμύνονται
ἆται, εἴ τις ἄκρον ἑλὼν ἀσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν
ἀπέφυγεν· μέλανα δ' ἀν' ἐσχατιὰν
καλλίονα θάνατον σχήσει, γλυκυτάτᾳ γενεᾷ
εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών.

ἅ τε τὸν Ἰφικλείδαν — Ἐπ. δ΄.
διαφέρει Ἰόλαον
ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,
τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,
τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.

v. 43. *Πυθιονίκῳ* — v. 47. *Ὀλυμπίᾳ τ'* — v. 48. *ἔχον* — v. 49. *γυμνοὶ* — v. 52. *ἀνὰ* — v. 54 seq. Legebatur vulgo:
ἀμύνοντ' ἄ-
τᾳ. εἴ τις κτλ.
et v. 55. *ἄσυχά τε* — v. 56. *μέλανος ἂν* — v. 57. *θάνατον ἔσχεν*

## *ΠΥΘΙΟΝΙΚΑΙ ΙΒʹ.*

## *ΜΙΔΑι ΑΚΡΑΓΑΝΤΙΝΩι*

## *ΑΥΛΗΤΗι.*

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

*Στρ. αʹ.*

Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ τ' ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν, ὦ ἄνα,
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ
δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,
αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·

*Στρ. βʹ.*

τὸν παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς
ἄϊε λειβόμενον δυσπενθέϊ σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
εἰναλίᾳ τε πέτρᾳ λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον Φόρκοιο μαύρωσεν γένος,
λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον

v. 2. μαλοβότου — v. 11. ἄνυσεν — v. 12. εἰναλίᾳ Σερίφῳ — v. 13. Φόρκοι' ἀμαύρωσεν

*δουλοσύναν τό τ' ἀναγκαῖον λέχος,*
*εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας*

Στρ. γ΄.

*υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμεν αὐτορύτου*
*ἔμμεναι. ἀλλ' ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων*
*ἐρρύσατο, παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,*
*ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων*
*χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον.*
*εὗρεν θεός· ἀλλά νιν εὑροῖσ' ἀνδράσι θνατοῖς ἔχειν,*
*ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον,*
*εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων,*

Στρ. δ΄.

*λεπτοῦ διανισσόμενον χαλκοῦ θαμὰ καὶ δονάκων,*
*τοὶ παρὰ καλλίχορον ναίοισι πόλιν Χαρίτων,*
*Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.*
*εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου*
*οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον*
*δαίμων. τὸ δὲ μόρσιμον οὐ παρφυκτόν· ἀλλ' ἔσται χρόνος*
*οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν*
*ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω.*

v. 23. *πολλῶν* — v. 25. *θ' ἅμα* — v. 26. *καλλιχόρῳ ναίοισι πόλει* — v. 29. *ἦτοι* — v. 30. *τό γε*

# *ΝΕΜΕΟΝΙΚΑΙ.*

## *ΝΕΜΕΟΝΙΚΑΙ Α΄.*

## *ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι ΙΠΠΟΙΣ.*

Strophae.

– –́ ⏑ – ⏒ –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Epodi.

⏖́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

*Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,* *Στρ. α΄.*
*κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,*
*δέμνιον Ἀρτέμιδος,*
*Δάλου κασιγνήτα, σέθεν ἀδυεπὴς*
*ὕμνος ὁρμᾶται θέμεν*
*αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·*
*ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.*

ἀρχαὶ δὲ βέβληνται θεῶν · Ἀντ. α'.
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευσέν τέ οἱ χαίταις,
ἀριστεύοισαν εὐκάρπου χθονὸς

Ἐπ. α'.
Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς·
ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις
μιχθέντα. πολλῶν ἐπέβαν καιρὸν οὐ ψεύδει βαλών.

ἔσταν δ' ἐπ' αὐλείαις θύραις Στρ. β'.
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.

πράσσει γὰρ ἔργῳ μὲν σθένος, Ἀντ. β'.
βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν,
συγγενὲς οἷς ἕπεται.

v. 13. ἔγειρέ νυν — v. 24. ἐσλὸς

Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύ-
ψαις ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις
ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

Ἐπ. β'.

πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι
προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων
λόγον,
ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν
ἐς αἴγλαν παῖς Διὸς
ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν,

ὡς οὐ λαθὼν χρυσόθρονον Στρ. γ'.
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
ἀλλὰ θεῶν βασιλέα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας
γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρθὸν μὲν ἄντεινεν
κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,

δισσαῖσι δοιοὺς αὐχένων Ἀντ. γ'.
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον βέλος

v. 37. ὥς τ' οὐ — v. 39. βασίλεια — v. 48. ἄπλατον δέος

πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι
λέχει·
καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ
στρωμνᾶς, ὅμως ἄμυνεν ὕβριν κνωδάλων.

Ἐπ. γ'.

ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἀθρόοι σὺν ὅπλοις
ἔδραμον·
ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων
φάσγανον
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει
πάνθ' ὁμῶς·
εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον.

Στρ. δ'.

ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ· παλίγγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξο-
χον,
ὀρθόμαντιν Τειρεσίαν· ὁ δὲ οἱ φράζε καὶ παντὶ
στρατῷ, ποίαις ὁμιλήσει τύχαις,

Ἀντ. δ'.

ὅσσους μὲν ἐν χέρσῳ κτανών,
ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας·
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
φᾶσέ νιν δώσειν μόρῳ.
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν
μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν
γαίᾳ πεφύρσεσθαι κόμαν

v. 50. ὁμῶς — v. 51. σὺν ὅπλοις ἀθρόοι — v. 66. μόρον

Ἐπ. δ'.

*ἔνεπεν· αὐτὸν μὰν ἐν εἰράνᾳ καμάτων μεγάλων*
*ἐν σχερῷ*
*ἀσυχίαν τὸν ἅπαντα χρόνον ποινὰν λαχόντ' ἐξαί-*
*ρετον*
*ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοι-*
*τιν καὶ γάμον*
*δαίσαντα, πὰρ Δὶ Κρονίδᾳ σεμνὸν αἰνήσειν δόμον.*

v. 69. *ἐν εἰράνᾳ τὸν ἅπαντα χρόνον σχὲν ἀεὶ* — v. 70. *ἀσυχίαν, καμάτων μεγάλων ποινὰν* — v. 72. *Διῒ*

---

## *ΝΕΜΕΟΝΙΚΑΙ Β'.*
## *ΤΙΜΟΔΗΜΩι ΑΘΗΝΑΙΩι*
### *ΠΑΓΚΡΑΤΙΑΣΤΗι.*

---

⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏒
– –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
x x
– ⏓ –́ ⏑ ⏑ – ⏑ – ⏓ –́ ⏑ ⏑ – –
x x x
⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ – – – –́ ⏑ ⏑ – ⏑ – – ⏓ –́ ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏓

*Ὅθενπερ καὶ Ὁμηρίδαι* Στρ. α'.
*ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ*
*ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ*
*καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται*
*πρώταν Νεμεαίου*
*ἐν πολυυμνήτῳ Διὸς ἄλσει.*

*ὀφείλει δ' ἔτι, πατρίαν* Στρ. β'.
*εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς*
*αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,*

v. 4. *πρῶτον* — v. 8. *δέδωκεν*

*θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον,*
*ἐν Πυθίοισί τε νικᾶν*
*Τιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς*

*ὀρειᾶν γε Πελειάδων* *Στρ. γ'.*
*μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.*
*καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν*
*δυνατός. ἐν Τρωΐᾳ μὲν Ἕκτωρ Αἴαντος ἄκουσεν·*
*ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ*
*παγκρατίου τλάθυμος ἀέξει.*

*Ἀχάρναι δὲ παλαίφατοι* *Στρ. δ'.*
*εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις,*
*Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.*
*παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν·*
*ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν*

*ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς* *Στρ. ε'.*
*ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·*
*ἑπτὰ δ' ἐν Νεμέᾳ· τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ*
*Διὸς ἀγῶνι. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ*
*σὺν εὐκλέϊ νόστῳ·*
*ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.*

v. 12. *Ὠρίωνα* — v. 14. *Τροΐᾳ* — v. 16. *παλαίφατον* — v. 19. *Παρνασσῷ* — v. 23. *ἀριθμῷ*

## ΝΕΜΕΟΝΙΚΑΙ Γ'.

## ΑΡΙΣΤΟΚΛΕΙΔΗι ΑΙΓΙΝΗΤΗι ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

Strophae.



Epodi.



Στρ. α'.

*Ω πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι,*
*τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι*
*ἵκεο Δωρίδα νᾶσον Αἴγιναν. ὕδατι γὰρ*
*μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ μελιγαρύων τέκτονες*
*κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.*
*διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·*
*ἀθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν φιλεῖ,*
*στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.*

v. 7. ἀεθλονικίας

*Ἀντ. α'.*

*τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἀμᾶς ἄπο·*
*ἄρχε δ' οὐρανοῦ πολυνεφέλα κρέοντι, θύγατερ,*
*δόκιμον ὕμνον· ἐγὼ δὲ κείνων τέ μιν ὀάροις*
*λύρᾳ τε κοινάσομαι. χαρίεντα δ' ἕξει πόνον*
*χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι*
*ᾤκησαν, ὧν παλαίφατον ἀγορὰν*
*οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν*
*ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς*

*Ἐπ. α'.*

*παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν*
*ἄκος ὑγιηρὸν ἔν γε βαθυπέδῳ Νεμέᾳ τὸ καλλί-*
*νικον φέρει.*
*εἰ δ' ἐὼν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ*
*ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνευς·*
*οὐκέτι πρόσω*
*ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμα-*
*ρές,*

*ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας* *Στρ. β'.*
*μάρτυρας κλυτάς· δάμασε δὲ θῆρας ἐν πελά-*
*γεσιν*
*ὑπερόχος, διά τ' ἐξερεύνασε τεναγέων*
*ῥοάς, ὅπα πόμπιμον κατέβαινε νόστου τέλος,*
*καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν*
*ἄκραν ἐμὸν πλόον παραμείβεαι;*
*Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.*
*ἕπεται δὲ λόγῳ δίκας ἄωτος, ἐσλὸς αἰνεῖν·*

v. 10. *οὐρανῷ* — v. 11. *δ' ἐκείνων* — v. 12. *κοινώσομαι.* — v. 15. *ἐάν* — v. 18. *ἐν βαθυπεδίῳ* — v. 22. *ἔθηκεν* — v. 23. *πελάγεϊ* — v. 24. *ὑπερόχως· ἰδίᾳ τ' ἐρεύνασε* — v. 25. Cola erant post *ῥοὰς* et *κατέβαινε*, et aberat interpunctio post *τέλος.* — v. 27. *παραμείβῃ;*

'Αντ. β'.

οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες.
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαιαῖσι δ' ἐν ἀρεταῖς
γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών·
ὃς κἰαωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

'Επ. β'

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν
ἕπετό οἱ· οὐδέ μίν ποτε φόβος ἀνδροδάμας ἔπαυ-
σεν ἀκμὰν φρενῶν.
συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα
πνέων οὔ ποτ' ἀτρεκέϊ
κατέβα ποδί, μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύ-
εται.

Στρ. γ'.

ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δό-
μοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα, χερσὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλλων, ἴσα τ' ἀνέμοις
μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον,
κάπρους τ' ἔναιρε, σώματα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
ἑξέτης τοπρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον·
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα,

v. 34. καὶ Ἰωλκὸν εἷλεν — v. 38. χαλκοτόξων — v. 39. ἄλκαν φρενῶν pro ἀκμὰν φρ. — v. 41. ψεφηνὸς — v. 44. ἄθυρεν — v. 45. ἴσος ἀνέμοις, — v. 50. ἐθάμβεεν

*'Αντ. γ'.*

κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων·
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦτο προτέρων
ἔπος ἔχω· βαθυμῆτα Χείρων τράφε λιθίνῳ
Ἰάσον' ἔνδον τέγει, καὶ ἔπειτεν Ἀσκλαπιόν,
τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·
νύμφευσε δ' αὖτις ἀγλαόκαρπον
Νηρέος θύγατρα, γόνον τέ οἱ φέρτατον
ἀτίταλλεν ἐν ἀρμένοισι πάντα θυμὸν αὔξων·

*'Επ. γ'.*

ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς
ὑπὸ Τρωΐαν δορίκτυπον ἀλαλὰν Λυκίων τε προσμένοι καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ ἐγχεσφόροις ἐπιμίξαις
Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πάξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

*Στρ. δ'.*

τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·
Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν
ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.
βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει,
ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον. ἐν δὲ πείρᾳ τέλος
διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,

v. 52. κράτεσκεν et πρότερον — v. 53. λιθίνῳ τ' — v. 54. ἔπειτά γ' Ἀσκληπιόν· — v. 55. δίδαξεν — v. 56. αὖθις — v. 60. Τροΐαν — v. 62. Αἰθιόπεσσι, χεῖρας ἐν φρεσὶ

'Αντ. δ'.

ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον
ἐν παλαιτέροισι μέρος· ἕκαστον οἷον ἔχομεν
βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
ὁ μακρὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον.
τῶν οὐκ ἄπεστι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι
πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει,
πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,

'Επ. δ'.

ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοι-
νὸν ἄγραν ποσίν·
κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας, ἀεθλο-
φόρου λήματος ἕνεκεν
Νεμέας 'Επιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορ-
κεν φάος.

v. 72. ἐν δ' ἀνδράσιν — v. 73. παλαιτέροισι· μέρος — v. 79. Αἰολῖσιν — v. 80. πετανοῖς,

# ΝΕΜΕΟΝΙΚΑΙ Δ΄.

## ΤΙΜΑΣΑΡΧΩι ΑΙΓΙΝΗΤΗι ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι.



Ἄριστος εὐφροσύνα πόνων κεκριμένων Στρ. α΄.
ἰατρός· αἱ δὲ σοφαὶ
Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ᾽ ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

Στρ. β΄.

τό μοι θέμεν Κρονίδᾳ τε Διὶ καὶ Νεμέᾳ
Τιμασάρχου τε πάλᾳ
ὕμνου προκώμιον εἴη· δέξαιτο δ᾽ Αἰακιδᾶν
ἠΰπυργον ἕδος, δίκᾳ ξεναρκέϊ κοινὸν
φέγγος. εἰ δ᾽ ἔτι ζαμενεῖ Τιμόκριτος ἁλίῳ
σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
θαμά κε, τῷδε μέλει κλιθείς,
ὕμνον κελάδησε καλλίνικον

v. 3. θυγατέρες — v. 9. Διΐ

Στρ. γ'.

Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων
πέμψαντος καὶ λιπαρᾶν ·
εὐωνύμων ἀπ' Ἀθανᾶν, Θήβαις τ' ἐν ἑπταπύ-
λοις,
οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,
Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν
ξένιον ἄστυ κατέδραμεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

Στρ. δ'.

σὺν ᾧ ποτε Τρωΐαν κραταιὸς Τελαμὼν
πόρθησε καὶ Μέροπας
καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ,
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους. ἀπειρομάχας ἐὼν κε φανείη
λόγον ὁ μὴ συνιείς· ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς Στρ. ε'.
ὧραί τ' ἐπειγόμεναι·
ἴυγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

χαμαιπετοῖσαν. ἐμοὶ δ' ὁποίαν ἀρετὰν Στρ. ς'.
ἔδωκε πότμος ἄναξ,

v. 18. πέμψαντα — v. 25. ξὺν et καρτερὸς — v. 31. ξυνιείς· — v. 35. νουμηνίᾳ — v. 41. χαμαὶ πετοῖσαν

εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

Στρ. ζ'.

ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκὸν
πολεμίᾳ χερὶ προστραπὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν,

Στρ. η'.

δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις
τέχναισι χρησάμενος.
τᾷ δαιδάλῳ δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον
ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χείρων,
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμὰν
τε δεινοτάτων σχάσαις ὀδόντων

Στρ. θ'.

ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων,
εἶδεν δ' εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐς γένος αὐτῷ.

v. 49. Εὐξένῳ — v. 54. λατρίαν — v. 59. Δαιδάλῳ et φίτευέν οἱ — v. 62. θρασεομαχᾶν

*Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. ἀπότρεπε*
*αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·*
*ἄπορα γὰρ λόγον Αἰακοῦ*
*παίδων τὸν ἅπαντά μοι διελθεῖν.*

*Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων* Στρ. ι'.
*κᾶρυξ ἑτοῖμος ἔβαν*
*Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,*
*ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων*
*οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούο-*
*μεν,*
*Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς*
*πρόπολον ἔμμεναι. εἰ δέ τοι*
*μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις*

Στρ. ια'.
*στάλαν θέμεν Παρίου λίθου λευκοτέραν,*
*ὁ χρυσὸς ἑψόμενος*
*αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν*
*ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει*
*φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν*
*γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα*
*ἵν' ἐν ἀγῶνι βαρυκτύπου*
*θάλησε Κορινθίοις σελίνοις·*

Στρ. ιβ'.
*τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ*
*σὸς ἄεισέν ποτε, παῖ.*
*ἄλλοισι δ' ἅλικες ἄλλοι· τὰ δ' αὐτὸς ἂν τις ἴδῃ,*
*ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.*
*οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,*

v. 74. κάρυξ ἕτοιμος — v. 75. Ὀλυμπίᾳ — v. 77. πάτραν νιν — v. 90. ὁ σὸς ἀείσατο, παῖ. — v. 91. ἄν τις τύχῃ,

*ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,*
*μαλακὰ μὲν φρονέων ἐσλοῖς,*
*τραχὺς δὲ παλιγκότοις ἔφεδρος.*

v. 94. ἕλκει,

---

## *ΝΕΜΕΟΝΙΚΑΙ Ε΄.*

## *ΠΥΘΕΑι ΑΙΓΙΝΗΤΗι*

### *ΠΑΙΔΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗι.*

---

S t r o p h a e.

– –́ ⏑ – ⏒ –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏕ – –́ ⏑ ⏓
– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏕ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

E p o d i.

⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ – –́ –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒

*Στρ. α΄.*

*Οὐκ ἀνδριαντοποιός εἰμ', ὥστ' ἐλινύσοντά μ' ἐρ-*
*γάζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος*
*ἑσταότ'· ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ,*
*γλυκεῖ' ἀοιδά,*
*στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ', ὅτι*
*Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς*
*νίκη Νεμείοις παγκρατίου στέφανον,*

v. 1. ἐλινύσσοντά — v. 5. νικῇ

*οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας*
*ὀπώραν,*

*'Αντ. α'.*

*ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευ-*
*θέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων*
*Αἰακίδας ἐγέραρεν ματρόπολίν τε, φίλαν ξένων*
*ἄρουραν·*
*τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν*
*θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου*
*στάντες, πίτναν τ' εἰς αἰθέρα χεῖρας ἁμᾶ*
*Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ καὶ βία Φώκου κρέοντος,*

*'Επ. α'.*

*ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι*
*πόντου.*
*αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευ-*
*μένον,*
*πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλ-*
*κίμους*
*δαίμων ἀπ' Οἰνώνας ἔλασεν. στάσομαι. οὔ τοι*
*ἅπασα κερδίων*
*φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής·*
*καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ*
*νοῆσαι.*

*Στρ. β'.*

*εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι*
*πόλεμον δεδόκηται, μακρὰ δὴ*
*αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις· ἔχω γονάτων*
*ἐλαφρὸν ὁρμάν·*

v. 6. *γένυς φαῖνεν* — v. 7. *χρυσέων* — v. 16. *ἀποινώσαις* — v. 18. *ἀνθρώπων* — v. 19. *χερῶν* et in fine *μακρά μοι* — v. 20. *ἐλαφρὰν*

*καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.*
*πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ*
*Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις*
*φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων*

*Ἀντ. β'.*

*ἁγεῖτο παντοίων νόμων. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν*
*Πηλέα θ', ὥς τέ νιν ἁβρὰ Κρηθεῖς Ἱππολύτα δόλῳ πεδᾶσαι*
*ἤθελε ξυνᾶνα Μαγνήτων σκοπὸν*
*πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν,*
*ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,*
*ὡς ἄρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου*

*Ἐπ. β'.*

*εὐνᾶς· τὸ δ' ἐναντίον ἔσκεν· πολλὰ γάρ μιν παντὶ θυμῷ*
*παρφαμένα λιτάνευεν. τοῦ μὲν ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·*
*εὐθὺς δ' ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον*
*δείσαις· ὁ δ' ἐφράσθη κατένευσέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ*
*Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει*
*ποντίαν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,*

*Στρ. γ'.*

*γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·*

v. 22. *κἀκείνοις ἄειδεν Παλίῳ* — v. 30. *ἄρα* — v. 32. *τοῦ δέ τ' ὀργὰν*

ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ
πάντων. τὺ δ' Αἰγίνᾳ θεοῦ, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πιτνὼν ποικίλων ἔψαυσας ὕμνων.

Ἀντ. γ'.

ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως ἀγάλλει κεῖνον ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν

Ἐπ. γ'.

ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀθληταῖσιν ἔμμεν.
εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι
φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου,
πύκταν τέ νιν καὶ παγκρατίου φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ
ἀνθέων ποιᾶντα φέρειν στεφανώματα σὺν ξανθαῖς Χάρισσιν.

v. 41. θεᾶς — v. 42. πιτνῶν — v. 43. ἔθνος Πυθέας. — 44. ἄρηρεν — v. 45. τε κρατεῖ — v. 50. δίδου — v. 54. θεα ποιάεντα

# NEMEONIKAI ϛʹ.

## ΑΛΚΙΜΙΔῌ ΑΙΓΙΝΗΤῌ

## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ.

---

Strophae.



Epodi.



Στρ. αʹ.

Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς
αἰὲν ἕδος

v. 3. αἰεὶ

*μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν*
*νόον ἤτοι φύσιν ἀθανάτοις,*
*καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμι πότμος*
*οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.*

*'Αντ. α'.*

*τεκμαίρει καί νυν 'Αλκιμίδας τὸ συγγενὲς ἰδεῖν*
*ἄγχι καρποφόροις ἀρούραισιν. αἵτ' ἀμειβόμεναι*
*τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,*
*τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν. ἦλθέ τοι*
*Νεμέας ἐξ ἐρατῶν ἀέθλων*
*παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων Διόθεν αἶσαν*
*νῦν πέφανται*
*οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,*

*'Επ. α'.*

*ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων*
*πατροπάτορος ὁμαιχμίου.*
*κεῖνος γὰρ 'Ολυμπιόνικος ἐὼν Αἰακίδαις*
*ἔρνεα πρῶτος [ἐλαίας] ἀπ' 'Αλφεοῦ,*
*καὶ πεντάκις 'Ισθμοῖ στεφανωσάμενος,*
*Νεμέᾳ δὲ τρίς,*
*ἔπαυσε λάθαν*
*Σωκλείδα, ὃς ὑπέρτατος*
*'Αγησιμάχῳ υἱέων γένετο.*

v. 7. *ἄμμε* — v. 8. *ἄντιν'* — v. 11. *ἄνδρεσσιν ἐπηετανὸν πεδίων* — v. 15 seq. *πέφαντ' οὐκ ἄμοιρος* — v. 18. *ὁμαιμίου.* — v. 20. Abest [*ἐλαίας*] — v. 25. *'Αγησιμάχω*

Στρ. β'.

ἐπεί οἱ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς
ἦλθον, οἵτε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ
ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία πλεόνων
ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας. ἔλπομαι
μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν
ὧτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦτον ἄγε, Μοῖσα, οὖρον ἐπέων
ἐϋκλέ'· ἀποιχομένων γὰρ ἀνέρων

Ἀντ. β'.

ἀοιδοὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν,
Βασσίδαισιν ἅ τ' οὐ σπανίζει· παλαίφατος γενεά,
ἴδια ναυστολέοντες ἐπικώμια, Πιερίδων ἀρόταις
δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων
ἕνεκεν. καὶ γὰρ ἐν ἀγαθέᾳ
χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν ἀπὸ ταύτας
αἷμα πάτρας
χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν

Ἐπ. β'.

ἔρνεσι Λατοῦς, παρὰ Κασταλίᾳ τε Χαρίτων
ἑσπέριος ὁμάδῳ φλέγεν·
πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων

v. 26. ἐπεὶ οἱ — v. 29—33. μέγα εἰπὼν τύχεν ἄντα σκοποῦ. ὧτ' ἀπὸ τόξου ἱεῖσ' εὐθὺν ἐπὶ τοῦτον ἄγε, Μοῖσ', οὖρον ἐπέων εὐκλέα. παροιχομένων
v. 34. λόγιοι — v. 41. χρυσαλακάτω — v. 44. Ἀμφικτυόνων

ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
τίμασε Ποσειδάνιον ἂν τέμενος·
βοτάνα τέ νιν
πόθ' ἁ λέοντος
νικᾶντ' ἤρεφε δασκίοις
Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.

Στρ. γ'.

πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι
νᾶσον εὐκλέα τάνδε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν
ὄνυμ' αὐτῶν· καὶ ἐς Αἰθίοπας
Μέμνονος οὐκ ἀπονοστάσαντος ἔπαλτο· βαρὺ δέ σφιν
ἔλκος Ἀχιλεὺς
ἔμπαισε, χαμαὶ καταβὰς ἀφ' ἁρμάτων,

Ἀντ. γ'.

φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν Ἀόος ἀκμᾷ
ἔγχεος ζακότοιο. καὶ ταύταν μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων
λέγεται παντὶ μάλιστα δονεῖν
θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος

v. 45. Abest Κρεοντίδαν — v. 49. νικάσαντ' ἔρεψ' ἀσκίοις — v. 56. ἐπᾶλτο· βαρὺ δέ σφι νεῖκος ἔμπεσ' — v. 58. Ἀχιλλεὺς χαμαὶ καββαλς — v. 59. Ἀόος αἰχμᾷ — v. 60. καὶ τάνδε μὲν — v. 61. ἁμαξιτὸν

ἄγγελος ἔβαν,
πέμπτον γ' ἐπὶ εἴκοσι τοῦτο γαρύων

Ἐπ. γ'.

εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς,
Ἀλκιμίδα ὅ τ' ἐπάρκεσεν
κλειτὰ γενεά· δύο μὲν Κρονίου πὰρ τεμένει,
παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν
κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος.
δελφῖνί κεν
τάχος δι' ἅλμας
ἴσον εἴποιμι Μελησίαν,
χειρῶν τε καὶ ἰσχύος ἁνίοχον.

v. 66. πέμπτον ἐπ' — v. 68. Ἀλκιμίδας τό γ' — v. 69. κλειτᾷ γενεᾷ· — v. 70. παῖ, σέ τ' ἐνόσφισε Τιμίδαν — v. 75. χερῶν

---

## ΝΕΜΕΟΝΙΚΑΙ Ζ'.

## ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

### ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩι.

---

Strophae.



E p o d i.



Στρ. α'.

'Ελείθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων,
παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας, γενέτειρα
τέκνων· ἄνευ σέθεν
οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα·
εἴργει δὲ πότμῳ ζυγένθ' ἕτερον ἕτερα. σὺν δὲ τὶν
καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις.

'Αντ. α'.

πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορυκτύπων
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ
θυμὸν ἀμφέπειν.
εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν
ῥοαῖσι Μοισᾶν ἐνέβαλεν· αἱ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι·
ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς.

σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον 'Επ. α'.

v. 1. πάρεδρος — v. 6. πότμῳ ζυγὸν — v. 12. ταὶ — v. 15. Μνημοσύνας — v. 16. εὕρῃ τις

*ἔμαθον, οὐδ' ὑπὸ κέρδει βλάβεν·*
*ἀφνεὸς πενιχρός τε θανάτου πέρας*
*ἅμα νέονται. ἐγὼ δὲ πλέον' ἔλπομαι*
*λόγον Ὀδυσσέος ἢ πάθεν διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον.*

*ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ* Στρ. β'.
*σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπτει παράγοισα μύθοις· τυφλὸν δ' ἔχει*
*ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν*
*ἓ τὰν ἀλάθειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς*
*ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν*
*λευρὸν ξίφος· ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ*
*ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς*
*ἐν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ*

Ἀντ. β'.
*πρὸς Ἴλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται*
*κῦμ' Ἀΐδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα· τιμὰ δὲ γίγνεται*
*ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων*
*βοαθόον, τοὶ παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου*
*μόλον χθονός· ἐν Πυθίοισι δὲ δαπέδοις*
*κεῖται, Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν·*
*τᾷ καὶ Δαναοὶ πόνησαν· ὁ δ' ἀποπλέων*
*Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ' εἰς Ἐφύραν ἵκοντο·*

*Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον* Ἐπ. β'.
*χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν*

v. 18. *βάλον.* — v. 19 seq. *θανάτου παρὰ σᾶμα* — v. 20. *πλέον* — v. 22. *ψευδέεσσίν οἱ ποτανᾷ μαχανᾷ* — v. 25. *ἐὰν ἀλάθειαν εἰδέμεν* — v. 28. *ξανθῷ Μενέλα* — v. 31. *ἐν καὶ* — v. 33. *βοᾷ θοῶν· τοὶ γὰρ μ.* — v. 34. *ἔμολε* — v. 37. *ἅμαρτεν, ἵκοντο δ' εἰς Ἔφυραν πλαγχθέντες.*

τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς θεόν,
κτέαν᾽ ἄγων Τρωΐαθεν ἀκροθινίων·
ἵνα κρεῶν νιν ὑπὲρ μάχας ἔλασεν ἀντιτυχόντ᾽
ἀνὴρ μαχαίρᾳ.

βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται. Στρ. γ΄.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχρῆν δέ τιν᾽ ἔνδον
ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τολοιπὸν ἔμμεναι
θεοῦ παρ᾽ εὐτειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς
θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις
εὐώνυμον ἐς δίκαν. τρία ἔπεα διαρκέσει·
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ᾽ ἐκγόνων θρασύ μοι τόδ᾽
εἰπεῖν

Ἀντ. γ΄.

φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα
ἔργῳ· κόρον δ᾽ ἔχει
καὶ μέλι καὶ τὰ τέρπν᾽ ἄνθε᾽ Ἀφροδίσια.
φυᾷ δ᾽ ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες,
ὁ μὲν τά, τὰ δ᾽ ἄλλοι· τυχεῖν δ᾽ ἕν᾽ ἀδύνατον
εὐδαιμονίαν ἅπασαν ἀνελόμενον· οὐκ ἔχω
εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
ὤρεξε. Θεαρίων, τὶν δ᾽ ἐοικότα καιρὸν ὄλβου

δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ Ἐπ. γ΄.
σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν.
ξεῖνός εἰμι· σκοτεινὸν ἀπέχων ψόγον,

v. 41. κτέατ᾽ ἀνάγων — v. 47. θεμίσκοπον — v. 48. Post εὐώνυμον interpungebatur, non post δίκαν. — v. 56. οὐδ᾽ — v. 59. ἀραμένῳ — v. 60. σύνεσις οὐκ ἀποβλέπει — v. 61. *σκοτεινὸν

*ὕδατος ὤτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων*
*κλέος ἐτήτυμον αἰνέσω· ποτίφορος δ' ἀγαθοῖσι*
*μισθὸς οὗτος.*

*Στρ. δ'.*

*ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ*
*Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων· προξενίᾳ πέποιθ'· ἔν*
*τε δαμόταις*
*ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβαλών,*
*βίαια πάντ' ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων*
*ποτὶ χρόνος ἕρποι. μαθὼν δέ τις ἂν ἐρεῖ,*
*εἰ πὰρ μέλος ἔρχομαι ψόγιον ὄαρον ἐννέπων.*
*Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω*
*μὴ τέρμα προβὰς ἄκονθ' ὤτε χαλκοπάραον ὄρ-*
*σαι*

*Ἀντ. δ'.*

*θοὰν γλῶσσαν, ὃς ἐξέπεμψεν παλαισμάτων*
*αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι πρὶν ἁλίῳ*
*γυῖον ἐμπεσεῖν.*
*εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.*
*ἔα με· νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς*
*ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν.*
*εἴρειν στεφάνους ἐλαφρόν· ἀναβάλεο· Μοῖσά τοι*
*κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ*
*καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας.*

*Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ* *Ἐπ. δ'.*
*πολύφατον θρόον ὕμνων δόνει*

v. 65. *καὶ προξενίᾳ* — v. 69. *ψέγιον* — v. 71. *ὥστε* —
v. 72. *ἐξέπεμψας* — v. 75 seq. *ἔα με, νικῶντί γε χάριν*
*εἴ τί περ ἂν ἀερθεὶς*
*ἀνέκραγον. οὐ κτλ.*
v. 77. *ἀναβάλλεο·* — v. 81. *ὕμνων θρόον*

ἀσυχᾶ. βασιλῆα δὲ θεῶν πρέπει
γάπεδον ἂν τόδε γαρυέμεν ἁμέρᾳ
ὀπί· λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις
γοναῖς φυτεῦσαι,

Στρ. ε'.

ἐᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,
Ἡράκλεες, σέο δὲ προπρεῶνα μὲν ξεῖνον ἀδελ-
φεόν τ'. εἰ δὲ γεύεται
ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον' ἔμμεναι
νόῳ φιλήσαντ' ἀτενέϊ γείτονι χάρμα πάντων
ἐπάξιον· εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι,
ἐν τίν κ' ἐθέλοι, Γίγαντας ὃς ἐδάμασας, εὐτυχῶς
ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐϋκτήμονα ζαθέαν ἀγυιάν·

ἐπεὶ τετραόροισιν ὥθ' ἁρμάτων ζυγοῖς 'Αντ. ε'.
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χει-
ρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν
κόραν τε γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν
ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ

γέρας τόπερ νῦν καὶ ἄρειον ὄπιθεν. Ἐπ. ε'.
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι

v. 82. ἀσυχῆ — v. 83. δάπεδον et θευμερᾶ — v. 84. μιν — v. 85. ἐμᾷ — v. 87. ἀνήρ, τί φ. — v. 88. φιλήσαντά γ' ἀτενεῖ, γείτονι; — v. 90. ἐθέλει — v. 95. Ἥραν — v. 99 γήρᾳ

ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος.

v. 104. ἔπεσσι· ταῦτα et deinde τετράκις — v. 105. μαψιλάκας

---

## ΝΕΜΕΟΝΙΚΑΙ Η'.
## ΔΕΙΝΙΔΙ ΑΙΓΙΝΗΤΗι ΣΤΑΔΙΕΙ.

---

Strophae.



Epodi.



Στρ. α'.

Ὥρα πότνια, κᾶρυξ Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
ἅτε παρθενηΐοις παίδων τ' ἐφίζοισα γλεφάροις
τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.

v. 1. κάρυξ — v. 2. παρθενίοισι καὶ παίδων ἐφ. βλεφ. — v. 3. ἀν' ἀγκὰς

ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον
ἕκαστον
τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι.

Ἀντ. α'.

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφε-
πόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς Οἰνώνας βα-
σιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος. πολλά νιν πολλοὶ λιτά-
νευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων
ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες,

Ἐπ. α'.

οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατὸν
οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ
φίλας
ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν,
Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νε-
μεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι
παρμονώτερος·

Στρ. β'.

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε
Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι
φάμεν.

v. 10. πείθεσθαι ἀξίαις — v. 13. γουνάτων — v. 16. Δείνιδος

*πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ*
*ἐς ἔλεγχον ἅπας κίνδυνος· ὄψον δὲ λόγοι φθονεροῖσιν·*
*ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει.*

*Ἀντ. β΄.*

*κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις.*
*ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει*
*ἐν λυγρῷ νείκει· μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.*
*κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν·*
*χρυσέων δ' Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.*

*Ἐπ. β΄.*

*ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροῒ*
*ἕλκεα ῥῆξαν πελεμιζόμενοι*
*ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,*
*ἄλλων τε μόχθων ἐν πολυφθόροις*
*ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,*
*αἱμύλων μύθων ὁμόφοιτος, δολοφραδής, κακοποιὸν ὄνειδος·*
*ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.*

*Στρ. γ΄.*

*εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις*

v. 23. ἀμφικυλίσσαις. — v. 25. λυγρῷ ἐν — v. 28. δαΐοισιν — v. 29. πολεμιζόμενοι — v. 31. πολυφθόροισιν ἐν

ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πε-
δίον δ' ἕτεροι
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα
καλύψαιμ',
αἰνέων αἰνητά, μομφὰν δ' ἐπισπείρων ἀλιτροῖς.

'Αντ. γ'.

αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δέν-
δρεον ᾄσσει,
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε, πρὸς
ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν
ἀμφὶ πόνοις
ὑπερώτατα· μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι
θέσθαι
πίστιν. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι

'Επ. γ'.

οὔ μοι δυνατόν· κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος·
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύ-
μων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοιδαῖς δ' ἀνὴρ
νώδυνον καί τις κάματον θῆκεν. ἦν γε μὰν ἐπι-
κώμιος ὕμνος
δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν 'Αδράστου τάν
τε Καδμείων ἔριν.

v. 40. δένδρον ἀΐσ-
v. 41. σει σοφοῖς — et ibid. ὑγρὰν — v. 49. ἐπ' ἀοιδαῖς

## [*ΝΕΜΕΟΝΙΚΑΙ Θ΄.*]

## *ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι*

### *ΑΡΜΑΤΙ.*

---

–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––
–́⏑–⏓–́⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑⏓
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––́⏑⏓
–́⏑––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑⏓
––́⏑––́⏑––́⏑–⏓

*Στρ. α΄.*

*Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι,*
*τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ' ἀναπεπταμέναι*
*ξείνων νενίκανται θύραι,*
*ὄλβιον ἐς Χρομίου δῶμ'. ἀλλ' ἐπέων γλυκὺν*
*ὕμνον πράσσετε.*
*τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι*
*καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει*
*Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.*

*Στρ. β΄.*

*ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν*
*μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ' ἐπέων καύ-*
*χαις ἀοιδὰ πρόσφορος.*
*ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν*
*ἐπ' αὐτὰν ὄρσομεν*
*ἱππίων ἄθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν Ἄδρα-*
*στος ἐπ' Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ*
*μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,*

*Στρ. γ΄.*

*ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς*

v. 7. *καύχας* — v. 9. *ἱππείων*

*ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς*
*ἄμφαινε κυδαίνων πόλιν.*
*φεῦγε γὰρ Ἀμφιάρηόν τε θρασυμήδεα καὶ δεινὰν*
*στάσιν*
*πατρῴων οἴκων ἀπό τ' Ἄργεος· ἀρχοὶ δ' οὐκ ἔτ'*
*ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.*
*κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.*

Στρ. δ'.

*ἀνδροδάμαν δ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,*
*δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν*
*ἔσσαν μέγιστοι. δὴ τόθεν*
*καί ποτ' ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν*
*ἀνδρῶν αἰσιᾶν*
*οὐ κατ' ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων ἀστεροπὰν*
*ἐλελίξαις οἴκοθεν μαργουμένους*
*στείχειν ἐπώτρυν', ἀλλὰ φείσασθαι κελεύθου.*

Στρ. ε'.

*φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέ-*
*σθαι*
*χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσμη-*
*νοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν*
*νόστον ἐρυσσάμενοι λευκανθέα σώματ' ἐπίαναν*
*καπνόν·*
*ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας· ὁ δ'*
*Ἀμφιάρῃ σχίσσεν κεραυνῷ παμβίᾳ*
*Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ' ἅμ'*
*ἵπποις,*

Στρ. ς'.

*δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν*

v. 14. πατρίων — v. 16. ἀνδροδάμαν τ' — v. 17. ἦσαν aberat δὴ τόθεν — v. 18. στρατὸν ἄγαγον — v. 23. ἐρυάμενοι λευκανθέα σώμασ' ἐπ' — v. 24. ὁ δ' Ἀμφιάρηι σχίσεν

*θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις*
*φεύγοντι καὶ παῖδες θεῶν.*
*εἰ δυνατόν, Κρονίων, πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων*
*ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς πόρσιστα, μοῖραν δ' εὔνομον*
*αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,*

*Στρ. ζ'.*

*Ζεῦ πάτερ, ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμῖξαι*
*λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων*
*ψυχὰς ἔχοντες κρέσσονας*
*ἄνδρες. ἄπιστον ἔειπ'· αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται,*
*ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις*
*ἔκρινας ἂν κίνδυνον ὀξείας ἀϋτᾶς,*

*Στρ. η'.*

*οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ*
*θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦροι δὲ βουλεῦσαι φόνου*
*παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας*
*χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν*
*ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,*

*Στρ. θ'.*

*ἔνθ' Ἀρέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν*
*παιδὶ τοῦτ' Ἀγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ·*
*τὰ δ' ἄλλαις ἁμέραις*

v. 33. ὑπόκρυφα — v. 41. Ἀρείας

*πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ*
*φάσομαι.*
*ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δί-*
*κᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.*
*ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.*

*Στρ. ι'.*

*εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται*
*κῦδος, οὐκέτ' ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλ-*
*λας ἐφάψασθαι ποδοῖν.*
*ἁσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ'*
*αὔξεται*
*μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ· θαρσαλέα δὲ πα-*
*ρὰ κρατῆρι φωνὰ γίγνεται.*
*ἐγκιρνάτω τίς μιν, γλυκὺν κώμου προφάταν,*

*Στρ. ια'.*

*ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν*
*ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ*
*πέμψαν θεμιπλέκτοις ἅμα*
*Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ*
*πάτερ,*
*εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσ-*
*σιν, ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις*
*νίκαν, ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν.*

v. 49. κρητῆρα — v. 55. σκοποῦ

# [ΝΕΜΕΟΝΙΚΑΙ Γ'.]

## ΘΕΑΙΩι ΑΡΓΕΙΩι ΠΑΛΑΙΣΤΗι.

Strophae.



Epodi.



Στρ. α΄.

Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,
Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ' ἀρεταῖς
μυρίαις ἔργων θρασέων ἕνεκεν.
μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·
πολλὰ δ' Αἰγύπτῳ τὰ κατῴκισεν ἄστη ταῖς Ἐπάφου παλάμαις·
οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη, μονόψαφον ἐν κουλεῷ κατασχοῖσα ξίφος.

v. 1. ἀγλαοθώκων — v. 5. πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν — v. 6. κολεῷ

Ἀντ. α΄.

*Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις*
*ἔθηκε θεόν·*
*γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς*
*βέλεσιν*
*μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·*
*καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει. πάλαι*
*Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον*
*κατέφανε λόγον·*
*πατρί τ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν καρπὸν*
*εὐθείᾳ συνάρμοξεν δίκᾳ·*

Ἐπ. α΄.

*θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ φέρ-*
*τατος*
*ἵκετ' ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις*
*Τηλεβόας ἐναρόντ' ὄψιν οἱ ἐειδόμενος*
*ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν*
*σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ'*
*Ὄλυμπον*
*ἄλοχος Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ' ἔστι,*
*καλλίστα θεῶν.*

Στρ. β΄.

*βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀρ-*
*γεῖον ἔχει τέμενος*
*μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς*
*ἀντιάσαι·*
*ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,*
*καὶ παλαισμάτων λάβε φροντίδ'· ἀγών τοι χάλ-*
*κεος*

v. 12. *πατρὶ δ'* — v. 15. *ἔναρεν, καί οἱ ὄψιν ἐειδόμενος*

δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε
κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θεαῖος εὐφό-
ρων λάθαν πόνων.

Ἀντ. β'.

ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι,
τύχᾳ τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοίσαισί
τ' ἔδωκ' ἀρόσαι,
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενὶ σιγᾷ οἱ στόμα·
πᾶν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων
τόλμαν παραιτεῖται χάριν·

Ἐπ. β'

γνωτὰ Θειαίῳ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἄθλων κορυφαῖς. ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν· ἁδεῖαί γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν
παμποικίλοις.

Στρ. γ'.

ἕπεται δέ, Θεαῖε, ματρώων πολύγνωτον γένος
ὑμετέρων
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις
θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου

v. 23. θυσίαν — v. 24. Θειαῖος — v. 31. γνώτ ἀείδω θεῷ τε χὤστις — v. 32. ἀέθλων — v. 34. μιν — v. 37. Θειαῖε,

Ἀντία τε ξύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο τόδ'
ἱπποτρόφον
ἄστυ θάλησεν Κορίνθου τ' ἐν μυχοῖς καὶ Κλεω-
ναίων πρὸς ἀνδρῶν τετράκις·

Ἀντ. γ'.

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιά-
λαις ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι
κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς·
ὄντε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι
πόλιες
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ σὺν ποδῶν
χειρῶν τε νικᾶσαι σθένει.

Ἐπ. γ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι. καὶ
μὰν θεῶν πιστὸν γένος.

Στρ. δ'.

μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ
πατρὶ φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυά-
λοις Θεράπνας,

v. 41. ἱπποτρόφον ἄστυ τὸ Προί-
v. 42. τοιο θάλησεν — v. 43. ἐπέβαν — v. 48 χερῶν —
v. 49. ξεινίαν παρὰ Παμφάη, — v. 56. Διῒ

πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ᾽ οὐρανῷ
εἵλετ᾽ αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.
τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολωθεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.

Ἀντ. δ'.

ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
ἡμένους. κείνου γὰρ ἐπιχθονίων πάντων γένετ᾽ ὀξύτατον
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν, καὶ μέγα ἔργον ἐμήσαντ᾽ ὠκέως.
καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός· αὐτίκα γὰρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ᾽ ἔναντα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·

Ἐπ. δ'.

ἔνθεν ἁρπάξαντες ἄγαλμ᾽ Ἀΐδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ᾽ οὔ νιν φλάσαν,
οὐδ᾽ ἀνέχασσαν· ἐφορμαθεὶς δ᾽ ἄρ᾽ ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ᾽ ἐπ᾽ Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
ἅμα δ᾽ ἐκαίοντ᾽ ἐρῆμοι. χαλεπὰ δ᾽ ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων.

Στρ. ε'.

ταχέως δ᾽ ἐπ᾽ ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,

v. 60. αἰχμᾷ. — v. 62. ἡμένως — v. 69. ἀνέσχασαν. — v. 72. ἁμᾷ δὲ καίοντ᾽

καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
ὄρθιον φώνασε· Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν

'Αντ. ε'.

καμάτου μεταλαμβάνειν. ὣς ἔννεπε· Ζεὺς δ' ἀντίος ἤλυθέ οἱ
καὶ τόδ' ἐξαύδασ' ἔπος· 'Εσσί μοι υἱός· τόνδε δ' ἔπειτα πόσις
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
στάξεν ἥρως. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ'· εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον
αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν ἐμοὶ σύν τ' 'Αθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει·

'Επ. ε'.

ἔστι σοὶ μὲν τῶν λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὣς ἄρ' αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος.

v. 74. φρίσσοντ' ἀναπνοὰς κίχεν. — v. 75. δὲ — v. 77. καί μοι — v. 79. ἤλυθέν οἱ, — v. 82. ἔσταξ' — v. 84. αὐτὸς Οὔλυμπον ἐθέλεις σύν τ' 'Αθαναίᾳ — v. 85. ἔστι σοι τούτων λ. — v. 90. χαλκεομίτρα

## [ΝΕΜΕΟΝΙΚΑΙ ΙΑ'.]
## ΑΡΙΣΤΑΓΟΡᾼ ΤΕΝΕΔΙῼ ΠΡΥΤΑΝΕΙ.

Strophae.



Epodi.



Στρ. α'.

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον,

Ἀντ. α'.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται Θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
δωδεκάμηνον περάσαι σὺν ἀτρώτῳ κραδίᾳ.

Ἐπ. α'.

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν,

v. 4. ἀγλαῷ σκάπτω — v. 7. κνίσσᾳ et σφιν — v. 8. ἀεννάοις

καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλων,
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν·
θνατὰ μεμνάσθω περιστέλλων μέλη,
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.

Στρ. β'.

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελιξέμεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.

Ἀντ. β'.

ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἄθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων,

Ἐπ. β'.

πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

Στρ. γ'.

συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ

v. 17. ἀγαθοῖσι μὲν — v. 23. ἀέθλων. — v. 33. συμβ ίαν εὐμ.

*Αἰολέων στρατιὰν χαλκευτέα δεῦρ' ἀνάγων·*
*καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον*
*ἐκ Μελανίπποιο μάτρωος. ἀρχαῖαι δ' ἀρεταὶ*

*Ἀντ. γ'.*

*ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·*
*ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,*
*δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις*
*ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,*
*ἀλλ' ἐν ἀμείβοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει*

*Ἐπ. γ'.*

*μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται*
*τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,*
*ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ*
*ἐλπίδι γυῖα· προμαθείας δ' ἀπόκεινται ῥοαί.*
*κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·*
*ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.*

v. 35. χαλκευτεων — v. 40. περιόδοις — v. 42. οὕτω: σθένος

# *ΙΣΘΜΙΟΝΙΚΑΙ.*

## *ΙΣΘΜΙΟΝΙΚΑΙ Α'.*

## *ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι*

## *ΑΡΜΑΤΙ.*

S t r o p h a e.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

E p o d i.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏒
– –́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

*Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,* *Στρ. α'.*
*πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον*
*θήσομαι. μή μοι κραναὰ νεμεσάσαι*
*Δᾶλος, ἐν ᾇ κέχυμαι.*
*τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;*
*εἶξον, ὦ 'πολλωνιάς· ἀμφοτερᾶν τοι χαρίτων*
*σὺν θεοῖς ζεύξω τέλος,*

*καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων* *'Αντ. α'.*

ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ
δειράδ᾽· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος. ἐν ᾇ καὶ τὸν ἀδείμαντον Ἀλκμήνα τέκεν

Ἐπ. α'.

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρίξαν κύνες.
ἀλλ᾽ ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἀνία τ᾽ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ᾽ ἐθέλω
ἢ Καστορείῳ ἢ Ἰολάου ἐναρμόξαι μιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι·

ἔν τ᾽ ἀέθλοισι θίγον πλείστων ἀγώνων, Στρ. β'.
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον
καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ,
γευόμενοι στεφάνων
νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν τ᾽ ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις·

οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς, Ἀντ. β'.
καὶ λιθίνοις ὁπότ᾽ ἐν δίσκοις ἵεν.
οὐ γὰρ ἦν πεντάθλιον, ἀλλ᾽ ἐφ᾽ ἑκάστῳ
ἔργματι κεῖτο τέλος.
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις
ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ᾽ Εὐρώτᾳ πέλας,

v. 8. ἀμφιρύτῳ — v. 11. ὤπασε — v. 25. ὁπότε δίσκοις ἵεν; — v. 26. πένταθλον ἔτ᾽, ἀλλ᾽ — v. 29. Εὐρώτα

Ἐπ. β'.

Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς ὑψίπεδον Θεράπνας
οἰκέων ἕδος.
χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ
Ὀγχηστίαισίν τ' ἀϊόνεσσιν περιστέλλων ἀοιδὰν
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν
Ἀσωποδώρου πατρὸς αἶσαν

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν, Στρ. γ'.
ἅ νιν ἐρειδόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας. ὁ πονήσαις δὲ νόῳ καὶ προ-
μάθειαν φέρει.

εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν, Ἀντ. γ'.
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀγαθὸν
ξυνὸν ὀρθῶσαι καλόν.

Ἐπ. γ'.

μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις
γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόν-
τος τρέφει·
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται.
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος
ἁβρόν,

v. 41. ἀρετὰ κατὰ κεῖται — v. 48. μαλοβότᾳ

εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν
καὶ ξένων γλώσσας ἄωτον.

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν Στρ. δ΄.
γείτον' ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
καὶ σέθεν, Ἀμφιτρύων,
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα καὶ Εὔβοιαν ἐν γναμπτοῖς δρόμοις·

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν Ἀντ. δ΄.
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς
Ἡροδότῳ ἔπορεν
ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει.

Ἐπ. δ΄.

εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς
Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα τιμὰν ἑπταπύλοις
Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον,
ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀΐδᾳ τελέων
οὐ φράζεται δόξας ἄνευθεν.

v. 51. δέχεται, — v. 65. Πυθόθεν

## *ΙΣΘΜΙΟΝΙΚΑΙ Β΄.*

## *ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι ΑΡΜΑΤΙ.*

Strophae.



Epodi.



*Στρ. α΄.*

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι,
ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

*Ἀντ. α΄.*

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·
οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.

v. 1. ὅσοι χρ. — v. 7. μελίφθογγοι

*νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι*
*ῥῆμ' ἀλαθείας ὁδῶν ἄγχιστα βαῖνον,*

*Επ. α΄.*

*Χρήματα, χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θαμὰ λειφθεὶς καὶ φίλων.*
*ἐσσὶ γὰρ ὦν σοφός, οὐκ ἀγνῶτ' ἀείδω*
*Ἰσθμίαν ἵπποισι νίκαν,*
*τὰν Ξενοκράτει Ποσειδαων ὀπάσαις,*
*Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ*
*πέμπεν ἀναδεῖσθαι σελίνων,*

*Στρ. β΄.*

*εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.*
*ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν*
*καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς*
*ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη*
*ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,*

*Ἀντ. β΄.*

*τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἁνίαις.*
*ὅντε καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα*
*Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·*
*ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ*
*χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας*

v. 10. *ῥῆμα τῆς ἀληθ. ἄγχ. β.* — v. 11. *θ' ἅμα* — v. 15 *κόμαν* — v. 18. *μιν* — v. 22. *νώμ' ἀπ.* — v. 23. *ἀνέγνω·* — v. 26. *πιτνῶντα*

Ἐπ. β'.

γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,
οὔτε μελικόμπων ἀοιδᾶν.

Στρ. γ'.

οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίγνεται,
εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,

Ἀντ. γ'.

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας· οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν·
ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάς.

Ἐπ. γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι

v. 35. ἀκοντίσαιμι

*οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν*
*ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν*
*ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.*

v. 46. *εἰργασάμην*

---

## *ΙΣΘΜΙΟΝΙΚΑΙ Γ'. [Γ'. Δ'.]*
## *ΜΕΛΙΣΣῼ ΘΗΒΑΙῼ*
### *ΠΑΓΚΡΑΤΙῼ.*

---

Strophae.

–́ ⏑ – ⏒ –́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ ⏑ ⏔ ⏑ ⏑ – ⏒ –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Epodi.

– –́ ⏑ ⏑ ⏒ ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ ⏓
– –́ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ – ⏒ –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏔ – –́ ⏑ ⏓

*Στρ. α'.* III.

*Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις*
*ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,*
*ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι.* 5
*Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται*
*ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλα-*
*γίαις δὲ φρένεσσιν*
*οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.* 1

v. 2. *φρεσὶν*

*Ἀντ. α΄.*

εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἄθλων Μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ στεφάνους, τὰ δὲ κοίλᾳ λέοντος
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν

*Ἐπ. α΄.*

ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστιχον τετρᾳοριᾶν πόνοις.
αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν· ἄτρωτοί γε μὰν παῖδες θεῶν.

*Στρ. β΄. IV.*

ἔστι μοι θεῶν ἕκατι μυρία παντᾶ κέλευθος·
ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος. ἄλλοτε δ' ἀλλοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.

*Ἀντ. β΄.*

τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ
ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται

v. 8. *Χαρίτεσσι* — v. 9. *ἀέθλων* — v. 17. *Λαβδακίδαισι* — v. 23. *τὸ βίου*

μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος· ἀνορέαις δ᾽ ἐσχάταισιν
οἴκοθεν στάλαισιν ἅπτονθ᾽ Ἡρακλείαις.
καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν. Ἐπ. β΄.
ἱπποτρόφοι τ᾽ ἐγένοντο,
χαλκέῳ τ᾽ Ἄρει ἅδον.
ἀλλ᾽ ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
νῦν δ᾽ αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον
χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις

Στρ. γ΄.

δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν· ἀλλ᾽ ἀνεγειρομένα χρῶτα λάμπει,
Ἑωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·

Ἀντ. γ΄.

ἅ τε κἀν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
ἔν τ᾽ Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν
τοιάδε τῶν τότ᾽ ἐόντων φύλλ᾽ ἀοιδᾶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλάνεσσι δ᾽ ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων.
τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί.

v. 36. ἅτε φοινικίοισιν ἄνθησαν — v. 42. Ἀωσφόρος — v. 43. κ᾽ εἰν γουνοῖς

ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων, 'Επ. γ'.
πρὶν τέλος ἄκρον ἱκέσθαι·
τῶν τε γὰρ καὶ τῶν διδοῖ·
καὶ κρέσσον' ἀνδρῶν χειρόνων
ἔσφαλε τέχνα καταμάρψαισ'. ἴστε μὰν Αἴαντος ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχει παίδεσσιν Ἑλλάνων, ὅσοι Τρῴανδ' ἔβαν.

Στρ. δ'.

ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
εἴ τις εὖ εἴπῃ τι, καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

'Αντ. δ'.

προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρᾶ λεόντων
ἐν πόνῳ, μῆτιν δ' ἀλώπηξ, αἰετοῦ ἅ τ' ἀναπιτναμένα ῥόμβον ἴσχει.
χρὴ δὲ πᾶν ἔρδοντα μαυρῶσαι τὸν ἐχθρόν.
οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν· 'Επ. δ'.
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' ἀκμᾷ βαρύς.

v. 51. τῶνδε γὰρ διδοῖ τέλος — v. 53. ἔσφαλλε — v. 58. ρπει. — v. 64. θηρῶν — v. 66. ἔρδοντ' ἀμαυρῶσαι — v. 69 ἰχμᾶ

*καίτοι πότ' Ἀνταίου δόμους*
*Θηβᾶν ἀπὸ Καδμεΐᾶν μορφὰν βραχύς, ψυχὰν δ'*
*ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ*
*τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων*
*ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι,*

*Στρ. ε'.*

*υἱὸς Ἀλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε*
*πάσας*
*καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,*
*ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.*
*νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον*
*ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων φί-*
*λος, Ἥβαν τ' ὀπυίει,*
*χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.*

*Ἀντ. ε'.*

*τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες*
*ἀστοὶ*
*καὶ νεόδματα στεφανώματα βωμῶν αὔξομεν*
*ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,*
*τοὺς Μεγάρα τέκε οἱ Κρειοντὶς υἱούς·*
*τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα*
*συνεχὲς παννυχίζει*
*αἰθέρα κνισᾶντι λακτίζοισα καπνῷ,*

*Ἐπ. ε'.*

*καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων*
*γίγνεται, ἰσχύος ἔργον.*
*ἔνθα λευκωθεὶς κάρα*
*μύρτοις ὅδ' ἀνὴρ διπλόαν*

v. 71. *Καδμηΐᾶν* — v. 82. *τέκεν οἱ Κρεοντὶς*

νίκαν ἀνεφάνατο παίδων καὶ τρίταν πρόσθεν, κυ-
βερνατῆρος οἰακοστρόφου
γνώμᾳ πεπιθὼν πολυβούλῳ. σὺν Ὀρσέᾳ δέ νιν
κωμάξομαι, τερπνὰν ἐπιστάζων χάριν.

v. 89. παίδων τὴν τρίταν — v. 90. πολυβούλω et κωμάζομαι et ἀποστάζων

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Δ'. [Ε'.]

## ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ ΠΑΓΚΡΑΤΙῼ.

---

Strophae.



Epodi.



Μᾶτερ Ἀελίου πολυώνυμε Θεία, Στρ. α'.
σέο γ' ἕκατι καὶ μεγασθενῆ νόμισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·

v. 1. Ἁλίου

*καὶ γὰρ ἐριζόμεναι*
*νᾶες ἐν πόντῳ καὶ ἐν ἅρμασιν ἵπποι*
*διὰ τεάν, ὤνασσα, τιμὰν ὠκυδινάτοις ἐν ἁμίλ-*
*λαισι θαυμασταὶ πέλονται·*

*ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν* 'Αντ. α΄.
*κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι*
*χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν*
*ἢ ταχυτᾶτι ποδῶν.*
*κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.*
*δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν*
*ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ,*

*εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούσῃ.* 'Επ. α΄.
*μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,*
*εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.*
*θνατὰ θνατοῖσι πρέπει.*
*τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,*
*Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν,*
*Πυθέᾳ τε παγκρατίου. τὸ δ' ἐμὸν*
*οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·*
*σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς*

Στρ. β΄.

*τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται*
*θεοδότων ἔργων κέλευθον ἂν καθαράν,*
*μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ*
*κιρνάμεν ἀντὶ πόνων.*
*καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ*
*λόγον ἐκέρδαναν, κλέονται δ' ἔν τε φορμίγγεσσιν*
*ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς*

*μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς* 'Αντ. β΄.

v. 13. ἀκούῃ.

Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι
ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς
Οἰνεΐδαι κρατεροί,
ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει, Κάστορος δ' αἰ-
χμὰ Πολυδεύκευς τ' ἐπ' Εὐρώτα ῥεέθροις.

'Επ. β'.

ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
Αἰακοῦ παίδων τε· τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν Τρώων πράθον ἑσπόμενοι
Ἡρακλῆϊ πρότερον,
καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν·
λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
καὶ στράταρχον Αἰθιόπων ἄφοβον
Μέμνονα χαλκοάραν· τίς ἄρ' ἐσλὸν Τήλεφον
ἑῷ δορὶ τρῶσε παρ' ὄχθαισιν Καΐκου.

Στρ. γ'.

τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν
διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς
γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
κελαρύσαι· καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι κεν πό-
λις Αἴαντος ὀρθωθεῖσα ναύταις

'Αντ. γ'.

ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ·
Ζεὺς τά τε καὶ τὰ νέμει,

v. 33. Πολυδεύκεός τ' — v. 42 τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις. — v. 48. κελαδῆσαι· — v. 52. τάδε καὶ τὰ

Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ
μέλιτι καὶ τοιαίδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπά-
ζοντι. μαρνάσθω τις ἔρδων

Ἐπ. γ'.

ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου
ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς
μόχθος ἀνδρῶν· οὐδ' ὁπόσαι δαπάναι,
ἐλπίδων ἔκνισ' ὄπιν.
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι
χερσί, δεξιὸν νόῳ ἀντίπαλον.
λάμβανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν,
καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.

v. 57. δαπάναι ἐλπίδων, ἔκνισ' — v. 61. χερσὶ δεξιόν,

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Ε'. [ϛ'.]

## ΦΥΛΑΚΙΔΑι ΑΙΓΙΝΗΤΗι

### ΠΑΓΚΡΑΤΙΩι.

---

Strophae.



Epodi.

–́⏑––́⏑⏑–⏑⏑–
–́⏑––́⏑⏑–⏑⏑––
–́⏑––́⏑––́⏑⏑–⏑⏑–
–́⏑––́⏑––́⏑⏑–⏑⏑–⏒–⏑––
–́⏑––́⏑––́⏑⏑–⏑⏑–
––́⏑––́⏑⏑–⏑⏑––́⏑⏓
–́⏑––́⏑⏑–⏑⏑–́⏑––́⏑––́⏑⏓

*Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου* Στρ. α΄.
*δεύτερον κρατῆρα Μοισαίων μελέων*
*κίρναμεν Λάμπωνος εὐάθλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,*
*τὶν ἄωτον δεξάμενοι στεφάνων,*
*νῦν αὖτις Ἰσθμοῦ δεσπότᾳ*
*Νηρεΐδεσσί τε πεντήκοντα παίδων ὁπλοτάτου*
*Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον*
*σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα*
*σπένδειν μελιφθόγγοις ἀοιδαῖς.*

*εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς* Ἀντ. α΄.
*καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,*
*σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον· ἐσχατιὰς ἤδη πρὸς ὄλβου*
*βάλλετ' ἄγκυραν θεότιμος ἐών.*
*τοίαισιν ὀργαῖς εὔχεται*
*ἀντιάσαις ἀΐδαν γῆράς τε δέξασθαι πολιὸν*
*ὁ Κλεονίκου παῖς· ἐγὼ δ' ὑψίθρονον*
*Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς*
*ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.*

v. 3. *κιρνάμεν* — v. 4. *τὶν, ἄωτον* — v. 5. *νῦν αὖτ' ἐν Ἰσθμῷ,*
v. 8. *Αἴγιναν κατα-*
v. 9. *σπένδειν* — v. 12. *ἐσχατιαῖς*

ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι, Ἐπ. α΄.
τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν
τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.
μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι
καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους·
οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,
ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν,

οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα Στρ. β.
καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἄγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τρωΐαν, ἥρωσι μόχθον,
Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν
ἐν ναυσὶν Ἀλκμήνας τέκος.
εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων
ἔθνεα καὶ τὸν βουβόταν οὔρεϊ ἴσον
Φλέγραισιν εὑρὼν Ἀλκυονῆ, σφετέρας δ' οὐ φείσατο
χερσὶν βαρυφθόγγοιο νευρᾶς

Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων Ἀντ. β΄.
ἐς πλόον κύρησε πάντων δαινυμένων.
τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι
καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,
ἄνδωκε δ' αὐτῷ φέρτατος

v. 20. εἶναι — v. 25. ἀΰει — v. 28. Τροΐαν — v. 29. Λαομεδοντίαν ὑπὲρ ἀμπλακίαν — v. 31. Μερόπων τ' — v. 36. κάρυξε

*οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,*
*ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους*
*αὔδασε τοιοῦτον ἔπος· Εἴ ποτ' ἐμάν, ὦ Ζεῦ πάτερ,*
*θυμῷ ἐθέλων ἀρὰν ἄκουσας,*

*νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις* 'Επ. β'.
*λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας*
*ἀνδρὶ τῷδε, ξεῖνον ἀμὸν μοιρίδιον τελέσαι·*
*τὸν μὲν ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται*
*θηρός, ὃν πάμπρωτον ἄθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ·*
*θυμὸς δ' ἑπέσθω. ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς*
*ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁδεῖα δ' ἔνδον νιν ἔκνιξεν χάρις,*

*εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ·* Στρ. γ'.
*"Εσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών·*
*καί νιν ὄρνιχος φανέντος κέκλετ' ἐπώνυμον εὐρυβίαν Αἴαντα, λαῶν*
*ἐν πόνοις ἔκπαγλον 'Ενυαλίου.*
*ὣς ἄρα εἰπὼν αὐτίκα*
*ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς·*
*Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας*
*Πυθέᾳ τε κώμων Εὐθυμένει τε. τὸν 'Αργείων τρόπον*
*εἰρήσεται πάντ' ἐν βραχίστοις.*

*ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου* 'Αντ. γ'.
*τρεῖς ἀπ' 'Ισθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,*

v. 43. θέλων — v. 48. ἀέθλων — v. 50. μιν — v. 51. φωνάσαις — v. 53. κέκλευ — v. 55. ἄρα — v. 56. ἀγήσασθαι — v. 57. ὦ abest. — v. 59. που κ'

ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ' ἄγαγον ἐς
φάος οἵαν μοῖραν ὕμνων,
τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ,
τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν
θεοφιλῆ ναίοισι. Λάμπων δὲ μελέταν
ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,
υἱοῖσί τε φράζων παραινεῖ,

ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων, Ἐπ. γ'.
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·
γλῶσσα δ' οὐκ ἔξω φρενῶν· φαίης κέ νιν ἀνδρά-
σιν ἀθληταῖσιν ἔμμεν
Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.
πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν παρ' εὐτει-
χέσιν Κάδμου πύλαις.

v. 62. μάτρωες. — v. 66. ναίουσι. — v. 72. ἄνδρ' ἐν ἀεθληταῖσιν — v. 73. χαλκοδάμαν

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ ϛ'. [Z'.]

## ΣΤΡΕΨΙΑΔΗι ΘΗΒΑΙΩι

## ΠΑΓΚΡΑΤΙΩι.

---

Strophae.

⏑⏑–́⏑⏑–⏑–⏑–⏓
⏓–́⏑⏑–⏑–⏑–⏑––́⏑⏒
––́⏑–⏓–́⏑⏑–⏑––
––́⏑⏑–⏑–⏑–⏓
x x x
––́⏑⏑–⏑––́⏑⏑–⏑––⏑–́⏑⏑––́⏑–⏑⏒

E p o d i.

x
– ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
x x
– ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – –́ ⏑
x
– –́ ⏑ ⏑ – – ⏑ –́ ⏑ ⏑ ⏓

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, Στρ. α΄.
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον
Δαμάτερος ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον νίφοντα
δεξαμένα τὸν φέρτατον θεῶν,

ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις Ἀντ. α΄.
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;
ἢ ὅτ' ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἢ ὅτ' ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν

μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; Ἐπ. α΄.
ἢ Δωρίδ' ἀποικίαν ἀνίκ' ἄρ' ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαιὰ γὰρ
εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον Στρ. β΄.
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.

v. 12. ἀνίκ' ὀρθῷ

*κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ*
*καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ*
*νίκαν παγκρατίου· σθένει τ' ἔκπαγλος ἰδεῖν τε*
*μορφάεις· ἄγει τ' ἀρετὰν οὐκ αἴσχιον φυᾶς.*

*φλέγεται δ' ἰοβοστρύχοισι Μοίσαις,* 'Αντ. β'.
*μάτρωΐ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος,*
*χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,*
*τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.*
*ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν*
*αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,*

*λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ,* 'Επ. β'.
*ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων*
*ζώων τ' ἀπὸ καὶ θανών.*
*τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν*
*αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα*
*Ἀμφιάρηόν τε,*
*εὐανθέ' ἀπέπνευσας ἁλικίαν*

*προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι* Στρ. γ'.
*ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.*
*ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι*
*Γαιάοχος εὐδίαν ὄπασσεν*
*ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμό-*
*σαις. ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος*

*ὅ τι τερπνὸν ἐφάμερον διώκων* 'Αντ. γ'.
*ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον*
*αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες,*
*δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις*

v. 20. *ἔπειτ' ἄρ'* — v. 27. *πρὸς* — v. 28. *λοιγὸν ἀμύνων* — v. 32. *αἰνείων* bis legebatur. — v. 33. *Ἀμφιάραόν τε,* — v. 39. *ἁρμόζων.*

παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
ἕδραν· ὅ τοι πτερόεις ἔρριψε Πάγασος

Ἐπ. γ΄.

δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός· τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλλαισιν
εὐανθέα καὶ Πυθοῖ στέφανον.

v. 44. ὅ, τε — v. 49. ἄμμιν — v. 51. Πυθοῖ

## ΙΣΘΜΙΟΝΙΚΑΙ Ζ΄. [Η΄.]

## ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι ΠΑΓΚΡΑΤΙΩι.



*Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον* Στρ. α΄.
*εὔδοξον, ὦ νέοι, καμάτων*
*πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν*
*ἀνεγειρέτω*
*κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ*
*ἀέθλων ὅτι κράτος ἐξεῦρε. τῷ καὶ ἐγώ, καίπερ*
*ἀχνύμενος*
*θυμόν, αἰτέομαι χρυσέαν καλέσαι*
*Μοῖσαν. ἐκ μεγάλων δὲ πενθέων λυθέντες*
*μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων,*
*μήτε κάδεα θεράπευε· παυσάμενοι δ' ἀπράκτων*
*κακῶν*
*γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον·*
*ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς*
*γε Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός,*

*ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλά* Στρ. β΄.
*μοι δεῖμα μὲν παροιχόμενον*
*καρτερὰν ἔπαυσε μέριμναν· τὸ δὲ πρὸ ποδὸς*
*ἄρειον ἀεὶ σκοπεῖν*
*χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέ-*
*μαται,*
*ἑλίσσων βίου πόρον· ἰατὰ δ' ἔστι βροτοῖς σύν*
*γ' ἐλευθερίᾳ*
*καὶ τά. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν·*
*χρὴ δ' ἐν ἑπταπύλοισι Θήβαις τραφέντα*
*Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν,*
*πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσω-*
*πίδων*

v. 3. *ἀγειρέτω* — v. 7. *ἀπρήκτων* — v. 11. *ἀλλ' ἐ-* v. 12. *μοὶ* — v. 13. *αἰεὶ* et abest *σκοπεῖν* — v. 15. *βιότου* — v. 17. *Ἀσωπίδων θ'*

*ὁπλόταται, Ζηνί τε ἅδον βασιλέϊ.*
*ὃ τὰν μὲν παρὰ καλλιρόῳ*
*Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα·*

*σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν* Στρ. γ'.
*κοιμᾶτο, δῖον ἔνθα τέκες*
*Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ*
*δαιμόνεσσι δίκας ἐπείραινε· τοῦ μὲν ἀντίθεοι*
*ἀρίστευον υἱέες υἱέων τ' ἀρηΐφιλοι παῖδες ἀνορέᾳ*
*χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον·*
*σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν.*
*ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί,*
*Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ,*
*ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος*
*ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.*
*ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες,*

*ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε δ'* Στρ. δ'.
*εὔβουλος ἐν μέσοισι Θέμις,*
*εἵνεκεν πεπρωμένον ἦν φέρτερον γόνον οἱ ἄνακτα πατρὸς τεκεῖν*
*ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος*
*διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Δί τε μισγομέναν*
*ἢ Διὸς παρ' ἀδελφεοῖσιν. ἀλλὰ τὰ μὲν*
*παύσατε· βροτέων δὲ λεχέων τυχοῖσα*

v. 18. *Ζηνί θ' ἅδον βασιλῆϊ.* — v. 27. *ἐρίσας* — v. 28. *ὑειδέα θέλων* — v. 31. **ἤκουσαν.* — v. 33. *οἱ* abest. — v. 35. *Διΐ μισγομέναν*, deinde *ἀδελφοῖσιν* et *τυχοῦσα*

# FRAGMENTA SELECTA.

---

## I.

## ΙΣΘΜΙΟΝΙΚΑΙ.

### 1. (1.)

–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ – ⏒
– –́ ⏑ – ⏑ – ⏑ ⏑ –́ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

*Αἰολίδαν δὲ Σίσυφον κέλοντο*
*ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας*
*ἀποφθιμένῳ Μελικέρτᾳ.*

### 2. (2.)

x
– – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓

*ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.*

### 4. (4.)

–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – ⏑ –́ ⏑ – –

*Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς*
*Αἴγινα· σὺν θεῶν δέ νιν αἶσα*

Diversitas scripturae Boeckhianae.

2. ἐξεκύλισσε

Ὕλλου τε καὶ Αἰγιμιοῦ
Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο.
τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται
οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἷοι δ' ἀρετὰν
δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ
Μοισᾶν ἀγωνίων τ' ἀέθλων.

## II.

## ΥΜΝΟΙ.

### 1. 2. (5. 6.)

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,
ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν .....;

* * *

Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνὰν
ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν
σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας.

4. 5. τὰ μὲν

4. (8.)

..................–́⏑⏓

–́⏑––́⏑––́⏑⏑–⏑⏑–

..................τοῦ θεοῦ

ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

5. (9.)

––́⏑––́⏑⏑–⏑⏑–

––́⏑––

ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο
ξανθὰν Ἀθάναν.

6. (10.)

––́⏑––́⏑⏑–⏑⏑–

Κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

7. (11.)

––́⏑––́⏑⏑.....

Ἄμμων Ὀλύμπου δέσποτα.

8. (12.)

–́⏑⏑–⏑⏑––́⏑–.....

Πότνια θεσμοφόρε χρυσανίου.....

12. (13.)

⏑–́⏑⏑⏑–́⏑–
–́⏑⏑.....

Ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.

13. (22.)

––́⏑––́⏑⏑–⏑⏓
––́⏑⏑–⏑⏑–⏑⏑––́⏑–⏑
–́⏑⏑––́⏑⏑–⏑–⏑
–́⏑––́⏑⏑–

(Οἱ δὲ μεθ᾽ Ἡρακλέος)
ἐκ Τρωΐας πλεῦντες διὰ παρθένιον
Ἕλλας πόρον [ἱρὸν] ἐπεὶ τάχα Μυρτῴῳ συνᾶψαν,

*[ἀμφιρύταν] ἐς Κῶν ἐπαλινδρόμησαν*
*ἀντιπνεύσαντος ζεφύρου.*

## III.

## *Π Α Ι Α Ν Ε Σ.*

### 1. (24.)

x
–́⏑⏑–⏑ ⏑́⏑⏑––⏑–́⏑⏑––́⏑⏑–⏑–

*Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπο-*
*λωλέναι.*

De Neoptolemo Delphis occiso.

### 2. (25.)

x
. . . . . –––́⏑⏑–⏑–
x x
––––́⏑⏑. . . . .

*Χρύσειαι δ' ἓξ ὑπὲρ αἰετοῦ*
*ἄειδον Κηληδόνες.*

De Delphico templo.

### 6. (29.)

x
––.–́⏑⏑–⏑́⏑⏑–⏑⏑́⏑⏑⏓

*Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ.*

### 10. (33.)

⏑–́⏑–́⏑⏑––́⏑⏑–⏑⏑⏓
⏒–́⏑⏑–⏑–⏑⏓
–́⏑–⏑–́⏑⏑––́⏑⏑––́⏑⏑–⏑⏑–́⏑⏑–⏑⏑⏓

*Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ᾇ τ' ὀλίγον*
*ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;*
*οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει*
*βροτέᾳ φρενί· θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.*

**13.** omissum. — Paeanum 2, 1. *Χρύσειαι δ' ἐξ ὑπερῴου* — 10, 1. *ᾇ ὀλίγον*

## IV.

## *ΔΙΘΥΡΑΜΒΟΙ.*

### 2. (45.)

⏑⏑–⏑⏑––⏑⏑–⏑⏑–
–⏑⏑–

*Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ*
*Ὠαρίων.*

### 3.

⏑⏑–⏑⏑⏑–⏑⏒
⏑⏑⏑⏑––⏑⏑⏑–⏑–
⏑⏑⏑⏑––⏑⏑–⏑–⏑⏑–⏒
––⏑⏑⏑–––
––⏑––⏑–––⏑⏑⏑⏑–
x
⏑⏑⏑–⏑⏑–⏑⏑–
–⏑⏑––x––⏑⏑⏑–⏑⏑⏑–⏑⏑–
⏑⏑⏑⏑––⏑⏑–––⏑⏒
⏑⏑––⏑⏑–⏑–
–⏑⏑–⏑⏑⏑⏑–⏑⏑–⏑⏑⏑–⏑⏑⏑⏑⏑––⏑⏑–⏑⏑–
⏑––⏑–––⏑⏑⏒
⏑–––⏑⏑––⏑––⏑–
––⏑–⏑⏑⏑––⏑––⏑⏑⏒
––⏑⏑⏑⏑–⏑⏑––⏑⏑–⏑⏑⏒
⏑⏑–⏑–⏑⏑––⏑–⏑⏑⏑⏑⏒
⏑–⏑–⏑⏑⏑⏑––⏑––⏑⏒
x
––––⏑⏑⏑––
x
––⏑⏑⏑–⏑⏑–⏑⏑⏑–

Dithyr. fr. 2. omissum in editione minore. In maiore Boeckhius cum Schneidero: *Ἀλόχῳ ποτὲ θωραχθεὶς ἐπέχραεν ἀλλοτρίᾳ.*

*Ἴδετ᾽ ἐν χορόν, Ὀλύμπιοι,*
*ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,*
*πολύβατον οἵτ᾽ ἄστεος ὀμφαλὸν θυόεντα*
*ἐν ταῖς ἱεραῖς Ἀθάναις*
*οἰχνεῖτε πανδαίδαλόν τ᾽ εὐκλέ᾽ ἀγοράν·*
*ἰοδετᾶν λάχετε στεφάνων*
*τὰν ἐαρίδρεπτον λοιβάν, Διόθεν τέ με σὺν ἀγλαΐᾳ*
*ἴδετε πορευθέντ᾽ ἐς ἀοιδὰν δεύτερον*
*ἐπὶ τὸν κισσοδέταν θεόν,*
*τὸν Βρόμιον, τὸν Ἐριβόαν τε βροτοὶ καλέομεν.*
*γόνον ὑπάτων μὲν πατέρων μελπέμεν*
*γυναικῶν τε Καδμειᾶν ἔμολον.*
*Ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει*
*φοίνικος ἔρνος, ὁπότ᾽ οἰχθέντος Ὡρᾶν θαλάμου*
*εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.*
*τότε βάλλεται, τότ᾽ ἐπ᾽ ἀμβρόταν χθόν᾽ ἐραταὶ*
*ἴων φόβαι ῥόδα τε κόμαισι μίγνυται,*
*ἀχεῖ τ᾽ ὀμφαὶ μελέων σὺν αὐλοῖς,*
*ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.*

4. (47.)

– –́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
– ⏑́⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑

*Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,*
*Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον.*

5. (48.)

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

3, 1. *Δεῦτ᾽ ἐν χορόν,* — 7. *τᾶν τ᾽ ἐαριδρέπτων λοιβᾶν* — *ἀγλαΐᾳ* — 8. *πορευθέντ᾽ ἀοιδᾷ* – 9. *ἐπὶ κισσοδέταν* — 10. *τὸν Ἐριβόαν τε καλέομεν.* — 15. *χέρσον* — 17. *ἀχεῖταί τ᾽* — 18. *ἀχεῖται Σεμέλαν* — 4, 1. *Αἵ τε λιπαραὶ* — 2. *δαιμόνιον πτολίεθρον* omissa.

*Πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων*
*καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.*

6. (49.)

. . . . . –́–⏑––
––́⏑⏑–⏑⏑––́–⏑–
–́⏑–––́⏑⏑⏑
–́⏑⏑–⏑–́⏑––́–⏑––

*σοὶ μὲν κατάρχειν,*
*μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων,*
*ἐν δὲ κεχλάδειν κρόταλα,*
*αἰθομένα δὲ δᾲς ὑπὸ ξανθαῖσι πεύκαις.*

7. (50.)

. . . . . . . ⏑⏑–́⏑⏑⏑
–́⏑–––́⏑⏑–⏑⏑––
–́⏑–––́⏑–⏑–́⏑⏑–⏑
––́⏑⏑––́⏑––́⏑––́⏑–⏑⏑
–́⏑⏑–⏑–

*Σὲ δ' ἐγὼ παρά μιν*
*αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Δὶ*
*φίλτερον σιγῷμι πάμπαν. οὐ γὰρ ἐοικός,*
*ἁρπαζομένων τῶν ἐόντων, καθῆσθαι παρ' ἑστίᾳ,*
*καὶ κακὸν ἔμμεναι.*

8. (51.)

*Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον.*

9. (52.)

–́⏑⏑⏑–́⏑––́⏑⏑⏑⏑⏑⏑⏑

*Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.*

7, 1. *παρ' ἄμμιν αἰνέω μέν, Γηρυόνα,* — 2. *τὸ δὲ μὴ Διΐ*

**11.** (53.)

*Τρέχων δὲ μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων*
*[λεοντοδάμας.]*

De Orione.

**15.** (121.)

–́⏑⏑–⏑⏑–⏑⏓
–́⏑⏑–⏑͡⏑⏑–⏑–⏑͡⏑⏑––
––́⏑ . . . . . . .

*Ὁ ζαμενὴς δ', ὁ χοροιτύπος,*
*ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας*
*Σειληνός.*

## V.

## *ΠΡΟΣΟΔΙΑ.*

**1.** (57. 58.)

––́⏑––́⏑⏑–⏑⏑–
––́⏑––́⏑⏑–⏑⏑––
––́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑–
––́⏑––́⏑⏑–⏑⏑––́⏑–⏓–́⏑⏑–⏑⏑–⏒
–́⏑⏑–⏑⏑––
––́⏑––́⏑⏑–
–́⏑––́⏑––́⏑⏑–⏑⏑––
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––

S t r o p h a.

*Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου*
*παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,*
*πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας,*
*ἅντε βροτοὶ*
*Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τη-*
*λέφαντον κυανέας χθονὸς ἄστρον.*

11. *λεοντοδάμας* sine uncinis. — Pros. fr. 1, 4. *τηλέφατον* || *κυανέας* . . .

. . . . . . . . . . .
. . . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . . .

A n t i s t r o p h a.

. . . . . . . . . . .
. . . . . . . . . . .
ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδα-
πῶν τ ἀνέμων
ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ'
ἀγχιτόκοις ἐπέβαινεν,
δὴ τότε τέσσαρες ὀρθαὶ
πρέμνων ἀπώρουσαν χθονίων,
ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν·

2. (59.)

⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν
ἀεῖσαι;

3. (60.)

. . . ⏑ ⏑ – ⏑ – ⏑ –
x
– ⏑ –́ ⏑ ⏑ – ⏑ – –
x
– ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ – – ⏑́⌒ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – –

. . . Πρὸς Ὀλυμπίου Διός σε,
χρυσέα κλυτόμαντι Πυθοῖ,
λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ

Antistr. 4. ὠδίνεσσι θοαῖς ||

*ἐν ζαθέῳ με δέξαι θρόνῳ ἀοίδιμον*
*Πιερίδων προφάταν.*

## VI.

## *ΠΑΡΘΕΝΙΑ.*

2. (62.)

x x
–––́⏑⏑–⏑–––́⏑⏑–⏑–
––́⏑⏑–⏑–⏑––́⏑⏑–⏑–⏑–⏒

*Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,*
*Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.*

3. (65.)

*Τὺ σαυτῷ μέλος γλάζεις.*
De Pane.

5. (63.)

–́⏑⏑–⏑⏑⏑–⏑–́⏑⏑–⏑⏑–
⏑⏑–́⏑⏑–⏑–

*Ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπὸν*
*καλέοισιν Ὀλύμπιοι.*
De eodem.

9. (68. 69.)

. . . . . . ––́⏑––
––́⏑––́⏑⏑––́⏑⏑–⏑⏑–⏑⏑––
–́⏑––́⏑⏑–⏑⏑––́⏑––
–́⏑⏑–⏑⏑–́⏑––́⏑⏑–⏑ . . .

. . . . . . *κινηθεὶς ἐπῄει*
*γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν μεγάλαις ὀρέων ὕπερ ἔστα*
*καὶ μυχοὺς δίνασ' ἄπο βαλλόμενος κρηπῖδας ἄλσεων.*

3, 4. *χώρῳ* — Parth. fr. 3. *Τὸ σαυτοῦ* — 9, 3. *δινάσσατο*

*καί ποτε τὸν τρικάρανον Πτώου κευθμῶνα κα-*
*τέσχε . . .*

De Apolline. In eodem carmine Tenerum poeta dixerat

*ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.*

. . . –⏑⏑––́–⏑⏑–⏑⏑––

## VII.

## ΥΠΟΡΧΗΜΑΤΑ.

### 1. (72.)

⏑⏑́⏑–́⏑–́⏑⏑–⏑⏑–⏑–⏑́⏑⏑⏑⏑
–́⏑–– . . . . .

*Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ὁμώνυμε πάτερ,*
*κτίστορ Αἴτνας.*

Ad Hieronem.

### 2. (72.)

⏑⏑–́⏑⏑–⏑–⏑––́[⏑–]
⏑⏑–́⏑⏑–⏑–⏑–⏑––

*Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται ⏑ –*
*ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·*
*ἀκλεὴς δ᾽ ἔβα τῶνδε.*

Ex eodem, ut videtur, ad Hieronem carmine.

### 3. (73.)

⏑⏑–́⏑⏑–⏑–́⏑–⏑
⏑⏑–́⏑⏑⏑⏑–́⏑⏑–⏑⏑–⏑⏑
x
–⏑–́⏑⏑––́⏑–
–́⏑–⏑–⏑⏑
x x
⏑⏑⏑–́⏑⏑–⏑––⏑–́⏑⏑––́⏑⏑––
⏑⏑́⏑–́⏑–⏑–́⏑⏑–⏑––

2, 1. ἀλᾶται Στράτων, — 3. τῶνδε omissum.

*Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν*
*ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετόν·*
*Σκύριαι δ' ἐς ἄμελξιν γλάγους*
*αἶγες ἐξοχώταται·*
*ὅπλα δ' ἀπ' Ἄργεος· ἅρμα Θηβαῖον, ἀλλ' ἀπὸ τᾶς ἀγλαοκάρπου*
*Σικελίας ὄχημα δαιδάλεον ματεύειν.*

**Ex eodem ad Hieronem carmine.**

**4.** (74.)

x
– ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – – –
–́ ⏑ ⏑ – ⏑⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓
x
–́ ⏑ ⏑ – ⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
x
⏑ –́ ⏑ ⏑ – –́ ⏑ – – – –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ ⏑ –́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑⏑ ⏑ – ⏑ ⏓
x
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
x x
– – –́ ⏑ – ⏑ – ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ ⏓.
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –

*Ἀκτὶς Ἀελίου, τί, πολύσκοπε, μηδομένα, μᾶτερ ὀμμάτων,*
*ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον,*
*ἔθηκας ἀμάχανον ἰσχὺν ποτανὰν ἀνδράσιν*
*καὶ σοφίας ὁδόν, ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα*
*ἐλαύνειν τι νεώτερον ἢ πάρος;*

3, 1. Ταϋγέτου — 2. τρέχειν — 3. γάλακτος — 5. ἅρμα Θηβαίων ἀπὸ γᾶς ἀγλαοκάρπου· Σικελίας δ' ὄχημα — 4, 1. πολύσκοπ', ἐμαῖς θέαις μέτρ' ὀμμάτων, — 3. πτανὸν

*ἀλλά σε πρὸς Διὸς ἵππους ζαθέας ἱκετεύω*
*ἀπήμον' ἐς ὄλβον τράποις Θήβαις, ὦ πότνια, πάγκοινον τέρας.*
*πολέμου δ' εἰ σᾶμα φέρεις τινός, ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος ὑπέρφατον,*
*ἢ στάσιν οὐλομέναν, ἢ πόντου κενέωσιν ἀνὰ πέδον,*
*ἢ παγετὸν χθονός, ἢ νότιον θέρος ὕδατι ζακότῳ διερόν,*
*ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,*
*ὀλοφύρομαι οὐδὲν ὅτι πάντων μέτα πείσομαι.*

Ex carmine de solis defectu.

5. (75.)

⏑ – ⏑ – – ⏑ – –
⏑ – ⏑ – – ⏑ – – ⏑ – – ⏑ – ⏑⏑ ⏑ – ⏑ –
⏑ – – ⏑ – ⏑ ⏑ – . . .

*Θεοῦ δὲ δείξαντος ἀρχὰν*
*ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν,*
*τελευταί τε καλλίονες.*

6. (76.)

⏑⏑ ⏑ – – ⏑⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ –
– – ⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑

*Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις*
*ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.*

125. (189.)

⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑ –
⏑ – – ⏑ – ⏑⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – – ⏑ –
⏑ ⏑⏑ ⏑⏑ ⏑ – ⏑ ⏑⏑ ⏑⏑ ⏑ –
⏑ ⏑ – ⏑ – ⏑ – – – ⏑ ⏑ –

6. ἵπποις θοαῖς — 7. ἐς ὄλβον τράποιο Θήβαις — 12. ὀλοφυρομένων πάντων μέτα πείσομαι.

Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς
ἐρευνασάτω μεγαλάνορος Ἀσυχίας τὸ φαιδρὸν φάος,
στάσιν ἀπὸ πραπίδων ἐπίκοτον ἀνελών,
πενίας δότειραν, ἐχθρὰν κουροτρόφον.

7. (77.)

⏑⏑⏑⏑ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ ⏑ – ⏑

⏑́ ⏑ ⏑⏑ ⏑́ ⏑ – ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ – – –

– ⏑́ ⏑ ⏑ – ⏑ – – – ⏑́ . . . . . .

Ἐνέπισε κεκραμέν᾽ ἐν αἵματι. πολλὰ δ᾽ ἕλκε᾽ ἔμβαλε νωμῶν
τραχὺ ῥόπαλον, τέλος δ᾽ ἀείραις πρὸς στιβαρὰς σπάραξε πλευράς,
αἰὼν δὲ δι᾽ ὀστέων ἐρραίσθη.

8. (78.)

⏑ ⏑́ ⏑ – ⏑́ ⏑ ⏑́ ⏑ ⏑ –

Λάκαινα μὲν παρθένων ἀγέλα.

12. (82. 83.)

⏑ ⏑́ ⏑́ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ – ⏑

Ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι.

* * *

Ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.

VIII.

## ΕΓΚΩΜΙΑ.

1. (84.)

⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ . . . . . .

Βούλομαι παίδεσσιν Ἑλλάνων . . . . . .
Ad Theronem.

125, 3. πραπίδος

2. (85.)

–́⏑⏑–[⏑]⏑––́–́. . . . .
–́⏑––́–́⏑––́–́⏑⏑–⏑⏑––
–́⏑––́–́⏑⏑–⏑⏑–⏒
–́⏑⏑–⏑⏑––́–́⏑⏓

*Ἐν δὲ Ῥόδον . . κατῴκισθεν . . . . .*
*ἔνθ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,*
*πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' ἀενάου πλούτου νέφος.*

Ad eundem.

3. (86.)

–́⏑–⏒–́⏑⏑–⏑⏑–
–́,⏑–⏑⏑––

*Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,*
*παῖ θρασύμηδες Ἀμύντα.*

Ad Alexandrum Amyntae f., regem Macedonum.

4. (87.)

. . . . . ⏑––́–́⏑––́–́⏑⏑–⏑⏑––
–́⏑⏑–⏑⏑––́–́⏑––́–́⏑–
––́⏑⏑–́–́⏑⏑––

*Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι καλλίσταις ἀοιδαῖς·*
*τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον [ῥηθέν]·*
*θνάσκει δ' ἐπιλασθὲν καλὸν ἔργον.*

Delenda vox *ῥηθέν*. Primi versus finis corruptus. [Fortasse *πολὺ καλλίσταις* scripsit poeta. Cf. fr. Scol. 6.] Fragmentum ex eodem quo prius carmine est.

# IX.

# ΣΚΟΛΙΑ.

## 1. (88.)

Stropha prima.

⏑–́⏑–⏑–́⏑⏑–⏑⏑––́⏑––́⏑––
–́⏑––́⏑⏑–́⏑––́⏑–⏓
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑–⏑–́⏑––́⏑––
–́⏑–⏑–́⏑⏑–⏑⏑–
⏑́⏑⏑––⏑́⏑⏑⏑––́⏑––
–⏑––́⏑⏑–́⏑––́⏑––́⏑⏓

*Πολύξεναι νεάνιδες, ἀμφίπολοι Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,*
*αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη θυμιᾶτε,*
*πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν,*
*ὔμμιν ἄ τ' ἄνωθεν ἀπαγορίας*
*ἔπορεν, ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς*
*μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι. σὺν δ' ἀνάγκᾳ πᾶν καλόν.*

Epodus prima.

–́⏑––́⏑⏑–́⏑––́⏑–
––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑–
⏑–́⏑––́⏑––

. . . . . . . . . . .
. . . . . . . . . . .
. . . . . . . . . . .
*Ἀλλὰ θαυμάζω, τί με λεξοῦντι Ἰσθμοῦ δεσπόται*
*τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου*
*ξυνάορον ξυναῖς γυναιξίν.*

. . . . . . . . . . .
. . . . . . . . . . .
. . . . . . . . . . .

1, 1. *ἀφνειᾷ* — 2. *δάκρυα* — 10. *λέξοντι*

Primi versus secundae strophae initium.

*Διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ . . . . .*

Epodus alia.

*Ὦ Κύπρου δέσποινα, τεὸν δηῦτ' ἐς ἄλσος φορβάδων*
*κουρᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις*
*ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.*

. . . . . . . . . . .
. . . . . . . . . . .
. . . . . . . . . . .

Ex Scolio Xenophonti Corinthio scripto.

**2.** (89.)

Strophae.

–––́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑⏑–⏑⏑––́⏑––́⏑––́⏑–
––́⏑––́⏑⏑–⏑⏑–⏒
–́⏑––́⏑–⏒–́⏑––́⏑–

Epodi.

––́⏑––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––
–́⏑⏑–⏑⏑––́⏑–⏒
–́⏑⏑–⏑⏑–⏑–

Stropha.

*Χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·*
*τὰς δὲ Θεοξένου ἀκτῖνάς τις ὄσσων μαρμαριζοίσας δρακεὶς*
*ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος*
*ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν*

Antistropha.

*Ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς ἑλικοβλεφάρου*

17. *δεῦτ'* — 2, 4. *ἢὲ*

ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ
θράσει
ψυχὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.
ἀλλ' ἐγὼ θεᾶς ἕκατι, κηρὸς ὣς δαχθεὶς ἕλᾳ

Epodus.

Ἱρᾶν μελισσᾶν, τάκομαι, εὖτ' ἂν ἴδω παίδων
νεόγυιον ἐς ἥβαν.
ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν
καὶ Χάρις υἱὸν Ἀγησίλα.

Theoxeno Tenedio.

3. (90.)

–́⏑⏑–⏑⏑–⏒–́⏑––
–́⏑––́⏑⏑–⏑⏑–̇––́⏑–––̇⏑–––́⏑⏑–
–́⏑––́⏑––́⏑⏑–⏑⏑–––̇⏑–⏒

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν
καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι
κέντρον.

Thrasybulo Xenocratis f. Agrigentino.

4. (91.)

⏑⏑–́–́⏑–⏑–⏑–⏒
x
–́⏑–––́⏑⏑⏓
⏑⏑–́⏑⏑⏑–́⏑⏑⏓

Χάριτάς τ' Ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν χειμάρρῳ μεθύω,
Ἀγάθωνι δὲ καλῷ κότταβον.

8. ἀλλ' ἐγὼ [ὥρας] ἕκατι τᾶς κηρὸς ὣς — 9. Δαχθεὶς ἐλαιηρᾶν μελισσᾶν — 11. τε ναίει — 12. υἱὸν (Stropha) Ἀγησίλα . . . . . .

5. (92.)

–́∪––́∪∪–∪∪–⏑
–́∪––́∪––
–́∪––́∪––́∪––́∪–

*Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν*
*πρῶτος ἐν δείπνοισιν Λυδῶν*
*ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.*

Ad Hieronem.

6. (93.)

–́∪––́∪∪–́∪∪–
––́∪–∪–́∪––

*Μηδὲ μαύρου τέρψιν ἐν βίῳ· πολύ τοι*
*φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.*

Ad eundem.

7. (94.)

––́∪––́∪∪–∪∪⏓
–́∪–– . . . . .

* * *

––́∪––́∪∪–́∪–
––́∪∪–∪∪–∪∪–––́∪⏓
–́∪∪–∪∪ . . . . .

*Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος*
*ἀμφίκειται·*

* * *

*Ἀλλ' οἷος ἄπλατον κεράϊζες θεῶν*
*Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ, Ζεῦ πάτερ,*
*εἰν Ἀρίμοις ποτέ.*

Ex eodem, ut videtur, carmine.

8. (90. v. 4. 5.)

––́∪––́∪∪–∪∪⏓
––́∪–⏑–́∪–

*Δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον*
*καίπερ πεδ' ἄφθονον βοράν.*

# X.
## ΘΡΗΝΟΙ.

### 1. (95.)

–́⏑––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑–
––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––
–́⏑⏑–⏑⏑––́⏑––́⏑––
––́⏑––́⏑⏑–⏒–́⏑––
–́⏑––́⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑–⏒
––́⏑⏑–⏑⏑––́⏑⏓
––́⏑⏑––́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––

*Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω*
*φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν*
*καὶ λιβάνῳ σκιαρᾷ καὶ χρυσέοις καρποῖς βέβριθεν.*
*καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,*
*τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος·*
*ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται*
*αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.*

Ex fine alius strophae huius carminis haec supersunt:

*Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον*
*βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . .*

### 2. (96.)

–́⏑–⏒–́⏑––́⏑⏑–⏑⏑–[–]–́⏑––
––́⏑––́⏑⏑–⏑⏑–⏒–́⏑–
––́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑––́⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑––
––́⏑–́⏑––́⏑⏑–⏑⏑⏓

*Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον [μετανίσσονται] τελευτάν.*
*καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,*

*ζωὸν δ᾽ ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον*
*ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις*
*δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

3. (97.)

— — ∪ ∪∪ — ∪ — ∪ ∪ —
— — — — ∪ ∪ — ∪ ∪ ∪ ∪ —
∪ — — — ∪ — — ∪ —
— ∪ ∪ — ∪ — ∪ ∪ — ∪ — —
— — ∪ ∪∪ ∪∪ ∪ — — ∪ — —

*Ψυχαὶ δ᾽ ἀσεβέων ὑπουράνιοι*
*γαίᾳ πωτῶνται ἐν ἄλγεσι φονίοις*
*ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν·*
*εὐσεβέων δ᾽ ἐπουράνιοι νάοισαι*
*μολπαῖς μάκαρα μέγαν ἀείδοντ᾽ ἐν ὕμνοις.*

Fragmentum suspectum.

4. (98.)

— ∪ ∪ — ∪ ∪ — — — ∪ — — — ∪ —
— ∪ ∪ — ∪ ∪ — ∪ — ∪ — — — ∪ ∪ — ∪ ∪ ∪
— ∪ — — — ∪ ∪
— — ∪ ∪ — ∪ ∪ — — — ∪ — — — ∪ ∪ — ∪ ∪ — —
— ∪ — — — ∪ — — — ∪ ∪ — ∪ ∪ — — ∪ — — — ∪ — —

*Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος*
*δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ*
*ἀνδιδοῖ ψυχὰς πάλιν.*
*ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι*
*ἄνδρες αὔξοντ᾽· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται.*

5. (95.)

. . . . . . . . – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

*. . . . . . . . εὐδαιμόνων*
*δραπέτας οὐκ ἔστιν ὄλβος.*

6. (100.)

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ – –

*Πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη.*

8. (102.)

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Ὄλβιος ὅστις ἰδὼν ἐκεῖνα κοίλαν*
*εἶσιν ὑπὸ χθόνα· οἶδεν μὲν βιότου τελευτάν,*
*οἶδεν δὲ διόσδοτον ἀρχάν.*

De Eleusiniis.

10. (104.)

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
. . . . . . . . . . . .
. . . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑
x
– ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – . . . . . .
–́ ⏑ – – –́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
. . . . . . ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏓

*Ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ*
*ὥριαι παιανίδες· ἔντι δ' αὖ θάλλοντα ναρκίσσου στέφανον*
*ἐκ Διωνύσου μεταμαιόμεναι· τὸ δὲ κοίμισαν*

8, 2. *βίου* [*κεῖνος*] — 10. omissum. — 10, 2. *παιάνιδες*

τ̃ϱ . . . . . . . . . .
. . . . . . . σώματ' ἀποφθιμένων·
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὑμνεῖν, ἁ δ' Ὑμέ-
ναιον
ἐν γάμοισι χροϊζόμενον . . . . . συμ πρῶτ . . λάβεν
ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόρῳ
νούσῳ, *ὅτι πεδαθέντα σθένος
υἱὸν Οἰάγρου χρυσάορ' Ὀρφέα.

## XI.

## ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

1. (105.)

Τί θεός, τί τὸ πᾶν;

2. (106.)

⏑ ⏑⏑ ⏑ – ⏑ – – ⏑ – – ⏑⏑ ⏑ – – ⏑ – ⏓

Θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ
φυτεύει.

3. (107.)

⏑ – ⏑ ⏑⏑ ⏑ – ⏑ – –
– ⏑⏑ ⏑ – ⏑ – – ⏑ –
⏑ – ⏑⏑ ⏑ – ⏑ – ⏑ – – ⏑ ⏑ ⏑
– ⏑ – ⏑ ⏑

Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας
νυκτὸς ἀμίαντον ὄρσαι φάος,
κελαινεφέϊ δὲ σκότῳ καλύψαι καθαρὸν
ἁμέρας σέλας.

4. (108.)

x
– – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
⏑ – ⏑ – – ⏑⏑ ⏑ –
– – ⏑ – ⏑ ⏑⏑ ⏑ – ⏓

3, 3. σκότει

*Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι*
*πόνων τ' ἄπειροι, βαρυβόαν*
*πορθμὸν πεφευγότες Ἀχέροντος.*

De diis.

5. (109.)

*Ἐλασίβροντε παῖ Ῥέας.*

Ad Iovem.

6. (110.)

*Θεὸς ἅτε πλέον τι λαχών.*

De eodem.

9. (111.)

. . . . . ⏑ ⏑ – ⏒ ⏑ ⏑ ⏑ – ⏒
– – ⏑ – ⏒ – ⏑ ⏑ – ⏑ ⏑ ⏓
– ⏑ – . . . . . . . .

*Πῦρ πνέοντος ἅ τε κεραυνοῦ*
*ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς*
*ἴζεαι.*

De Minerva.

11. (112.)

*Ἐν χρόνῳ δ' ἐγένετ' Ἀπόλλων.*

12. (113.)

x
– – – ⏑ ⏑ – ⏑ – – – ⏑ ⏑ – ⏑ – ⏒

*Ὀρχήστ' ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ' Ἄπολλον.*

13. (114.)

⏑ – ⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – –

*Κατεκρίθη δὲ θνατοῖς ἀγανώτατος ἔμμεν.*

De Apolline.

15. (115.)

– – ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ –

*Μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ.*

6. Θεῶν

43. (130.)

–́⏑––́⏑–––́⏑––

Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.

De Hamadryadibus.

44. (131.)

–́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑–⏑
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑–
––́⏑––́⏑ . . . . .

Ἀνδροδάμαν δ' ἄρ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελια-
δέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν
ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων
πίνοντες ἐπλάζοντο.

De Centauris.

45. (132.)

[–́, ⏑––́⏑⏑–⏑⏑–
–́⏑⏑–⏑⏑–́⏑––́⏑⏑–

. . ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς
ᾤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.

47. (133.)

. . . . . . . . . –́⏑⏑–⏑⏑–
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑⏑
–́⏑⏑–⏑⏑––́⏑⏑–
–́⏑––́⏑––́⏑⏑
–́⏑⏑–⏑⏑––́⏑––́⏑⏑

Δοιὰ βοῶν κατέπινεν
θέρμ' ἅλις ἀνθρακιὰν στέψαντα πυρίπνοά τε
σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν
εἶδον ἠδ' ὀστέων στεναγμὸν βαρύν·
ἦν δὲ ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.

De Hercule.

44, 1. Ἀνδροδάμαντα δ' ἐπεὶ — 47, 1. κατέπινεν omissum. — 47, 2. θέρμ' ἔδει

48. (134)

. . . . . . . . . . . . . . . . . . .

⏖́ ⏑ – ⏑́ ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ – ⏒ ⏖́ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
⏒ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏓
⏑ –́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓

. . . . . . . . . *κατὰ φύσιν* . . .
*νόμος ὁ πάντων βασιλεὺς*
*θνατῶν τε καὶ ἀθανάτων*
*ἄγει δικαιῶν τὸ βιαιότατον*
*ὑπερτάτᾳ χειρί. τεκμαίρομαι*
*ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας*
*Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος*
*ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.*

51. (135.)

–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

*Πάντα θύειν ἑκατόν.*

De Lusitanis.

54. (136.)

. . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

. . *κατὰ μὲν φίλα τέκν' ἔπεφνεν*
*θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον.*

Fortasse de Hercule Neleum et filios occidente.

55. (137.)

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

*Πηλέος ἀντιθέου μόχθοι νεόταϑ' ἐπέλαμψαν μυ-*
*ρίοι·*
*πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώϊον ἂμ πεδίον*
*καὶ μετὰ ζωστῆρ' ἄμ' Ἀμαζόνος ἦλθεν, καὶ τὸν*
*Ἰάσονος εὔδοξον πλόον*
*ἐκτελέσσαις εἷλε Μήδειαν ἐν Κόλχων δόμοις.*

57. (138.)

⏑⏖ ⏑́ ⏑ – ⏑́ ⏑ – ⏑́ ⏑ ⏓

*Σκύριον εὐρυαίχμαν διεῖπον στρατόν.*

De Amazonibus.

58.

. . . . . . . . . – ⏑́ ⏑ –
⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ – – ⏑́ ⏑ [– ⏓]

. . . . . . . . . *Φὰν δ' ἔμμεναι*
*Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος* ––.

De Pirithoo et Theseo.

61. (142.) *Στρ. α'.*

. . . . . ⏓ ⏑́ ⏑ ⏓
⏑́ ⏑ – ⏑́ ⏑ – ⏑ –

. . . . . . . *Πεπρωμέναν*
*θῆκε μοῖραν μετατραπεῖν.*

61 a. (143.) *Στρ. β'.*

. . . . . *Ἀνδροφθόρον,*
*οὐδὲ σιγᾷ κατερρύη.*

De Oedipo.

61 b. (144.) *Στρ. γ'.*

. . . . *τροχὸν μέλος·*
*αἱ δὲ Χείρωνος ἐντολάς.*

De Peleo et Acasto.

55, 1. *Οὐ Πηλέος — μυρίοις;* — 3. *ζωστῆρας Ἀμαζόνος* — 4. *ἐκτελευτάσαις ἕλεν Μ. ἐκ Κ. δόμων.* — 57. *Σύριον* — 58. omissum. — 61—65. aliter et descripta et scripta.

**62. (145.)** *Στρ. α′.*

. . . . . – –́ ⏑ – ⏑ –
⏓ –́ ⏑ – ⏑ –

. . . . . *Αἴνιγμα παρθένου*
*ἐξ ἀγριᾶν γνάθων* . . . . .

De Sphinge.

**63. (146.)** *Στρ. β′.*

. . . . *Ἐν δασκίοις πατήρ,*
*ἀνηλεεῖ νόῳ δ'* . . . . .

De Peleo et Acasto.

**64. (147.)** *Στρ. γ′.*

. . . . . . . *δ' οὐδὲν προσαιτέων*
*ἐφθεγξάμαν ἐπὶ* . . . . . . .

**66. (1¦8.)**

⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
*Νόμων ἀκούοντες θεόδματον κέλαδον.*

De Cadmo et Harmonia, vel de Peleo et Thetide.

**67. (149.)**

. . . . ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ . . . . . . . . . . . . .

*Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον*
*ἄνδημα.*

**68. 69. (151. 153.)**

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

*Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·*
*ἔσθ' ὅτε πιστοτάτα σιγᾶς οδός· κέντρον δὲ μάχας*

ὁ κρατιστεύων λόγος. Ἀλλοτρίοισιν μὴ προφαίνειν τίς φέρεται
μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω·
καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα
προστύχοι, ταύταν σκότῳ κρύπτειν ἔοικεν.

70. (154.)

. . . . . . . . . . –́⏑–
–́⏑––´⏑––´⏑⏑–⏑⏑
–́⏑––´⏑⏑–⏑⏑––´⏑⏑–⏑⏑––´⏑–
–́⏑––´⏑⏑

Ὦ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει.

Amphiaraus Amphilocho.

71. (155.)

[–́⏑⏑–]⏑⏑––´⏑⏑–⏑⏑––´⏑–

. . . . Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.

72. (156.)

–́⏑⏑–⏑⏑––´⏑⏑–⏑⏑–
–⏑–⏑

Ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων
οὐκ ἰδυῖα.

De Eriphyla Amphiarai uxore.

68. 69, 6. θεόσδοτος ἀτλάτα κακότας — 7. προστύχῃ et σκότει — 72, 1. ἐφαμερίων

74. (157.)

–́⏑⏑–⏑⏑–⏖–––́⏑––
–́⏑⏑–⏑⏑–⏖⏑–⏑⏓

Ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον.

De Phoenice.

76. (158.)

Ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν.

81. (159.)

⏖⏑–⏒–́⏑⏑–⏒–́⏑⏓

Ἔτι δὲ τειχέων ἀνακηκίει καπνός.

Fortasse de Troia.

82. (161.)

––́⏑––́⏑⏑–––́⏑––
×
––́⏑⏑––

Αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας
ἔσδεξαι τεμενοῦχον.

83. (162.)

––́⏑––́⏑––́⏑⏑–́⏑⏓

Ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεζαν θαμά.

87. (163.)

–⏑––́⏑––́⏑––́⏑⏑–⏑⏑–⏒

Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου
Κολοφωνίου ἀνδρός.

93. (164.)

[–́]⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––
–́⏑–́⏑⏑–

. . Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν

76. ἀκαμαντόχαρμαν — 81. ἀνακικύει

*κρηπῖδ᾽ ἐλευθερίας.*

De pugna ad Artemisium.

94. (165.)

x
– – – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏓

*Πανδείμαντοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.*

De Xerxis exercitu.

95. (166.)

– –́ ⏑ – – –́ ⏑ ⏑ – . . . .

*Ἁ Μιδύλου δ᾽ αὐτῷ γενεὰ . . .*

96. (167.)

– –́ ⏑ – ⏓ –́ ⏑ – ⏓

*Κεῖ μοί τιν᾽ ἄνδρα τῶν θανόντων.*

De Pythea Agineta.

98. (168.)

–́ ⏑ – ⏑ – ⏑ – ⏑ –́ ⏑ – ⏑ – –

*Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.*

101. (169.)

*Δελφοὶ θεμιστῶν ὕμνων μάντιες Ἀπολλωνίδαι.*

102. (170.)

. . . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –

*. . . . . . πενταετηρὶς ἑορτὰ*
*βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις.*

De Pindaro ipso in Pythiis nato.

103. (171.)

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

94. *Πανδείματι* et *ἱερόν*.

*Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς,*
*οἷα τειχίζομεν ἤδη ποικίλον*
*κόσμον αὐδάεντα λόγων·*
*ὃς καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι*
*μᾶλλον ἐπασκήσει θεῶν*
*καὶ κατ᾽ ἀνθρώπων ἀγυιάς.*

104. (172.)

*Εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα, Θήβα.*

106. (173.)

*Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον.*

107. (174.)

*Ὦ ταλαίπωροι Θῆβαι.*

108. (176.)

*Μελιγαθὲς ἀμβρόσιον ὕδωρ*
*Τιλφώσσας ἀπὸ καλλικράνου.*

110. (177.)

—́⏑———́⏑———́⏑———́⏑———́⏑——
—́⏑———́⏑⏑—⏑⏑—

*Ἔνθα βουλαὶ μὲν γερόντων καὶ νέων ἀνδρῶν ἀρι-*
*στεύοισιν αἰχμαί,*
*καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.*

De Sparta.

111. (178.)

*Οἵ τ᾽ ἀργείλοφον πὰρ Ζεφυρίου κολώναν . . . .*

De Locris Epizephyriis.

112. (179.)

——́⏑———́⏑———́⏑——
—́⏑———́⏑⏑—⏑⏑⏓
⏒—́⏑—⏒—́⏑———́ . . . . . .

*Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας,*

103, 4. πολύκλειτόν περ

*ἔσχατον Νείλου κέρας, αἰγιβάται*
*ὅθι τράγοι γυναιξὶ μίσγονται . . . . . .*

113. (180.)

. . . . . . – – ⏑́ ⏑ – – ⏑́ ⏑ – –
. . . . . . *Λευκίππων Μυκηναίων προφᾶται.*

114. (181.)

– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑⏑ ⏑ – ⏑ –
⏑ – –́ ⏑ ⏑ – ⏑⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑⏑ ⏑ –

*Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι*
*νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·*
*κρυφᾶ δὲ σκολιοὺς γέννσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.*

115. (182.)

*Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει . . .*

118. (183.)

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ . . .

*Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν*
*σύνθεσιν τραχεῖ ποτὶ ψεύδει . . .*

119. (184.)

. . . . . . . . . . [–́] ⏑ ⏑ – ⏑ ⏑ – ⏑
–́ ⏑ – – –́ . . . . . . .
. . . . . . . . . . *παρὰ Λύδιον ἅρμα*
*πεζὸς οἰχνεύων . . . . . . . .*

120. (185.)

–́ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ – ⏑

*Ἀλλὰ Ταρτάρου πυθμὴν πιέσει σ' ἀφανὴς σφυρηλάτοις ἀνάγκαις.*

120. Ταρτάρου π. π. σ' ἀφανοῦς σφυρηλάτοις . . ἀνάγκαις.

121. (186.)

⏑⏑–́⏑⏑–⏑–́⏑⏑–
––́⏑⏑–⏑–

*Μανίαι τ' ἀλαλαί τ' ὀρινομένων*
*ῥιψαύχενι σὺν κλόνῳ.*

122. (187.)

–́⏑⏑–⏑⏑–⏑⏑–
–́⏑–⏑–⏑⏑
–́⏑⏑––⏑⏑⏑⏑–́⏑⏑⏑

*[Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,*
*ἐγχέων προοίμιον·*
*ἀμφύετ' ἄνδρες τὸν ἱερόθυτον θάνατον.]*

Non videtur Pindaricum.

124. (188.)

[–́]⏑⏑–⏑⏑–––́⏑–

*Ἀτελῆ σοφίας καρπὸν δρέπειν.*

De physiologis.

126. (190.)

*Ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες*
*ἔστασαν ἄλγος ἐμφανές.*

127. (191.)

*Κακόφρονά τ' ἀμφάνη πραπίδων καρπόν.*

128. (192.)

*Φθόνον κενεοφρόνων ἑταῖρον ἀνδρῶν.*

129. (193.)

⏑⏑–́⏑––́⏑–⏑⏑
–́⏑⏑–⏑⏑–⏑⏑–⏑
⏑–́⏑⏑–⏑⏑––
⏑⏑–́⏑⏑–⏑⏑–⏑

*Πότερον δίκᾳ τεῖχος ὕψιον*

122. sine uncinis. — 125. post 124. Vide supra fragm. Hyporchem. 6. — 126. *ἄνδρες ἢ στάσιν*

ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνδρῶν,
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.

130. (194.)

⏑ ´– ⏑ – – ⏑ – ⏑ – – ⏑ ⏑ ´– ⏑ – ⏑ – ⏑ ⏓
´– ⏑ – ⏑ – ⏑ – ´– ⏑ – ⏑ – – ´– ⏑ – ⏓

Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συν-
αορεῖ
ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν
κυβερνᾷ.

130, a. (195.)

´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – –

Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.

132. (196.)

⏓ ´– ⏑ – ⏓ ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – ⏓

Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν πε-
ρισσῶς.

133. (89.)

– ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ ⏑ – ⏓
– ´– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ´– ⏑ – ⏓
´– ⏑ . . . . .

Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν·
μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ,
πρᾶξιν.

134. (197.)

Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.

136. (198.)

´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – –
´– ⏑ – – ´– ⏑ ⏑ – ´– ⏑ – – ´– ⏑ – –
´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – –
´– ⏑ – – ´– ⏑ ⏑ – ⏑ ⏑ – – ´– ⏑ – –

130, a. omissum.

* * *

[–́⏑⏑–⏑]⏑––́–⏑⏑–... ⏑–́⏑––

Ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου
πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλου-
τέοντες

* * *

. . . . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

De compotatione.

137. (199.)

. . .––́⏑–––́. . .

Οἱ δ' ἄφνει πεποίθασιν.

138. (200.)

. . . . –́⏑⏑–⏑⏑–⏑
––́⏑–––́[⏑–]––́⏑––
––́⏑––́⏑–⏑

. . . . τῶνδε [γὰρ] οὔτε τι μεμπτὸν
οὔτ' ὦν μεταλλακτὸν . . . ὅσσ' ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν.

139. (201.)

[–́⏑]⏑–⏑⏑––́⏑––́⏑––
–́⏑⏑–⏑⏑––́⏑––́⏑⏑⏑⏑–
–⏑–⏑–́⏑⏑–⏑⏑–́⏑⏑–
–́⏑––́ . . . . . .

. Ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θα-
λάμοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον ναῒ θοᾷ
σῶς διαστείβων . . . . . . . .

**140.** (202.)

. . . ⏑ – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – –́ –
–́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –

*. . . Διὸς παῖς ὁ χρυσός·*
*κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,*
*δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.*

**141.** (203.)

–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ . . . –́ ⏑ ⏑ – . . . . .

*Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν*
*αἰχμάλωτοι, καὶ χρυσέων βελέων*
*ἐντὶ τραυματίαι . . . . . . .*

**144.** (205.)

. . . ⏑ ⏑ ⏑͡⏑́ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑

*. . . Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ,*
*πρόσθε μέλαιναν καρδίαν ἐστυφέλιξεν.*

**145.** (206.)

*Οὔτις ἑκὼν κακὸν εὕρετο.*

**147.** (207.)

[–́ ⏑] ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ . . . . .

*. . Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι*
*δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ*
*ἔργα μετ' αἰθέρα λαμπευθέντα . . . . .*

**149.** (208.)

*Τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.*

**144,** 2. πρὸς μέλαιναν

150. (209.)

– ⏑́ ⏑ – ⏓ ⏑́ ⏑ ⏑ – ⏓ ⏑́ ⏑ – ⏓
⏑́ ⏑ – ⏓ ⏑́ ⏑ ⏑ – ⏓

*Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται*
*οὐ φίλων ἐναντίον ἐλθεῖν.*

151. (210.)

*ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.*

152. (211.)

– ⏑́ ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ ⏑̲
⏑ ⏑ ⏑́ ⏑ . . . . . . . . .

*Τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος*
*ἐσάωσεν.*

153. (212.)

⏑ ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ – –
⏑́ ⏑ . . . . . . . . . . .

*Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον*
*τεῖχος.*

154. (213.)

*Πιστὸν δ' ἀπίστοις οὐδέν.*

155. (214.)

. . . . . . . . . [⏑́ ⏑] ⏑ – ⏑ ⏑ – ⏓
⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ – ⏓ ⏑́ ⏑ – ⏓
⏓ ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ – ⏑ – ⏑́ [⏑ ⏑̲]

*Ὑφ' ἅρμασιν ἵππος,*
*ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα*
*δελφίς·*
*κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον*
*ἐξευρεῖν . .*

156. (215.)

[⏑́ ⏑ ⏑ –] ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ [– ⏑̲]
⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ ⏑̲
– ⏑́ ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ [–] . . . . .

*. . . . ἁλίου δελφῖνος ὑπόκρισιν . .*
*τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει*
*αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.*

**157.** (216.)

⏑–́⏑⏑–⏑⏑–⏑⏑–

*φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.*

De delphinis.

**158.** (217.)

––́⏑⏑––́⏑––
⏒–́⏑––́⏑–

*Ὄπισθε δὲ κεῖμαι θρασειᾶν*
*ἀλωπέκων ξανθὸς λέων.*

**159.** (218.)

*Ἔνθα ποῖμναι κτιλεύονται κάπρων λεόντων τε.*

**162.** (219.)

*Ἰάχει βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.*

**163.** (117.)

. . . . ⏒–́⏑–––́⏑–
⏒–́⏑⏑–⏑⏑–– . . . .

*. . . . Μελισσοτεύκτων κηρίων*
*ἐμὰ γλυκερώτερος ὀμφά.*

**163,** a. (175.)

. . . . . . . ––́⏑⏓
–́⏑⏑–⏑⏑––́⏑–––́⏑–
––́ . . . . . . . .

*Οὔτοι με ξένον*
*Οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ*
*Θῆβαι.*

Pindarus de se.

**166.**

*Μὴ σιγᾷ βρεχέσθω.*

**163,** a. omissum.

175. (298.)

–́⏑⏑–⏑⏑––

*Ξεινοδόκησέ τε δαίμων.*

177. (221.)

*Ποτίκολλον ἅτε ξύλον ξύλῳ.*

182. (285.)

*Ὑψικέρατα πέτραν.*

182, a. (224.)

*Πρόφασις βληχροῦ γίνεται νείκεος.*

182, b. (234.)

–́⏑–––́⏑––́⏑⏑––́⏑–⏑–⏑–⏓

*Ἄλλο δ' ἄλλοισιν νόμισμα, σφετέραν δ' αἰνέσει δίκαν ἕκαστος.*

182, c. (275.)

*Ἀμεύσεσθαι Νάξιον Τίσανδρον.*

182, d. (150.)

. . . ⏑⏑–́⏑–––́⏑⏑⏑–⏓

x

–́⏑––––́⏑⏑–

––́⏑⏑–́⏑–––́⏑⏑⏑–⏑–

x

–––⏑⏑–⏑–́⏑––́⏑–

x

––⏑–́⏑⏑–⏑–

–́⏑⏑–⏑ . . . . . . . .

*Προβάτων γὰρ ἐκ πάντων κελάρυξεν,*
*ὡς ἀπὸ κρανᾶν φέρτιστον ὕδωρ*
*θάλεον γάλα· τοὶ δ' ἐπίμπλων ἐσσύμενοι πίθους.*
*ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυ' ἐν δόμοις,*
*πέλλαι δὲ καὶ λίθινοι πίθοι*
*πλᾶσθεν ἅπαντες.*

182, e. (152.)

––́⏑––́⏑⏑–⏑⏑–––́⏑––

–́⏑–––́⏑⏑–⏑⏑––́–

182, a. seqq. addidi.

# PRAEFATIO EDITIONIS SECUNDAE.

Contigit ut prioris editionis, quae a. 1850 lucem vidit, exemplaribus divenditis novam parari oporteret, quo tempore maioris Bucolicorum Graecorum editionis tomus primus, textum cum apparatu critico continens, fere absolutus erat. Itaque huius recensionem plurimis ab illa priore diversam iterare placuit, nisi quod et sphalmata quaedam tolli poterant et lectiones in Addendis editionis maioris probatae recipi. Quum vero haec nova recensio complura exhibeat, quae commentariis et lexicis destituentibus tirones, partim adeo viros non indoctos morari possint, utile visum est lectionum novatarum, quarum sensus minus in aperto positus est, brevem interpretationem praemittere.

## THEOCRITUS.

*Id. I*, 9. οἰΐς deminutivum vocis οἶς, ut ἀμνός ἀμνίς. — 45. πυρραῖος i. q. πυῤῥός, ut ἐρυθραῖος = ἐρυθρός. cf. Lobeck. Paralipp. p. 319. — 55. αἰολίχος deminutivum Doricum adiectivi αἰόλος, ut IV, 20. πυῤῥίχος a πυῤῥός. Ibid. θᾶμα Dorice pro θέαμα. cf. Diall. Gr. II. p. 342. — 62. ἐκλήθειν, oblivionem iniicere, cf. Buttm. Gr. II. p. 233. — 89. λαδρά i. e. χλευαστικῶς, vid. Philol. VII. p. 416. — 106. Θυμβρίδος. Intellige regionem prope Syracusas sitam. — 110. Ἑλίκας i. e. Καλλιστοῦς. — 123. ἐξ ὀρθῶν sc. ὀμμάτων, cf. V, 36. et Soph. O. R. 538. ἐξ ὀμμάτων ὀρθῶν.

*Id II*, 4. ποθείκει Dorice pro προσήκει, cf. Diall. II. p. 344. 586. — 24. λᾶκος pro λῆκος, cf. Hesych. λάκος (leg. λᾶκος), ἦχος, ψόφος. — 31. χαλκίον Dorice pro χαλκεῖον, cf. Diall. II. p. 188. — 60. καθυπερπετέρω ἅς ἔτι καὶ νῦν, *invicti (veneficiis) usque adhuc*, cf. εἰς ἔτι καὶ νῦν Lu-

cian. de sacrif. c. 14. — 84. ἐξάλλαξε, *mentem meam alienavit*, vid. Philol. VII. p. 423. — 106. ἀέρσα Dorice pro ἕρση, ἐέρση, Diall. II. p. 51. — 111. Intelligo „*aspectu suo efficiens, ut oculos in terram defigerem.*“ — 121. Iunge περιελικτάν. — 127. τὰ φίλα euphemice. — 150. ἀτρεχές Dorice pro ἀτρεκές, Diall. II. p. 83. — 151. ἀκράτως sc. κυάθους.

*Id. III*, 21. λίπος hypocoristice ut μύρον AP. V, 113. — 26. Aposiopesis: „*et si non moriar* — (sc. in complexum tuum properabo). *Quod vero ad te pertinet* (i. e. tibi), *dulce est*“ sc. me mori. — 28. ποτεμάξατο i. e. προσήνεγκε, ἀπέδωκε. — 29. πῆχυς ὁμαλός, *cubitus planus* ideoque platagonio imposito et percusso sonum non reddens. — 30. ἁ Γραίω, filia Γραίου.

*Id. IV*, 13. δ' pro δὴ et ita saepius. — 22. κακογράσμων, i. e. κακοφάγος a stirpe ΓΡΑ, unde ἔγραε Callim. fr. 250, πολύγραος, γράστις. — 32. Κρότωνα pro Κρότων. Ad καλεῖ cf. Hom. Od. ρ, 382 seqq. — 47. εἶξῶ, cf. ad II, 4. — 61. „*Ad mortarium in opere erat*“ obscoene, cf. μακτρισμός et ἴγδις, obscoena genera saltationis Poll. IV, 101. EtM. 464, 50. — 63. ὁρίζειν, *confinem esse* Herod. IV, 42.

*Id. V*, 9. ἀνακλέπτω a simplici κλέπτω non magis differt quam ἀναρπάζω ab ἁρπάζω. — 14. μαὐτόν ex μὰ αὐτόν. — 24 ὅρισδε, *oppignera*, cf. Virg. Ecl. III, 31. *tu dic mecum quo pignore certes.* — 38. κυνάς, *canis femina*, vid. Philol. VII. p. 440. — 43. ὗβος i. e. λάγνος ab ὗς, ut βοῦβος IV, 17. (vid. infr.) a βοῦς. — 62. ποθέ Dorice pro ποθέν. — 95. λειτός vulgo minus recte λιτός scribitur. — 101. ὧς, *ubi* Sicelice. — 145. κερούτιδες, *lascivae*, vid. Philol. VII. p. 446.

*Id. VII*, 4. 5. Intellige „*patre Lycore orti, nobilissimo inter populum, ultra vero hunc adeo Clytiae et Chalconis regia stirpe*“. De ἔτ' ἄνωθεν cf. Ammon. p. 48. ἀπόγονος δ' ὁ ἤτοι υἱωνεὺς ἢ ἔτι ἄποθεν, Plat. Legg. XI. p. 919. πατρὶ καὶ μητρὶ καὶ τοῖς ἔτι τούτων εἰς τὸ ἄνω γένεσι. — 46. ὄρος εὐρυμέδον est *mons late dominans* i. e. late prospectans, altus, cf. Horat. Ep. I, 11, 26. *locus effusi late maris arbiter.* — 73. ὄρος ἀμφ' ἐπονεῖτο, *montes circa dolebant.* — 133. οἰναρέῃσι sc. χαμευνίσι, *cubilibus pampineis.* — 153. διεκρανάσατε, *aqua vestra fontana temperastis*, Scholl. ἐπηγάσατε.

*Id. VIII*, 33. πήποκα Dorice pro πώποτε. — 48. ὦ Dorice pro ὅθεν per attractionem pro ἐκεῖθεν οὗ.

*Id. IX*, 13. Iunge ὅσσον τι. — 18. ὦ Dorice pro ὅθεν. — 27. ἐγκαγχάσατο κόχλῳ, cf. Scholl. ἐγέλασε χαρίεν ἐπὶ τῷ τοῦ κόχλου ὀστράκῳ, Hesych. καγχᾶται, ἀτάκτως γελᾷ. — 36. γαθεῦσιν est dat. plur. sc. ὄμμασι.

*Id. X*, 18. χροΐζεται, *tibi corrumpit noctem* (Plaut. Men. 4, 2, 31.), cf. χρῴζω, χραίνω. — 48. ὑπνῶν Dorice pro ὑπνοῦν.

*Id. XI*, 19. σφηλός i. q. σκληρός vel δριμύς, cf. Hesych. s. vv. σφηλόν, σφειλόν, ἄσφηλοι, σπηλόν. — 39. μανοφόρως rectius scribitur quam μανν. sensu non diverso. — 57. μασεῦμαι futurum verbi μανθάνω pro μήσομαι a stirpe ΜΗΘ, unde προμηθής, Προμηθεύς all. — 59. πόθ' vid. supra ad V, 62. — 65. πήποχ' vid. ad VIII, 33. — 66. λεπτύνοντα, *macrescentem.*

*Id. XII*, 13. ἴσπνιλος verius scribitur quam εἴσπνηλος eodem sensu. — 35. ἐπιβῶται Ionice pro ἐπιβοᾶται.

*Id. XIII*, 13. εἴκων cf. ad II, 4. — 27. Κιανάν sc. γῆν. — 65. μεταρσία i. q. μετέωρος sc. ἦν. Intellige „navis armamentis instructa et in mare deducta erat, ut qui profecturi essent; sed vela usque ad mediam noctem heroes Herculem expectantes constricta tenebant."

*Id. XIV*, 1. 2. ἄλλα τοιαῦτα h. e. πολλὰ χαίρειν, Αἰσχίνᾳ sc. λέγω. — 17. βοῦβος, *magnus*, quo sensu Sophron Syracusanus βύβος (scr. βῦβος) dixisse traditur EtM. 216, 55., vox a βοῦς derivata ut particula epitatica βοῦ vel βῦ. Ibidem κοχλίας est οἶνος καχλάζων, πορφύρων, *vinum fuscum.* „Ein ochsiger Rother wurde vertilgt." — 38. τηνῶ = ἐκεῖθεν, et μᾶλα, *genae*, cf. proverbium *hinc illae lacrimae.* — 46. οὐδ' εἰ fere non differt a simplici οὐδέ, cf. Arist. Vesp. 352. — 53. ὑπόχαλκος, *puella falsa et perfida*, cf. Plutarch. Morall. p. 65. A. et Herodian. p. 447. Piers.

*Id. XV*, 2. αὐτεῖ Dorice pro αὐτοῦ, cf. Soph. O. C. 288. — 18. ταὐτᾷ i. e. τῇ αὐτῇ = ὡσαύτως. — 25. ἠνίδ' ἐγών, *en ego*, i. e. prompta sum et parata ad faciendum quod iubes (ad eundum), cf. Callim. h. in Del. 132, Horat. Sat. I, 1, 15. — 27. αἶρε τὸ βᾶμα, *tolle pedem*, cf. Eurip. Troad. 342. — ἀνιό-

δρυπτε, *loris lacerata*, cf. μαστιγίας, δρυφάς. Proverbium πάλιν αἴ γ. μ. χρ. κ. (cf. proverbium πάλιν ἁ ὗς παροιρίνει), *rursus feles molli somno frui volunt*, Eunoae pigritiam notat. — 37. τὰν ψυχὰν προτέθεικα dictum est ut προδιδόναι τὴν ψυχήν Soph. Ant. 322., προβάλλειν ψυχήν Eurip. Rh. 183., cf. Eurip. Ph. 810. θανάτῳ προτεθέντα. — 40. ἵππος — omisso per aposiopesin λακτίζει, quod latet in sequentibus verbis χωλὸν δ' οὐ δεῖ τι γενέσθαι. — 49. ἐξαπάταις κεκροτημένοι, *in fallaciis exercitati*, cf. Scholl., Hesych. s. vv. κρότημα et ἄκροτον, Scholl. Arist. Nub. 259. — 73. ἀθαρέως i. e. ὑβριστικῶς, cf. Saupp. Epist. Crit. p. 76. — 88. ἐκ νασσᾶν sunt νηττῶν παῖδες (ut Theogn. 189. 1112. ἐκ κακοῦ est κακοῦ παῖς) vel νηττιδεῖς. De usu proverbiali et metaphorico talium dictionum patronymicarum cf. Aristoph. Pac. 1067. ἀλωπεκιδεῦσι et Cratini γαλιδέως apud Hesychium. Sententia igitur haec „*et sicut anates omnia hiante ore clangentes.*" — 98. πέρυτιν Dorice pro πέρυσιν. — 101. Χρυσώ epitheton Veneris. — 126. 127. Μιλατίς Dorice pro Μιλησίς i. q. Μιλησία. Sententia haec: *mulier Milesia et pastor Samius dicent „lectus Adonidi stratus noster est,*" h. e. lecti stragula ex optima lana Samia textricum Milesiarum arte facta sunt. — 143. εἴξεῖς, vid. ad II, 4.

*Id. XVIII*, 23. ἐπὶ ἱστῷ, *ad telam texendam.*

*Id. XIX*, 61. ἀκρόχλοος, *valde pallidus.*

*Id. XX*, 66. ἅμματα ὀρθά h. e. κατ' ὀρθοπάλην. — 213. κρατέουσι est dat. plur. participii, cui per notum anacoluthiae genus verbum finitum additur pro „καὶ ἐκ κρατέοντος φῦσιν."

*Id. XXI*, 1. μαλοπάραυος Aeolice pro μαλοπάρειος Diall. I. p. 36.

*Id. XXII*, 4. ὑπάσσαλος Aeolice pro ὑπόσαλος. — 6. κἀντιφίλησ' ἐῶ, *et Niciam vicissim mihi hospitium praebere sinam.* — 15. ἀκίδρας, cf. Cyrill. ἀκιδρός, ὁ ἀσθενής, Hesych. ἀκιδρωνάζω (recte Is. Vossius ἀκιδρωπάζω), ἀμβλυωπῶ.

*Epigr. VIII*, 5. πελωριστός i. e. περιβόητος, cf. Hesych. πελωρεύει, φανερῶς ποιεῖ (leg. φανερόν), et πελω-

*ῥύειν, βοᾶν.* — XI, 6. ἀγρεμόνες i. q. antea *στάλικες*, cf. Hesych. — XXII, 2. πολλοῖς sc. *ἐνιαυτοῖς*.

## BIO.

I. Conferatur huius idyllii editio singularis. — VI, 3. Iunge *ποτιμοχθεῖν*. — VII, 4. Iunge *ποτιδέχεσθαι*. — VIII, 1. 2. „*non tam timent quam amant*," potius amant quam timent. — XI, 4. χαλεπά i. e. *δεινά* pro substantivo. — 5. ἀλῆτο Dorice pro ἡλᾶτο. — 7. *quod desiderium propulsabat.* — XIII, 1. *potius Iovis filia quam maris*, cf. VIII, 1.

## MOSCHUS.

I, 55. Iunge ἀμφιδηνήεντος, *circumcirca artificiosi*; *δηνήεις* i. q. *τεχνήεις* a *δῆνος*. — 66. 67. Iunge ἕρπζε πετηλά i. e. *χαμαιπετῆ*, *χαμαίζηλα*, *humilia*. — II, 14. βασιλῆα i. e. *βασιλεῖα*, *regiam*. — V, 7. δειλοθέτας, *escas ponens*, *inescator* ab *δέλος*, *δέλεαρ*, *δεῖλαρ*.

## INCERTI.

*Id. I*, 16. ἐν ὑμετέροις κήδεσι i. e. in Orphei Thracis morte. — 38. De aquilis plorantibus cf. Oppian. Ix. I, 2. — 39. ἀλκυονίς i. q. *ἀλκυών* EtM. 66, 30. Apoll. Rh. I, 1085. αἴγεσι rarior dativi forma ab αἶγες, *τὰ κύματα Δωριεῖς* Hesych. De κῆϋξ cf. Oppian. Ix. II, 7. *τὰς ᾠδὰς δὲ εἰ καταπαύειν μέλλοιειν (αἱ ἀλκυόνες), κῆϋξ κῆϋξ συνεχῶς ἐπειποῦσαι σιγῶσι.* — 60. νομεύει i. q. *νωμᾷ*, *animo versat.* — 84. ἥρεε, *capiebat* i. e. delectabat. — 119. οὐ φύγεν ᾠδάν, *cantu non absterritus est.* — 121. 122. *praeter hanc naeniam etiam lacrymis tuum fatum ploro.*

*Id. II.* 44. Iunge μηδὲ τὸν ἀδέα, *ne amasium quidem suum.*

*Id. III*, 13. φορμός, crassum piscatorum tegumen, quod his simul pro cervicali erat. — 15. κλῆθραν, cf. Hesych. κλῆθρα, — *μοχλός*. — 18. τραφεράν i. e. *ἤπειρον*. — 36. *ut luscinia in silva*; lusciniarum *ἀγρυπνία* proverbialis, vid. Paroemiogr. I. p. 443. — 48. *Manus protentas incurvans pisci latum spatium concedebam.* — 58. ὀγκίνιον deminutivum vocis *ὀγκῖνος* (male in lexicis *ὄγκινος*), *uncīnus*, *hamus.*

*Id. V*, 8. *ῥόδα μάλων*, *rosae genarum*, rubores. — 24. *λᾶθον*, *oblivionem afferens*, cf. Hom. Od. δ, 221. φάρμακον — κακῶν ἐπιλῆθον ἁπάντων et supra ad Theocr. I, 62. — 47. 48. Construe ἐπερεισάμενος (τῷ λίθῳ) ἄχρις γειτιπόδων τοίχου. —

*Id. VI*, 8. *νόμος* Dorice pro νόμους. Deinde interpretare: „*inter Lycomedis filias non attendentes, ne eo quidem quod Achilles in Deidamiae cubiculo dormiebat.*“ — 18. *ἄειρε*, *laudibus extollebat.*

*Id. VII*, 16. *λίνον ἄκριτον*, *plaga plurimos sine discrimine excipiens*, cf. Nonn. Dion. XLVIII, 286. (Ἔρωτες) εἰς λίνον ἄνδρα φέρουσι καὶ ἀγρώσσουσι γυναῖκα — 26. *κροτέουσι*, *crepant.* — 34. *μαὐτόν*, vid. ad Theocr. V, 14. — 36. „domus pastoribus satis pulchra est, ut novam aedificare non opus sit.“ — 61. *tuis iussis non amplius obedientem.*“

*Id. VIII*, 23. *αὐλαί*, *avis nidus*, ut αὖλις Hom. Od. X, 470. — 66. *φιλοφληνής*, *nugarum amans*, cf. Hesych. φλῆφος (recte Salmasius φλῆνος) et EtM. 796, 10. 13., ubi male φληνός scriptum, tum φλήναφος, φληναφάω.

*Id. IX*, 1. *βοῶν ἐπίουρος* i. q. βουκαῖος, arator boum ope utens. — 72. *ἄγριον* i. e. ἀγροίκως. — 103. *κωλοπέδαι*, ut γυιοπέδαι, χειροπέδαι. Deinde περισταδόν est i. q. πέριξ, *circumcirca;* iunge autem περισταδὸν ἀμφὶ πόδεσσιν, ut Oppian. Cyn. II, 259. περισταδὸν ἀμφιχυθέντες. Postremo *ἐγγὺς ἀπέργων* interpretare „in propinquo retinens et a longinqua vagatione prohibens.“ — 114. *ἕδνον*, *donum*, ut Callim. fr. 193. — 248. *εὐκτέανος* i. q. εὐκτήδων, *quae rectas fibras habet*, cf. Thesaur. — 264. *ἤχμασα* ab ἐχμάζειν, constringere. — 270. *ἐκκαπύσαι* i. q. ἀποκαπύσαι.

Quae in accentibus a vulgari consuetudine discedunt, eorum fere omnium causas in *Lehrsii Quaestionibus Epicis* expositas invenies.

**H. L. Ahrens.**

# THEOCRITI IDYLLIA.

---

## Idyll. I.

### Θύρσις ἢ Ὠιδή.

ΘΥΡΣΙΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τύ
συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, εἰς τὲ καταρρεῖ
ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστέ κ' ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

Ἅδιον ὦ ποιμὴν τὸ τεὸν μέλος, ἢ τὸ καταχές
τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
αἴκα ταὶ Μοῖσαι τὰν οἰίδα δῶρον ἄγωνται,
ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
τήνας ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἑξεῖς.

ΘΥΡΣΙΣ.

Λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς αἰπόλε τεῖδε καθίξας 12
συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ. 14

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις ὦ ποιμὴν τὸ μεσαμβρινόν, οὐ θέμις ἄμιν
συρίσδεν. τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται· ἔστι δὲ πικρός,

---

ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι, 13

καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
ἀλλὰ τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγε' ἀείδες
καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μοίσας,
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,
ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
αἶγα δέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ κηρῷ,
ἀμφῶες νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθε κισσός,
κισσὸς ἑλιχρύσῳ κεκομημένος· ἃ δὲ κατ' αὐτό
καρπῷ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνά, τὶ θεῶν δαίδαλμα τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι. τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
ἀλλ' ὅκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελᾶσα,
ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἳ δ' ὑπ' ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τῶς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κα γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
πυρραίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ νιν δύ' ἀλώπεκες, ἃ μὲν ἀν' ὄρχως
φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ' ἐπὶ πήρᾳ

*πάντα δόλον κεύθοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν*
*φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.*
*αὐτὰρ ὅγ' ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν*
*σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας*
*οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.*
*παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,*
*αἰολίχον τοι θᾶμα· τέρας τέ τι θυμὸν ἀτύξαι.*
*τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα*
*ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·*
*οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται*
*ἄχραντον. τῷ κά τυ μάλα πρόφρων ἀρεσαίμαν,*
*αἴκά μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσαις.*
*κοὔτί τυ κερτομέω. πόταγ' ὤγαθέ· τὰν γὰρ ἀοιδάν*
*οὔ τί πα εἰς Ἀΐδαν γε τὸν ἐκλάθοντα φυλαξεῖς.*

### ΘΥΡΣΙΣ.
(*Ὠιδή.*)

I. *Ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.*

α′ *Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιος ἁδ' ἁ φωνά.*
*πεῖ ποκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο, πεῖ ποκα Νύμφαι;*
*ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;*
*οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἶχετ' Ἀνάπω,*
*οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.*
*ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.*

β′ *Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,*
*τῆνον χὡκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.*
*ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.*

β′ *Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,*
*πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.*
*ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.*

α′ Ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες αἰπόλοι ἦνθον· 80
πάντες ἀνηρώτων, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος
κἤφα· „Δάφνι τάλαν, τί νυ τάκεαι; ἁ δ' ἔτι κώρα
• πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται.
ζαλῷ σ', ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.“ 85
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 84

β′ „Ὡἰπόλος ὅκκ' ἐσορῇ τὰς μακάδας οἷα βατεῦνται, 87
τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.“
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

β′ „Καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι, 90
τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ τῇσι χορεύεις.“ 91
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 94

II. γ′ Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελόωσα, 95
λαδρὰ μὲν ἐκγελόωσα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,
κεῖπε· „τύ θην τὸν Ἔρωτα κατ' εὔχεο Δάφνι λυγίξειν·
ἦρ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.

γ′ Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· „Κύπρι βαρεῖα, 100
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδυκεῖν;
Δάφνις κὴν Ἀΐδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.

γ′ „Εἶ λέγεται τὰν Κύπριν ὁ βουκόλος, ἕρπε ποτ' Ἴδαν, 105

---

ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δέ· Δάφνι, 77
τίς τυ κατατρύχει; τίνος ὠγαθὲ τόσσον ἔρασσαι; 78
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 79

βούτας μὰν ἐλέγευ, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας. 86

τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βουκόλος, ἀλλὰ τὸν αὑτῶ 92
ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας. 93

ἕρπε ποτ' Ἀγχίσην. τηνεῖ δρύες, ὧδε κύπειρος, 106

ὡραῖος χὠ῎Αδωνις ὁπεῖ καὶ μῆλα νομεύει. 109
αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα, 112
καὶ λέγε· τὸν βούταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.

γ' „Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι, 115
χαίρεθ᾽· ὁ βουκόλος ὔμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
οὐκέτ᾽ ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ᾽ Ἀρέθοισα
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θυμβρίδος ὕδωρ.“ 118
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς. 122

III. δ' „Ὦ Πὰν Πάν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύγ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπ᾽ ἠρίον αἰπύ τε σᾶμα 125
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγατόν.“
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.

ε' „Ἔνθ᾽ ὦναξ καὶ τᾶνδε φέρευ πακτοῖο μελίπνουν
ἐκ κηρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν·
ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς Ἅϊδος ἕλκομαι ἤδη, 130
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων, 120
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.“ 121
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς. 131

ε' „Νῦν δ᾽ ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι,
ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι·
πάντα δ᾽ ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὰς κύνας ὥλαφος ἕλκοι, 135
κἠξ ὀρθῶν τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.“

---

ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι. 107
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 108

---

καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει. 110
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 111

---

ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 119

*λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.*
δ' *Χῶ μὲν τόσσ' εἰπὼν ἀνεπαύσατο· τὸν δ' Ἀφροδίτα*
*ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπη*
*ἐκ Μοιρᾶν, χὠ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα*
*τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.*
*λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.*

---

*Καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας*
*σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,*
*χαίρετ', ἐγὼ δ' ὔμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.*

### *ΑΙΠΟΛΟΣ.*

*Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,*
*πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις*
*ἁδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.*
*ἡνίδε τοι τὸ δέπας· θᾶσαι φίλος, ὡς καλὸν ὄσδει·*
*Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκησεῖς.*
*ὧδ' ἴθι Κισσαίθα, τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι,*
*οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμιν ἀναστῇ.*

---

## Idyll. II.

### Φαρμακεύτριαι.

*Πᾷ μοι ταὶ δάφναι; φέρε Θέστυλι. πᾷ δὲ τὰ φίλτρα;*
*στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,*
*ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταδήσομαι ἄνδρα,*
*ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδὲ ποθείκει,*
*οὐδ' ἔγνω, πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές.*
*οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦρά οἱ ἀλλᾷ*
*ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἅ τ' Ἀφροδίτα.*

*βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν*
*αὔριον, ὥς νιν ἴδω καὶ μέμψομαι οἷά με ποιεῖ.*
*νῦν δέ νιν ἐκ θυέων καταδήσομαι. ἀλλὰ Σελάνα*
*φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἅσυχε δαῖμον,*
*τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι*
*ἐρχομέναν νεκύων ἀνὰ τήρια καὶ μέλαν αἷμα.*
*χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμιν ὀπάδει*
*φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτέ τι Κίρκης*
*μήτέ τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.*

I. *Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.*

*Ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε*
*Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;*
*ἦρά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;*
*πάσσ' ἅμα καὶ λέγε ταῦτα „τὰ Δέλφιδος ὄστια πάσσω."*
*Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.*

*Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν*
*αἴθω· χὠς αὕτα λᾶκον μέγαν ἐκπυρος ᾆσε,*
*κἠξαπίνας ἅφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,*
*οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.*
*Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.*

*Νῦν θυσῶ τὰ πίτυρα, τὰ δ' Ἄρτεμι καὶ τὸν ἀναιδῆ*
*κινήσαι κ' ἀδάμαντα καὶ εἴτί περ ἀσφαλὲς ἄλλο.*
*Θεστυλί, ταὶ κύνες ἄμιν ἀνὰ πτόλιν ὠρύονται.*
*ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκέον ὡς τάχος ἄχει.*
*Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.*

*Ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ' ἀῆται·*
*ἁ δ' ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,*
*ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν*
*ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον εἶμεν.*
*Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.*

Ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω, 28
ὣς τάκοιθ᾽ ὑπ᾽ ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
χὠς δινεῖθ᾽ ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας, 30
ὣς τῆνος δινοῖτο ποθ᾽ ἁμετέρῃσι θύρῃσιν.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα. 32

Ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε πότνια φωνῶ· 43
εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
τόσσον ἔχοι λάθας, ὅσσόν ποκα Θησέα φαντί 45
ἐν Δίᾳ λασθῆμεν ἐϋπλοκάμω Ἀριάδνας.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ἱππομανὲς φυτόν ἐστι παρ᾽ Ἀρκάσι, τῷ δ᾽ ἐπὶ πᾶσαι
καὶ πῶλοι μαίνονται ἀν᾽ ὤρεα καὶ θοαὶ ἵπποι.
ὣς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι 50
μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Τοῦτ᾽ ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὡγὼ νῦν τίλλοισα κατ᾽ ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα 55
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Σαύραν τοι τρίψασα κακὸν ποτὸν αὔριον οἰσῶ.
Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ᾽ ὑπόμαξον
τᾶς τήνω φλιᾶς καθυπερτέρω ἇς ἔτι καὶ νῦν, 60
καὶ λέγ᾽ ἐπιφθύζοισα· „τὰ Δέλφιδος ὄστια μάσσω."
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

II. Νῦν δὴ μούνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
ἐκ τήνω δ᾽ ἀρξῶ, τίς μοι κακὸν ἄγαγε τοῦτο.
ἦνθ᾽ ἁ τῶ Εὐβούλοιο καναφόρος ἄμιν Ἀναξὼ 65
ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα

---

ἐκ θυμῶ δέδεμαι, ὃ δέ μευ λόγον οὐδένα ποιεῖ. 61

θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.
φράζεό μευ τον ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μ' ἁ Θευχαρίδα Θρᾷσσα τροφὸς ἁ μακαρῖτις
ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα
ἀμφιστειλαμένα, τὰν ξυστίδα τὰν Κλεαρίστας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτόν, ᾇ τὰ Λυκῶνος,
εἶδον Δέλφιν ὁμοῦ τι καὶ Εὐδάμνιππον ἰόντας,
τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ Σελάνα,
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
'φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Χὠς ἴδον, ὡς ἐμάνην, ὥς μοι πυρὶ θυμὸς ἰάφθη
δειλαίας· τὸ δὲ κάλλος ἐτάκετο, κοὔτέ τι πομπᾶς
τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον
ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξάλλαξε,
κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,
ἔρρευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπά
ὀστί' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα,
ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Χοὔτω τᾷ δούλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
„εἶ' ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·

τηνεῖ γὰρ φοιτῇ, τηνεῖ δέ οἱ ἁδὺ καθῆσθαι.“
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Κῆπεί κά νιν ἐόντα μάθῃς μόνον, ἅσυχα νεῦσον,
κεῖφ᾽ ὅτι Σιμαίθα τυ καλεῖ, καὶ ἀφαγέο τᾷδε.“
ὣς ἐφάμαν· ἃ δ᾽ ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα,

Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἀέρσαις,
οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ᾽ ὅσσον ἐν ὕπνῳ
κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
ἀλλ᾽ ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μ᾽ ἐσιδὼν ὤστοργος ἐπὶ χθονὸς ὄμματα πάξας,
ἕζετ᾽ ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·
„ἦρά με Σιμαίθα τόσον ἔφθασας, ὅσσον ἐγώ θην
πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθασσα Φιλῖνον,
ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἢ᾽μὲ παρεῖμεν.“
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Ἦνθον γάρ κεν ἐγών, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,
μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
κρατὶ δ᾽ ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
πάντοθε πορφυρέῃσι περὶ ζώστρῃσιν ἑλικτάν.“
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Καί μ᾽ εἰ μέν κ᾽ ἐδέχεσθε, τὰ δ᾽ ἧς φίλα—καὶ γὰρ ἐλαφρός
καὶ καλὸς πάντεσσι μετ᾽ ἠϊθέοισι καλεῦμαι—
εὗδόν κ᾽, εἴτε μόνον τὸ καλὸν στόμα τευς ἐφίλησα·

εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,
πάντως κα πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέ."
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

„Νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,
καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἷλευ
ὦ γύναι ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον
αὔτως ἡμίφλεκτον· Ἔρως δ' ἄρα καὶ Λιπαραίω
πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει,"
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα,

„Σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
καὶ νύμφαν ἐσόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
ἀνέρος." ὣς ὃ μὲν εἶπεν· ἐγὼ δέ οἱ ἁ ταχυπειθής
χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων·
καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
θερμότερ' ἧς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ.
χὡς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
κοὔτέ τι τῆνος ἐμὶν ἐπεμέμψατο μέσφα τό γ' ἐχθές,
οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
μάτηρ τᾶς ἁμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς
σάμερον, ἁνίκα πέρ τε ποτ' οὐρανὸν ἔτραχον ἵπποι
Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι·
κεἶπέ μοι ἄλλά τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἐρᾶται.
κεἴτέ νιν αὖτε γυναικὸς ἔχει πόθος εἴτε καὶ ἀνδρός,
οὐκ ἔφατ' ἀτρεχὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν ἔρωτος
ἀκράτως ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,
καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδειν.
ταῦτά μοι ἁ ξεῖνα μυθήσατο, ἔστι δ' ἀλαθής·
ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη,
καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.
νῦν δὲ τί δωδεκαταῖος ἀφ' ὧτέ νιν οὐδὲ ποτεῖδον;

ἦρ' οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
νῦν μὰν τοῖς φίλτροις καταδήσομαι· αἰ δ' ἔτι καί με
λυπεῖ, τὰν Ἀΐδαο πύλαν ναὶ Μοίρας ἀραξεῖ. 160
τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσσυρίω δέσποινα παρὰ ξείνοιο μαθοῖσα.
ἀλλὰ τὺ μὲν χαίροισα ποτ' ὠκεανὸν τρέπε πώλως,
πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν.
χαῖρε Σελαναία λιπαρόχροε, χαίρετε κἄλλοι 165
ἀστέρες, εὐκάλοιο κατ' ἄντυγα Νυκτὸς ὀπαδοί.

---

## Idyll. III.

## Κ ῶ μ ο ς.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες
βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλημένε, βόσκε τὰς αἶγας,
καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε, καὶ τὸν ἐνόρχαν,
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ. 5

Ὦ χαρίεσσ' Ἀμαρυλλί, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦρά με μισεῖς;
ἦρά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν εἶμεν; 8

Τὸν στέφανον τιλαί με καὶ αὐτίκα λεπτὰ ποησεῖς, 21
τόν τοι ἐγὼν Ἀμαρυλλὶ φίλα κίσθοιο φυλάσσω 22
ἀμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις. 23

Ὤμοι ἐγών, τί πάθω; ἁ δύσσοος, οὐχ ὑπακούεις; 24
ἠνίδε τοι δέκα μᾶλα φέρω. τηνῶθε καθεῖλον, 10
ὤ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλά τοι οἰσῶ.

---

νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποησεῖς. 9

*Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος. αἴθε γενοίμαν*
*ἁ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν*
*τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ᾇ τυ πυκάσδει.*

*Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦρα λεαίνας*
*μαζὸν ἐθήλαξε, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,*
*ὅς με κατασμύχων καὶ ἐς ὀστίον ἄχρις ἰάπτει.*

*Ὦ τὸ καλὸν ποθορῶσα, τὸ πᾶν λίπος· ὦ κυάνοφρυ*
*Νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλήσω.*
*ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.*

*Τὰν βαίταν ἀποδὺς εἰς κύματα τηνῶ ἀλεῦμαι,*
*ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·*
*καἴκα μὴ ποθάνω—τό γε μὰν τεὸν ἁδὺ τέτυκται.*

*Ἔγνων πρᾶν, ὅκα μοι μεμναμένῳ, εἰ φιλέεις με,*
*οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,*
*ἀλλ' αὔτως ἁπαλῶ ποτὶ πάχεος ἐξεμαράνθη·*
*Εἶπε καὶ ἁ Γραίω τἀλαθέα κοσκινόμαντις,*
*ἁ πρᾶν ποιολογεῦσα παραιβάτις, ὥνεκ' ἐγὼ μέν*
*τὶν ὅλος ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.*
*Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,*
*τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως*
*αἰτεῖ, καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.*
*Ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἦρά γ' ἰδησῶ*
*αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς.*
*καί κ' ἔμ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστίν.*
*Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,*
*μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα*
*ὡς ἴδεν, ὡς ἐμάνη, ὡς εἰς βαθὺν ἅλατ' ἔρωτα.*
*Τὰν ἀγέλαν χὼ μάντις ἀπ' Ὄθρυος ἄγε Μελάμπους*
*ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη,*
*μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίης.*

Τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μῆλα νομεύων
οὐχ οὑτῶς ὁ Ἄδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι;

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
ὃς τοσσῆν' ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.

Ἀλγέω τὰν κεφαλάν, τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

---

## Idyll. IV.

### Νομεῖς Βάττος καὶ Κορύδων.

ΒΑΤΤΟΣ.

Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἦρα Φιλώνδα;

ΚΟΡΥΔΩΝ.

Οὐκ ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.

ΒΑΤΤΟΣ.

Ἦ πᾴ ψε κρύβδαν τὰ ποθ' ἕσπερα πάσας ἀμέλγεις;

ΚΟΡΥΔΩΝ.

Ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.

ΒΑΤΤΟΣ.

Αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;

ΚΟΡΥΔΟΝ.

Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

ΒΑΤΤΟΣ.

Καὶ πόκα τῆνος ἔλαιον ἐπ' ὀφθαλμοῖσιν ὀπώπει;

ΚΟΡΥΔΩΝ.

*Φαντί νιν Ἡρακλῆι βίην καὶ κάρτος ἐρίσδειν.*

ΒΑΤΤΟΣ.

*Κῆμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος εἶμεν ἀμείνω.*

ΚΟΡΥΔΩΝ.

*Κὤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μῆλα.*

ΒΑΤΤΟΣ.

*Πείσαι κα Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.*

ΚΟΡΥΔΩΝ.

*Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἴδε ποθεῦντι.*

ΒΑΤΤΟΣ.

*Δειλαῖαι δ' αὗται, τὸν βουκόλον ὡς κακὸν εὗρον.*

ΚΟΡΥΔΩΝ.

*Ἦ μὰν δειλαῖαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.*

ΒΑΤΤΟΣ.

*Τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται*
*τὤστια. μὴ πρῶκας σιτίζεται ὥσπερ ὁ τέττιξ;*

ΚΟΡΥΔΩΝ.

*Οὐ Δᾶν, ἀλλ' ὅκα μέν νιν ἐπ' Αἰσάροιο νομεύω*
*καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι,*
*ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.*

ΒΑΤΤΟΣ.

*Λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος. αἴθε λάχοιεν*
*τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα θύωντι*
*τᾷ Ἥρᾳ, τοιόνδε· κακογράσμων γὰρ ὁ δᾶμος.*

ΚΟΡΥΔΩΝ.

*Καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω,*
*καὶ ποτὶ τὸν Νήαιθον, ὁπεῖ καλὰ πάντα φύοντι,*
*αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.*

ΒΑΤΤΟΣ.

*Φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες ὦ τάλαν Αἴγων*
*εἰς Ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας,*
*χὰ σῦριγξ εὐρῶτι παλύνεται, ἄν ποκ' ἐπάξα.*

ΚΟΡΥΔΩΝ.

*Οὐ τήνα γ', οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων*
*δῶρον ἐμίν νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,*
*κεὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω*
*αὐλέω. ἅ τε Κρότωνα καλεῖ πόλις ἅ τε Ζάκυνθος*
*καὶ τὸ ποταῷον τὸ Λακίνιον, εἶπερ ὁ πύκτας*
*Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας.*
*τηνεῖ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας*
*τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες*
*μακρὸν ἀνάϋσαν, χὠ βουκόλος ἐξεγέλασσεν.*

ΒΑΤΤΟΣ.

*Ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέθεν οὐδὲ θανοίσας*
*λασεύμεσθ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβης.*
*αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει.*

ΚΟΡΥΔΩΝ.

*Θαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.*
*ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.*
*χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.*

ΒΑΤΤΟΣ.

*Θαρσέω. βάλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας*
*τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα.*

ΚΟΡΥΔΩΝ.

*Σίτθ' ὁ Λέπαργος,*
*σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον. οὐκ ἐσακούεις;*
*εἰξῶ ναὶ τὸν Πᾶνα κακὸν τέλος αὐτίκα δωσῶν,*
*εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.*
*πεῖ θήν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω;*

ΒΑΤΤΟΣ.

Θᾶσαί μ' ὦ Κορύδων ποτ τῶ Διός· ἁ γὰρ ἄκανθα
ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαθεῖαι
τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
εἰς ταύταν ἐτύπην χασμώμενος. ἦρά ἑ λεύσσεις;

ΚΟΡΥΔΩΝ.

Ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τί νιν· ἅδε καὶ αὐτά.

ΒΑΤΤΟΣ.

Ὁσσίχον ἐστὶ τὸ τύμμα καὶ ἁλίκον ἄνδρα δαμάζει.

ΚΟΡΥΔΩΝ.

Εἰς ὄρος ὄκχ' ἕρπῃς, μὴ ἀνάλιπος ἔρχεο Βάττε·
ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομέονται.

ΒΑΤΤΟΣ.

Εἶπ' ἄγε μ' ὦ Κορύδων, τὸ γερόντιον ἦρ' ἔτι μύλλει
τήναν τὰν κυάνοφρυν ἐρωτίδα, τᾶς ποκ' ἐκνίσθη;

ΚΟΡΥΔΩΝ.

Ἀκμάν γ' ὦ δειλαῖε· πρόαν γέ μεν αὐτὸς ἐπενθών
καὶ ποτὶ τᾷ μάκτρᾳ κατελάμβανον ἆμος ἐνήργει.

ΒΑΤΤΟΣ.

Εὖ γ' ὤνθρωπε φιλοῖφα. τό τοι γένος ἢ Σατυρίσκοις
ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ὀρίσδεις.

---

## Idyll. V.

### Βουκολιασταὶ Κομάτας καὶ Λάκων.

ΚΟΜΑΤΑΣ.

Αἶγες ἐμαί, τῆνον τὸν ποιμένα τόνδε Σιβύρτα
φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.

ΛΑΚΩΝ.

Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες; οὐκ ἐσορῆτε
τόν μευ τὰν σύριγγα πρόαν κλέψαντα Κομάταν;

ΚΟΜΑΤΑΣ.

Τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα δῶλε Σιβύρτα
ἐκτάσα σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;

ΛΑΚΩΝ.

Τάν μοι ἔδωκε Λύκων ὠλεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἀγκλέψας πόκ' ἔβαν νάκος; εἰπὲ Κομᾶτα·
οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότᾳ ἧς τι ἐνεύδειν.

ΚΟΜΑΤΑΣ.

Τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἁνίκ' ἔθυσε
ταῖς Νύμφαις τὰν αἶγα· τὺ δ' ὦ κακὲ καὶ τόκ' ἐτάκευ
βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.

ΛΑΚΩΝ.

Οὐ μαὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὔ τέ γε Λάκων
τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος, ἢ κατὰ τήνας
τᾶς πέτρας ὤνθρωπε μανεὶς εἰς Κρᾶθιν ἁλοίμαν.

ΚΟΜΑΤΑΣ.

Οὐ μὰν οὐδ' αὐτὰς τὰς λιμνάδας ὠγαθὲ Νύμφας,
αἵτέ μοι ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν,
οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψα Κομάτας.

ΛΑΚΩΝ.

Αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
ἀλλ' ὧν αἴκα λῇς ἔριφον θέμεν, ἔστι μὲν οὐδέν
ἱερόν, ἀλλ' ἄγε τοι διαείσομαι, ἔστέ κ' ἀπείπῃς.

ΚΟΜΑΤΑΣ.

Ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισεν. ἡνίδε κεῖται
ὥριφος· ἀλλ' ἄγε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ὅρισδε.

*ΛΑΚΩΝ.*

*Καὶ πῶς ὦ κίναιδε τάδ' ἔσσεται ἐξ ἴσω ἁμίν;*
*τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεύσας*
*αἰγὸς πρατοτόκοιο κακὰν κύνα δήλετ' ἀμέλγειν;*

*ΚΟΜΑΤΑΣ.*

*Ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις,*
*σφὰξ βομβέων τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔτι*
*ὥριφος ἰσοπαλής τοι, ἴδ' ὁ τράγος οὗτος ἐρίσδει.*

*ΛΑΚΩΝ.*

*Μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι. ἅδιον ᾀσῇ*
*τεῖδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.*
*ψυχρὸν ὕδωρ τουτεῖ καταλείβεται· ὧδε πεφύκει*
*ποία χἁ στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.*

*ΚΟΜΑΤΑΣ.*

*Ἀλλ' οὔτι σπεύδω· μέγα δ' ἄχθομαι, εἰ τύ με τολμῇς*
*ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα*
*παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις εἰς τί ποθέρπει.*
*θρέψαι κα λυκιδεῖς, θρέψαι κυνάς, ὥς ἔ φάγωντι.*

*ΛΑΚΩΝ.*

*Καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας*
*μέμναμ'; ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.*

*ΚΟΜΑΤΑΣ.*

*Ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες· αἱ δὲ χίμαιραι*
*αἵδε κατεβλαχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.*

*ΛΑΚΩΝ.*

*Μὴ βάθιον τήνω πυγίσματος ὗβε ταφείης.*
*ἀλλὰ γὰρ ἕρφ', ὧδ' ἕρπε, καὶ ὕστατα βουκολιαξῇ.*

*ΚΟΜΑΤΑΣ.*

*Οὐχ ἑρψῶ τηνεῖ· τουτεῖ δρύες, ὧδε κύπειρος,*

ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι·
ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο· ταὶ δ' ἐπὶ δένδρει
ὄρνιθες λαλαγεῦντι· καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνως.

ΛΑΚΩΝ.

Ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τεῖδε πατησεῖς,
αἴκ' ἔνθῃς, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
στασῶ δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος
ταῖς Νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.

ΚΟΜΑΤΑΣ.

Αἰ δέ γέ κα τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς
καὶ γλάχων' ἀνθεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
δέρματα τᾶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνεᾶν.
στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.

ΛΑΚΩΝ.

Αὐτόθε μοι ποτέρισδε καὶ αὐτόθε βουκολιάζευ·
τὰν σαυτῶ πατέων ἔχε τὰς δρύας. ἀλλὰ τίς ἁμέ,
τίς κρινεῖ; αἴθ' ἔνθοι πόθ' ὁ βουκόλος ὧδ' ὁ Λυ-
κώπας.

ΚΟΜΑΤΑΣ.

Οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
τήνας τὰς παρὰ τὶν ξυλοχίζεται· ἔστι δὲ Μόρσων.

ΛΑΚΩΝ.

Βωστρέωμες.

ΚΟΜΑΤΑΣ.

Τὺ κάλει νιν.

ΛΑΚΩΝ.

Ἰὼ ξένε μικκὸν ἄκουσον

τεῖδ' ἐνθών· ἁμὲς γὰρ ἐρίσδομες, ὅστις ἀρείων
βουκολιαστάς ἐστι. τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων
ἐν χάριτι κρίνῃς, μήτ' ὦν τύγα τοῦτον ὀνάσῃς.

ΚΟΜΑΤΑΣ.

Ναὶ ποτὶ τᾶν Νυμφᾶν Μόρσων φίλε μήτε Κομάτᾳ
τὸ πλέον εὐθύνῃς, μήτ' ὦν τύγα τῷδε χαρίξῃ.
ἅδέ τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα,
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα.

ΛΑΚΩΝ.

Μή τύ τις ἠρώτη πὸτ τῶ Διός, αἴτε Σιβύρτα
αἴτ' ἐμόν ἐστι κάκιστε τὸ ποίμνιον; ὡς λάλος ἐσσί.

ΚΟΜΑΤΑΣ.

Βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω
κοὐδὲν καυχῶμαι· τύ γε μὰν φιλοκέρτομος ἐσσί.

ΛΑΚΩΝ.

Εἶα λέγ', εἴ τι λέγεις, καὶ τὸν ξένον εὖ πάλιν αὖθις
ζῶντ' ἄφες· ὦ Παιάν, ἦ στωμύλος ἦσθα Κομᾶτα.

(Βουκολιασμός).

ΚΟΜΑΤΑΣ.

Ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδόν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.

ΛΑΚΩΝ.

Καὶ γὰρ ἔμ' ὁ Ἀπόλλων φιλέει μέγα, καὶ καλὸν αὐτῷ
κριὸν ἐγὼ βόσκω. τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.

ΚΟΜΑΤΑΣ.

Πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
καί μ' ἁ παῖς ποθορεῦσα „τάλαν" λέγει „αὐτὸς ἀμέλγεις";

ΛΑΚΩΝ.

Φεῦ φεῦ Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
τυρῶ καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.

ΚΟΜΑΤΑΣ.

Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα
τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάζει.

ΛΑΚΩΝ.

Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
ἐκμαίνει· λιπαρὰ δὲ παρ' αὐχένα σείετ' ἔθειρα.

ΚΟΜΑΤΑΣ.

'Αλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
πὰρ ῥόδα, τῶν ἄνδηρα· τὰ δ' αἱμασιαῖσι πεφύκει.

ΛΑΚΩΝ.

Οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὀμομαλίδες· αἳ μὲν ἔχοντι
λειτὸν ἀπὸ πρίνοιο λεπύριον, αἳ δὲ μελιχραί.

ΚΟΜΑΤΑΣ.

Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν
ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεῖ γὰρ ἐφίσδει.

ΛΑΚΩΝ.

'Αλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πεξῶ
τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.

ΚΟΜΑΤΑΣ.

Σίττ' ἀπὸ τᾶς κοτίνω ταὶ μακάδες· ὧδε νέμεσθε,
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.

ΛΑΚΩΝ.

Οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος ἅ τε Κιναίθα;
τουτεῖ βοσκησεῖσθε ποτ' ἀντολάς, ὡς ὁ Φάλαρος.

ΚΟΜΑΤΑΣ.

Ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρατήρ,
ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.

*ΛΑΚΩΝ.*

*Χἀμὶν ἐστι κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει,*
*ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.*

*ΚΟΜΑΤΑΣ.*

*Ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,*
*μή μευ λωβασεῖσθε τὰς ἀμπέλος; ἐντὶ γὰρ ἇβαι.*

*ΛΑΚΩΝ.*

*Τοὶ τέττιγες ὁρῆτε, τὸν αἰπόλον ὡς ἐρεθίζω·*
*οὕτως χὑμές θην ἐρεθίζετε τὼς καλαμευτάς.*

*ΚΟΜΑΤΑΣ.*

*Μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος*
*αἰεὶ φοιτῶσαι τὰ ποθ' ἕσπερα ῥαγίζοντι.*

*ΛΑΚΩΝ.*

*Καὶ γὰρ ἐγὼν μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα*
*σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.*

*ΚΟΜΑΤΑΣ.*

*Ἦ οὐ μέμνασ', ὅκ' ἐγώ τυ κατήλασα, καὶ τὺ σεσαρώς*
*εὖ ποτεκιγκλίζευ καὶ τᾶς δρυὸς εἴχεο τήνας;*

*ΛΑΚΩΝ.*

*Τοῦτο μὲν οὐ μέμναμ'· ὅκα μάν ποκα τεῖδέ τυ δήσας*
*Εὐμάρας ἐκάθαρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.*

*ΚΟΜΑΤΑΣ.*

*Ἤδη τις Μόρσων πικραίνεται· ἢ οὐχὶ παραίσθευ;*
*σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλειν.*

*ΛΑΚΩΝ.*

*Κἠγὼν μὰν κνίζω Μόρσων τινά· καὶ τὺ δὲ λεύσσεις.*
*ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν εἰς τὸν Ἄλεντα.*

*ΚΟΜΑΤΑΣ.*

*Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα, καὶ τὺ δὲ Κρᾶθι*
*οἴνῳ πορφύροις, τὰ δέ τοι σία καρπὸν ἐνείκαι.*

ΛΑΚΩΝ.

Ῥείτω χὠ Σύβαρις ἁμὶν μέλι, καὶ τὸ ποτ' ὄρθρον
ἁ παῖς ἀνθ' ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.

ΚΟΜΑΤΑΣ.

Ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι κέχυνται.

ΛΑΚΩΝ.

Ταῖσι δ' ἐμαῖς ὀΐεσσι πάρεστι μὲν ἁ μελίτεια
φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κίσθος ἐπανθεῖ.

ΚΟΜΑΤΑΣ.

Οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε
τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.

ΛΑΚΩΝ.

Ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὅκ' αὐτῷ
τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλησεν.

ΜΟΡΣΩΝ.

Οὐ θεμιτὸν Λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδειν,
οὐδ' ἔποπας κύκνοισι· τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.
παύσασθαι κέλομαι τὸν ποιμένα. τὶν δὲ Κομᾶτα
δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
ταῖς Νύμφαις Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.

ΚΟΜΑΤΑΣ.

Πεμψῶ ναὶ τὸν Πᾶνα. φριμάσσεο πᾶσα τραγίσκων
νῦν ἀγέλα· κἠγὼν γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
κὰτ τῶ Λάκωνος τῶ ποιμένος, ὥδ' ὁπόκ' ἤδη
ἀνυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμιν ἀλεῦμαι.
αἶγες ἐμαὶ θαρσεῖτε κερούτιδες· αὔριον ὔμε
πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθε λίμνας.
οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν' ὀχευσεῖς

τᾶν αἰγῶν, φλασσῶ τυ, πρίν ἤ γέ με καλλιερῆσαι
ταῖς Νύμφαις τὰν ἀμνόν. ὃ δ' αὖ πάλιν. ἀλλὰ γενοίμαν,
αἰ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

---

## Idyll. VI.

### Βουκολιασταὶ Δάφνις καὶ Δαμοίτας.

Δαμοίτας χὼ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν πόκ' Ἄρατε συνάγαγον· ἧς δ' ὃ μὲν αὐτῶν
πυρρός, ὃ δ' ἡμιγένειος· ἐπὶ κράναν δέ τιν' ἄμφω
ἑζόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
πρᾶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἐρίσδεν.

(Δάφνιδος ᾠδή.)

α′ Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
β′ Καὶ τύ νιν οὐ ποθόρησθα τάλαν τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων. πάλιν ἅδ' ἴδε τὰν κύνα βάλλει,
ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἃ δὲ βαῦσδει
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει
ἅσυχα παφλάζοντα ἐπ' αἰγιαλοῖο θέοισαν.
α′ Φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμησιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
β′ Ἃ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει·
καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
πολλάκις ὦ Πολύφαμε τὰ μὴ καλὰ καλὰ πέφανται.

---

Τῷ δ' ἐπὶ Δαμοίτας ἀνεβάλλετο καὶ τάδ' ἄειδεν.

(Δαμοίτου ᾠδή.)

γ' Εἶδον ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἁνίκ' ἔβαλλε,
κοὔτι λάθ', οὔ, τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθορῶμι
ἐς τέλος, αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων
ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάσσοι.

γ' Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι,
ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἃ δ' ἀΐοισα
ζαλοῖ μ' ὦ Παιὰν καὶ τάκεται, ἐκ δὲ θαλάσσας
οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.

δ' Σίξα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων
αὐτᾶς, ἐκνυζεῖτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.

γ' Ταῦτα δ' ἴσως ἐσορῶσα ποεῦντά με πολλάκι πεμψεῖ
ἄγγελον. αὐτὰρ ἐγὼ κλᾳσῶ θύρας, ἔστέ κ' ὀμόσσῃ
αὐτά μοι στορεσεῖν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
καὶ γάρ θὴν οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι.

γ' Ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέδρακον, ἦς δὲ γαλάνα,
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μευ ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.

δ' Ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
ταῦτα γὰρ ἁ γραία με Κοτυταρὶς ἐξεδίδαξε.

---

Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλησε,
χὠ μὲν τῷ σύριγγ', ὃ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας·

---

ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποτίωνι ποταύλει.

ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
νίκη μὰν οὐδ' ἄλλος, ἀνήσσατοι δ' ἐγένοντο.

---

## Idyll. VII.

### Θ α λ ύ σ ι α.

Ἧς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος εἰς τὸν Ἅλεντα
εἵρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἅμιν Ἀμύντας.
τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος
κἈντιγένης, δύο τέκνα Λυκώρεος, εἴτί περ ἐσθλόν
λαῶν, τῶ δ' ἔτ' ἄνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυσε κράναν
εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτάν
αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ὕφαινον,
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμὶν τὸ Βρασίλα ἀνεφαίνετο, καί τιν' ὁδίταν
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
οὔνομα μὲν Λυκίδαν, ἧς δ' αἰπόλος, οὐδέ κέ τίς μιν
ἠγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρώς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς·
„Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι;

ἦ μετὰ δαῖτ' ἄκλητος ἐπείγεαι; ἦ τινος ἀστῶν
λανὸν ἔπι θρώσκεις; ὥς τοι ποσὶ νισσομένοιο
πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.“
τὸν δ' ἐγὼ ἀμείφθην· „Λυκίδα φίλε, φαντί τυ πάντες
ἔμμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν
ἔν τ' ἀμητήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει
ἁμέτερον· καί τοι κατ' ἐμὸν νόον ἰσοφαρίζειν
ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι
ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
ἀλλ' ἄγε δή — ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς —
βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
καὶ γὰρ ἐγὼν Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον οὔτε τὸν ἐσθλόν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὐδὲ Φιλητᾶν
ἀείδων, βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.“
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος ἁδὺ γελάσσας
„τάν τοι“ ἔφα „κορύναν δωρύττομαι, οὕνεκεν ἐσσί
πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον εὐρυμέδοντος,
καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδόν
ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.
ἀλλ' ἄγε βουκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μέν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
τοῦθ' ὅτι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.“

(Λυκίδου ᾠδή.)

α' Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος εἰς Μυτιλάναν,

χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
κύματα, χὠρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχει,
αἴκεν τὸν Λυκίδαν ὀπτώμενον ἐξ Ἀφροδίτας
ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.

α' χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν
τόν τε νότον τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταὶ τὰ μάλιστα
ὀρνίθων ἐφίληθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
ὥρια πάντα γένοιτο, καὶ εὔπλοος ὅρμον ἵκοιτο.

β' Κἠγὼ τῆνο κατ' ἆμαρ ἀνήτινον ἢ ῥοδόεντα
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ.

β' Χἁ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
κνύζᾳ τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς μεμναμένος Ἀγεάνακτος
αὐταῖς ἐν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.

γ' Αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
εἷς δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
χὡς ὄρος ἀμφ' ἐπονεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρή-
νευν,
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθῃσιν ποταμοῖο,
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.

δ' Ἀισεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος,
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι

---

Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν

κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.

γ' Ὦ μακαριστὲ Κομᾶτα, τύ θην τάδε τερπνὰ πεπόνθης,
καὶ τὺ κατεκλᾴσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας.
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες εἶμεν,
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας
φωνᾶς εἰσαΐων, τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατεκέκλισο θεῖε Κομᾶτα.

---

Χὢ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μετ' αὖτις
κἠγὼν τοῖ' ἐφάμαν· „Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
ἐσθλά, τά που καὶ Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρειν
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.“

(Σιμιχίδου ᾠδή.)

α' Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλός
τόσσον ἐρᾷ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἐρᾶντι.
ὁ‿Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος ὃν οὐδέ κεν αὐτὸς ἀείδειν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.

β' Τόν μοι Πάν, Μαλέας ἐρατὸν πέδον ὅστε λέλογχας,
ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
εἴτε Φιλῖνος ἄρ' ἐστὶν ὁ μαλθακὸς εἴτέ τις ἄλλος.
κεἰ μὲν ταῦτ' ἔρδοις ὦ Πὰν φίλε, μή τί τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμως
τανίκα μαστίσδοιεν, ὅτε κρέα τυτθὰ παρείη·

β′ Εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις,
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν τετραμμένον ἐγγύθεν ἄρκτω,
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.

α′ Ὑμὲς δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
νᾶμα καὶ Οἰκεῦντα, ξανθᾶς ἕδος αἰπὺ Διώνας,
ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.
καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες
„αἰαῖ“ φαντὶ „Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀπορρεῖ.“

γ′ Μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν Ἄρατε,
μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
κοκκύζων νάρκῃσιν ἀνιαρῇσι διδοίη,
εἷς δ' ἀπὸ τᾶσδε φέριστε μολὼν ἄγχοιτο παλαίστρας.
ἁμὶν δ' ἁσυχία τε μέλοι γραία τε παρείη,
ἅτις ἐπιφθύζοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.

---

Τόσσ' ἐφάμαν· ὃ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας
ὡς πάρος, ἐκ Μοισᾶν ξεινήϊον ὤπασεν εἶμεν.
χὠ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας
εἷρφ' ὁδόν, αὐτὰρ ἐγώ τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
στραφθέντες χὠ καλὸς Ἀμύντιχος ἔν τε βαθείαις
ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέῃσι.
πολλαὶ δ' ἁμὶν ὕπερθε κατὰ κρατὸς δονέοντο
αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυζε.
τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν αἰθαλίωνες

τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,
πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρας.
ὄχναι μὲν πὰρ ποσσί, περὶ πλευρῇσι δὲ μᾶλα
δαψιλέως ἁμὶν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε·
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσσιον αἶπος ἔχοισαι,
ἦρά γέ πᾳ τοιόνδε Φόλῳ κατὰ λάϊνον ἄντρον
κρατῆρ' Ἡρακλῆι γέρων ἐστάσατο Χείρων;
ἦρά γέ πᾳ τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ,
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
οἷον δὴ τόκα πῶμα διεκρανάσατε Νύμφαι
βωμῷ πὰρ Δάματρος ἀλωάδος; ἆς ἐπὶ σωρῷ
αὖτις ἐγὼ πάξαιμι μέγα πτύον, ἃ δὲ γελάσσαι
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

---

## Idyll. VIII.*

### Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι
μᾶλα νέμων, ὡς φαντί, κατ' ὤρεα μακρὰ Μενάλκας.
ἄμφω τώγ' ἤστην πυρροτρίχω, ἄμφω ἀνάβω,
ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
„μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;

φαμί τυ νικασεῖν, ὅσσον θέλω, αὐτὸς ἀείδων."
τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀμείβετο μύθῳ·
„ποιμὴν εἰροπόκων ὀΐων συριγκτὰ Μενάλκα,
οὔποτε νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τύγ' ἀείδων."

ΜΕΝΑΛΚΑΣ.

Χρῄσδεις ὢν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Καὶ τίνα θησεύμεσθ', ὅτις ἁμὶν ἄρκιος εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δὲ θὲς ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπὸς ὁ πατήρ μευ
χἁ μάτηρ, τὰ δὲ μᾶλα ποθ' ἕσπερα πάντ' ἀριθμεῦντι.

ΔΑΦΝΙΣ.

ἀλλὰ τί μὰν θησεῖς; τί δέ τυ πλέον ἑξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ' ἂν ἐπόησα καλὰν ἐγὼ ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν, ἶσον κάτω, ἶσον ἄνωθεν·
ταύταν κα θείην, τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν, ἶσον κάτω, ἶσον ἄνωθεν.
πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
τοῦτον, ἐπεὶ κάλαμός ἑ διασχισθεὶς διέτμαξεν.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τίς ἁμὲ κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;

ΔΑΦΝΙΣ.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες,
ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ.

Χοὶ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακοῦσαι. 28
πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας, 30
εἶτα δ' ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδὰν
βουκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος.

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
πήποχ' ὁ συριγκτὰς προσφιλὲς ᾆσα μέλος,
βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνάδας· ἢν δέ ποκ' ἔνθῃ 35
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
μουσίζω Δάφνις ταῖσιν ἀηδονίσι,
τοῦτο τὸ βουκόλιον πιαίνετε· κἢν τι Μενάλκας
τεῖδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι. 40

ΜΕΝΑΛΚΑΣ.

Ἔνθ' οἶς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι 45
σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι, 46
ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ, 47
χὠ ποιμὴν ξηρὸς τηνόθι χαἰ βοτάναι. 44

ΔΑΦΝΙΣ.

Παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος 41
οὔθατα πιδῶσιν, καὶ τὰ νέα τρέφεται, 42
ἔνθα καλὰ Ναῒς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ, 43
χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγῶν ἄνερ, ὦ βάθος ὕλας

---

Χοὶ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρίνειν. 29

μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
ἐν τήνῳ γὰρ τῆνος· ἴθ' „ὦ καλὲ" καὶ λέγε „Μίλων,
ὁ Πρωτεὺς φώκας καὶ θεὸς ὢν ἔνεμε."

ΔΑΦΝΙΣ.

* * * * * * * *
* * * * * * * *
* * * * * * * *
* * * * * * * *

ΜΕΝΑΛΚΑΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι Κροίσεια τάλαντα
εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
ἀλλ' ὑπὸ τᾷ πέτρα τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελάν τ' ἐς ἅλα.

ΔΑΦΝΙΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός,
ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ ὦ Ζεῦ,
οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.

Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
τᾶν πυματᾶν δ' ᾠδᾶν οὑτῶς ἐξᾶρχε Μενάλκας.

ΜΕΝΑΛΚΑΣ.

Φείδευ τᾶν στερίφων, φείδευ λύκε τᾶν τοκάδων μευ,
μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ Λάμπουρε κύον, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὑμὲς ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
ποίας· οὔτι καμεῖσθ', ὄκκα πάλιν ἅδε φύηται.
Σίττα νέμεσθε νέμεσθε, τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
ὡς τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀποθῶμαι.

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·

### ΔΑΦΝΙΣ.

Κῆμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
τὰς δαμάλας παρελᾶντα καλὸν καλὸν εἶμεν ἔφασκεν·

Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον. 78

Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα· 76
ἁδὺ δὲ χἀ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν. 78

Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
τᾷ βοῒ δ'-ἁ μόσχος, τῷ βουκόλῳ αἱ βόες αὐταί. 80

Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
„ἁδύ τι τὸ στόμα τοι καὶ ἐφίμερος ὦ Δάφνι φωνά.
κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχειν.
λάζεο τᾶς σύριγγος· ἐνίκασας γὰρ ἀείδων.
αἱ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι, 85
τήναν τὰν μιτύλαν δωσῶ τα δίδακτρά τοι αἶγα,
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.“

Ὣς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε
νικάσας, οὕτω κ' ἐπὶ ματέρι νεβρὸς ἅλοιτο.
ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ 90
ὥτερος, οὕτω κα νύμφα δμαθεῖσ' ἀκάχοιτο.
κὴκ τούτω πρᾶτος παρὰ ποιμέσι Δάφνις ἔγεντο,
καὶ Νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.

---

ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς. 77

## Idyll. IX.*

### Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας.

Βουκολιάζεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος,
ᾠδᾶς ἄρχεο Δάφνι, συναψάσθω δὲ Μενάλκας,
μόσχως βουσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως.
χοὶ μὲν ἁμᾶ βόσκοιντο καὶ ἐν φύλοισι πλανῷντο
μηδὲν ἀτιμαγελεῦντες· ἐμὶν δὲ τὺ βουκολιάζευ
ἔκ ποθεν, ἄλλοθε δ' αὖτις ὑποκρίνοιτο Μενάλκας.

ΔΑΦΝΙΣ.

Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς,
ἁδὺ δὲ χἁ σῦριγξ, χὡ βουκόλος ἁδὺ δὲ κἠγών.
ἔστι δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς, ἐν δὲ νένασται
λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
ὅσσον ἐρῶν τι πατρὸς μύθων καὶ ματρὸς ἀκούει.

Οὕτως Δάφνις ἄεισεν ἐμίν, οὕτως δὲ Μενάλκας.

ΜΕΝΑΛΚΑΣ.

Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι, ὅσσ' ἐν ὀνείρῳ
φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,
ὧν μοι πρὸς κεφαλᾶ καὶ πρὸς ποσὶ κώεα κεῖται.
ἐν πυρὶ δὲ δρυΐνῳ χόρια ζέει, ἐν πυρὶ δ' αὖαι
φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.

Τοῖς μὲν ἐπεπλατάγησα καὶ αὐτίκα δῶρον ἔδωκα,
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτραφεν ἀγρός,
αὐτοφυῆ, τὰν δ' οὐδ' ἂν ἴσως μωμάσατο τέκτων,
τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, ὧ κρέας αὐτός

σιτήθην πέτρῃσιν ἐν Ὑκαρίῃσι δοκεύσας,
πέντε ταμὼν πέντ' οὖσιν· ὃ δ' ἐγκαγχάσατο κόχλῳ.

* * *

* *

Βουκολικαὶ Μοῖσαι μάλα χαίρετε, φαίνετε δ' ᾠδάς,
τάς ποκ' ἐγὼ κείνοισι παρὼν ἄεισα νομεῦσι,
μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσω.
τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
ἴρακες δ' ἴραξιν, ἐμὶν δ' ἁ μοῖσα καὶ ᾠδά.
τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος
οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
ἄνθεα· τόσσον ἐμὶν Μοῖσαι φίλαι. ὧς μὲν ὁρῆτε
γαθεῦσιν, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκη.

---

## Idyll. X.

### Ἐργατίναι ἢ Θερισταί.

*ΜΙΛΩΝ.*

Ἐργατίνα βουκαῖε, τί νυν ᾤζυρὲ πεπόνθεις;
οὔτ' ὧν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἆγες,
οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ
ὥσπερ ὄϊς ποίμνας, ἇς τὸν πόδα κάκτος ἔτυψε.
ποῖός τις δειλαῖε καὶ ἐκ μέσω ἅματος ἐσσῇ,
ὃς νῦν ἀρχομένω τᾶς αὔλακος οὐκ ἀποτρώγεις;

*ΒΑΤΤΟΣ.*

Μίλων ὀψαμᾶτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

*ΜΙΛΩΝ.*

Οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;

ΒΑΤΤΟΣ.

Οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

ΜΙΛΩΝ.

Μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.

ΒΑΤΤΟΣ.

Ἀλλ' ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἑνδεκαταῖος.

ΜΙΛΩΝ.

Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

ΒΑΤΤΟΣ.

Τοιγάρτοι πρὸ θυρᾶν μοι ἀπὸ σπόρω ἄσκαλα πάντα.

ΜΙΛΩΝ.

Τίς δέ τυ τᾶν παίδων λυμαίνεται;

ΒΑΤΤΟΣ.

Ἁ Πολυβώτα,
ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποτίωνι ποταύλει.

ΜΙΛΩΝ.

Εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις, πάλαι ὧν ἐπεθύμεις.
μάντίς τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία.

ΒΑΤΤΟΣ.

Μωκᾶσθαί μ' ἄρχῃ τύ; τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως. μὴ δὴ μέγα μυθεῦ.

ΜΙΛΩΝ.

Οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾶον,
καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ. ἅδιον οὕτως
ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

ΒΑΤΤΟΣ.

(Ὠιδή.)

Μῶσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
παῖδ'· ὧν γάρ χ' ἅψησθε θεαί, καλὰ πάντα ποεῖτε.

Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
ἰσχνὰν ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.

Καὶ τὸ ἴον μέλαν ἐστὶ καὶ ἁ γραπτὰ ὑάκινθος,
ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.

Ἁ αἴξ τὰν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
ἁ γέρανος τὤροτρον, ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.

Αἴθέ μοι ἦς, ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,
χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ,

Τὼς αὐλὼς μὲν ἔχοισα καὶ ἢ ῥόδον ἢ μᾶλον τύ,
σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.

Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευς
ἁ φωνὰ δὲ τρύχνος· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙΛΩΝ.

Ἦ καλὰς ἁμὲ ποῶν ἐλελάθη βοῦκος ἀοιδάς.
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
ὤμοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα.
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λιτυέρσα.

(Ὠιδή.)

Δάματερ πολύκαρπε πολύσταχυ, τοῦτο τὸ λᾷον
εὔεργόν τ' εἴη καὶ κάρπιμον ὅττι μάλιστα.

Σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
εἴποι· „σύκινοι ἄνδρες, ἀπώλετο χοὖτος ὁ μισθός.“

Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμιν
ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὑτῶς.

Σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὑπνῶν·
ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.

Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
καὶ λήγειν εὕδοντος, ἐλινῦσαι δὲ τὸ καῦμα.

*Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος· οὐ μελεδαίνει*
*τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.*
*Κάλλιον ὦπιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν·*
*μήπιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.*

---

*Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν,*
*τὸν δὲ τεὸν βουκαῖε πρέπει λυμηρὸν ἔρωτα*
*μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.*

---

## Idyll. XI.

### Κ ύ κ λ ω ψ.

*Οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο*
*Νικία οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὐδ' ἐπίπαστον,*
*ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ*
*γίνετ' ἐπ' ἀνθρώπως, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.*
*γινώσκειν δ' οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα*
*καὶ ταῖς ἐννέα δὴ πεφιλημένον ἔξοχα Μοίσαις.*
*οὕτω γῶν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμίν,*
*ὠρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,*
*ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.*
*ἤρατο δ' οὐ μάλοις οὐδὲ ῥόδῳ οὐδὲ κικίννοις,*
*ἀλλ' ὀρθαῖς μανίαις, ἁγεῖτο δὲ πάντα πάρεργα.*
*πολλάκι ταὶ ὄϊες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον*
*χλωρᾶς ἐκ βοτάνας· ὃ δὲ τὰν Γαλάτειαν ἀείδων*
*αὐτεῖ ἐπ' αἰόνος κατετάκετο φυκιοέσσας*
*ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος.*

---

*Κύπριδος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.*

ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ' ἐπὶ πέτρας 17
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.

(Ὠιδή.)

α' Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ
μόσχω γαυροτέρα, σφηλωτέρα ὄμφακος ὠμᾶς, 21
φοιτῇς δ' αὖθ' οὕτως, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' εὐθὺς ἰοῖσ', ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα;

α' Ἠράσθην μὲν ἔγωγα τεοῦς κόρα, ἁνίκα πρᾶτον 25
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδ' ἔτι πα νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί' οὐδέν.

β' Γινώσκω χαρίεσσα κόρα, τίνος ὥνεκα φεύγεις· 30
ὥνεκά μοι λασία μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὡς μία μακρά,
εἷς δ' ὀφθαλμὸς ὕπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.

β' Ἀλλ' οὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω· 35
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.

β' Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τὶν τὸ φίλον μελίμαλον ἁμᾷ κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί. τράφω δέ τοι ἕνδεκα νεβρὼς 40
πάσας μανοφόρως καὶ σκύμνως τέσσαρας ἄρκτων.

β' Ἀλλ' ἀφίκευ τὺ ποθ' ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς. 44
τίς κα τῶνδε θάλασσαν ἑκὼν καὶ κύμαθ' ἕλοιτο; 49

---

λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός, 20

β' Ἐντὶ δάφναι τηνεῖ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι, 45
ἔστι μέλας κισσός, ἔστ' ἄμπελος ἁ γλυκύκαρπος,
ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι. 48

β' Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος εἶμεν, 50
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.

β' Ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τευς ἐφίλησα, 55
αἰ μὴ τὸ στόμ' ἔλης, ἔφερον δέ τοι ἢ κρίνα λευκὰ
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.

β' Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι. 58
νῦν μὰν ὦ κόριον, νῦν αὖ τό γα νεῖν μασεῦμαι, 60
εἴ τίς κα σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ τι, πόθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὑμίν.

β' Ἐξένθοις Γαλάτεια καὶ ἐξενθοῖσα λάθοιο
ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος οἴκαδ' ἀπενθεῖν.
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν 65
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.

γ' Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρῶσά με λεπτύνοντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ 70
σφύζειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.

γ' Ὦ Κύκλωψ Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα κα πολὺ μᾶλλον ἔχοις νῶν.

---

ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην. 59

τὰν παρεοῖσαν ἄμελγε. τί τὸν φεύγοντα διώκεις;
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.

δ' Πολλαὶ συμπαίσδέν με κόραι τὰν νύκτα κέλονται,
κιχλίζοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ἐπακούσω.
δῆλον ὅτ' ἐν τᾷ γᾷ κἠγὼν τὶς φαίνομαι εἶμεν.

---

Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.

---

## Idyll. XII.

### Ἀ ί τ η ς.

α' Ἤλυθες ὦ φίλε κοῦρε; τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ
ἤλυθες; οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.

β' Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβίλοιο
ἥδιον, ὅσσον ὄϊς σφετέρης λασιωτέρη ἀρνός,
ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός,
ὅσσον ἐλαφροτέρη μόσχου νεβρός, ὅσσον ἀηδὼν
συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν,
τόσσον ἔμ' εὔφρηνας σὺ φανείς, σκιερὴν δ' ὑπὸ φηγόν
ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμεν ὥς τις.

β' Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
νῶϊν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή.
„δίω δή τινε τῶδε μετὰ προτέροισι γενέσθην
φῶθ', ὃ μὲν ἴσπνιλος, φαίη χ' ὁ Ἀμυκλαϊάζων,
τὸν δ' ἕτερον πάλιν ὥς κεν ὁ Θεσσαλὸς εἴποι ἀΐτην.

ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦρα τότ' ἔσσαν
χρύσειοι πάλιν ἄνδρες, ὅτ' ἀντεφίλησ' ὁ φιληθείς."

γ' Εἰ γὰρ τοῦτο πάτερ Κρονίδη πέλοι, εἰ γὰρ ἀγήρῳ
ἀθάνατοι, γενεῆς δὲ διηκοσίῃσιν ἔπειτα
ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα·
„ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀΐτεω
πᾶσι διὰ στόματος, μετὰ δ' ἠιθέοισι μάλιστα."

γ' Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι Οὐρανίωνες
ἔσσονθ' ὡς ἐθέλουσιν· ἐγὼ δέ σε τὸν καλὸν αἰνέων
ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω.
ἢν γὰρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
διπλάσιον δ' ὤνησας, ἔχων δ' ἐπίμετρον ἀπῆλθον.

δ' Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα
ξεῖνον ἐτιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.

ε' Αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι.
ὃς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
βριθόμενος στεφάνοισιν ἑὴν ἐς μητέρ' ἀπῆλθεν.

ε' Ὄλβιος, ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
ἦ πῃ τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβῶται
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ
πεύθονται, μὴ φαῦλος ἐτήτυμον, ἀργυραμοιβοί.

---

## Idyll. XIII.

### Ὕ λ α ς.

Οὐχ ἁμὶν τὸν Ἔρωτα μόνοις ἔτεχ᾽, ὡς ἐδοκεῦμες,
Νικία, ᾧτινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο·
οὐχ ἁμὶν τὰ καλὰ πράτοις καλὰ φαίνεται εἶμεν,
οἳ θνατοὶ πελόμεσθα, τὸ δ᾽ αὔριον οὐκ ἐσορῶμες·
ἀλλὰ καὶ ὁ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός, 5
ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδός,
τοῦ χαρίεντος Ὕλα, τοῦ τὰν πλοκαμῖδα φορεῦντος,
καί νιν πάντ᾽ ἐδίδαξε πατὴρ ὡσεὶ φίλον υἱέα,
ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
χωρὶς δ᾽ οὐδέποκ᾽ ἧς, οὔτ᾽ εἰ μέσον ἆμαρ ὄροιτο, 10
οὔτ᾽ ἄρ᾽ ὅχ᾽ ἁ λεύκιππος ἀνατρέχοι ἐς Διὸς Ἀώς,
οὐδ᾽ ὁπόκ᾽ ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
σεισαμένας πτερὰ ματρὸς ἐπ᾽ αἰθαλόεντι πεταύρῳ,
ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
αὐτοῦ δ᾽ εὖ εἴκων ἐς ἀλαθινὸν ἄνδρ᾽ ἀποβαίη. 15
ἀλλ᾽ ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ᾽ αὐτῷ ἀριστῆες συνέποντο
πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι,
ἵκετο χὠ ταλαεργὸς ἀνὴρ ἐς ἀφνειὸν Ἰωλκόν,
Ἀλκμήνης υἱὸς Μιδεάτιδος ἡρωίνης, 20
σὺν δ᾽ αὐτῷ κατέβαινεν Ὕλας εὔανδρον ἐς Ἀργώ. 21
ἆμος δ᾽ ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δέ 25
ἄρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
ἡρώων, κοίλαν δὲ καθιδρυθέντες ἐς Ἀργώ

---

ἅτις κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναυς, 22
ἀλλὰ διεξάϊξε, βαθὺν δ᾽ εἰσέδραμε Φᾶσιν, 23
αἰετὸς ὣς μέγα λαῖτμα, ἀφ᾽ ου τότε χοιράδες ἔσταν. 24

Ἑλλάσποντον ἵκοντο νότῳ τρίτον ἆμαρ ἀέντι,
εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
αὔλακας εὐθύνοντι βόες τρίβοντες ἀρότρῳ.
ἐκβάντες δ' ἐπὶ θῖνα κατὰ ζυγὰ δαῖτα πένοντο
δειελινήν, πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν.
λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ,
ἔνθεν βούτομον ὀξὺ βαθύν τ' ἐτάμοντο κύπειρον.
κῷχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
αὐτῷ θ' Ἡρακλῆϊ καὶ ἀστεμφεῖ Τελαμῶνι,
οἳ μίαν ἄμφ' ἕταροι αἰεὶ δαίνυντο τράπεζαν,
χάλκεον ἄγγος ἔχων. τάχα δὲ κράναν ἐνόησεν
ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκη,
κυάνεόν τε χελιδόνιον χλωρόν τ' ἀδίαντον
καὶ θάλλοντα σέλινα καὶ εἰλιτενὴς ἄγρωστις.
ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνείκα καὶ Μαλὶς ἔαρ θ' ὁρόωσα Νύχεια.
ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσόν
βάψαι ἐπειγόμενος, ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν·
πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἐξεσόβησεν
Ἀργείῳ ἐπὶ παιδί. κατήριπε δ' ἐς μέλαν ὕδωρ
ἀθρόος, ὡς ὅτε πυρσὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστήρ
ἀθρόος ἐν πόντῳ, ναύταις δέ τις εἶπεν ἑταίροις
„κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος."
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρον ἔχοισαι
δακρυόεντ' ἀγανοῖσι παρέψηχον μελέεσσιν.
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδί
ᾤχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα
καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
τρὶς μὲν Ὕλαν ἄϋσεν, ὅσον βαθὺς ἤρυγε λαιμός·
τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν, ἀραιὰ δ' ἵκετο φωνά

*ἐξ ὕδατος, παρεὼν δὲ μάλα σχεδὸν εἴδετο πόῤῥω.*
*ὡς δ᾽ ὁπότ᾽ ἠϋγένειος ἀπόπροθι λῖς ἐσακούσας*
*νεβροῦ φθεγξαμένας τις ἐν οὔρεσιν, ὠμοφάγος λῖς*
*ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα,*
*Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις*
*παῖδα ποθῶν δεδόνητο, πολὺν δ᾽ ἐπελάμβανε χῶρον.*
*σχέτλιοι οἱ φιλέοντες, ἀλώμενος ὅσσ᾽ ἐμόγησεν*
*οὔρεα καὶ δρυμούς, τὰ δ᾽ Ἰήσονος ὕστερα πάντ᾽ ἧς.*
*ναῦς μὰν ἅρμεν᾽ ἔχοισα μεταρσία ἅπερ ἰόντων,*
*ἱστία δ᾽ ἡμίθεοι μεσονύκτιον ἔστε καθεῖργον*
*Ἡρακλῆα μένοντες. ὃ δ᾽ ᾇ πόδες ἆγον ἐχώρει*
*μαινόμενος· χαλεπὸς γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.*
*οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀμιθρεῖται·*
*Ἡρακλέα δ᾽ ἥρωες ἐκερτόμεον λιποναύταν,*
*οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ,*
*πεζᾷ δ᾽ εἰς Κόλχους τε καὶ ἄξενον ἵκετο Φᾶσιν.*

---

## Idyll. XIV.

### *Κυνίσκας ἔρως ἢ Θυώνιχος.*

*ΑΙΣΧΙΝΗΣ.*

*Χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον.*

*ΘΥΩΝΙΧΟΣ.*

*Ἄλλα τοιαῦτα Αἰσχίνᾳ.*

*ΑΙΣΧΙΝΗΣ.*

*Ὡς χρόνιος.*

*ΘΥΩΝΙΧΟΣ.*

*Χρόνιος; τί δέ τοι τὸ μέλημα;*

ΑΙΣΧΙΝΗΣ.

*Πράσσομες οὐχ ὡς λῷστα Θυώνιχε.*

ΘΥΩΝΙΧΟΣ.

*Ταῦτ' ἄρα λεπτός,*
*χὠ μύσταξ πολὺς οὗτος, ἄμ' αὐαλέοι δὲ κίκιννοι.*
*τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορικτάς,*
*ὠχρὸς κἀνυπόδητος· Ἀθηναῖος δ' ἔφατ' εἶμεν.*
*ἤρατο μὰν καὶ τῆνος, ἐμὶν δοκεῖ, ὀπτῶ ἀλεύρω.*

ΑΙΣΧΙΝΗΣ.

*Παίσδεις ὠγάθ' ἔχων· ἐμὲ δ' ἁ χαρίεσσα Κυνίσκα*
*ὑβρίσδει· λασῶ δὲ μανεὶς ποκα, θρὶξ ἀνὰ μέσσον.*

ΘΥΩΝΙΧΟΣ.

*τοιοῦτος μὲν ἀεὶ τὺ φίλ' Αἰσχίνα, ἁσυχᾷ ὀξύς,*
*πάντ' ἐθέλων κατ' ἄκαιρον· ὅμως δ' εἶπον, τί τὸ καινόν;*

ΑΙΣΧΙΝΗΣ.

*ὁ Ἀργεῖος κἠγὼν καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας*
*Ἆπις καὶ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας*
*ἐν χώρῳ παρ' ἐμίν. δύο μὲν κατέκοψα νεοσσώς*
*θηλάζοντά τε χοῖρον, ἀνῷξα δὲ βίβλινον αὐτοῖς*
*εὐώδη τετόρων ἐτέων. σχεδὸν ὡς ἀπὸ λανῶ*
*βοῦβός τις κοχλίας ἐξαιρέθη. ἧς πότος ἁδύς.*
*ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον*
*ὦτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὦτινος εἰπεῖν.*
*ἁμὲς μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο·*
*ἃ δ' οὐδὲν παρεόντος ἐμεῦ. τίν' ἔχειν με δοκεῖς νῶν;*
*„οὐ φθεγξῇ; λύκος εἶδέ σ';“ ἔπαιξέ τις. „ὡς σοφός“ εἶπε,*
*κἤφαπτ'· εὐμαρέως κεν ἀπ' αὐτᾶς καὶ λύχνον ἅψας.*
*ἔστι Λύκος, Λύκος ἐστί, Λάβα τῶ γείτονος υἱός,*
*εὐμάκης ἁπαλός, πολλοῖς δοκέων καλὸς εἶμεν.*

τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα.
χἀμὶν τοῦτο δι' ὠτὸς ἔγεντό ποθ' ἁσυχᾷ οὕτως·
οὐ μὰν ἐξήταξα μάταν εἰς ἄνδρα γενειῶν.
ἤδη δ' ὦν πόσιος τοὶ τέσσαρες ἐν βάθει ἦμες,
χὠ Λαρισαῖος τὸν ἑὸν λύκον ᾆδεν ἀπ' ἀρχᾶς,
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
ἔκλαεν ἐξαπίνας θαλερώτερον ἢ παρὰ ματρί
παρθένος ἑξαέτης κόλπω ἐπιθυμήσασα.
τᾶμος ἐγών, τὸν ἴσᾳς τὺ Θυώνιχε, πὺξ ἐπὶ κόρρας
ἤλασα, κἄλλαν αὖθις. ἀνειρύσσασα δὲ πέπλως
ἔξω ἀπῴχετο θᾶσσον, „ἐμὸν κακόν, οὔ τοι ἀρέσκω·
ἄλλος τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἰοῖσα
θάλπε φίλον. τηνῶ τεὰ δάκρυσι μᾶλα ῥέοντι."
μάστακα δοῖσα τέκνοισιν ὑπωροφίοισι χελιδών
ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν·
ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
εὐθὺ δι' ἀμφιθύρω καὶ δικλίδος, ᾇ πόδες ἆγον.
αἶνός θην λέγεται τὸ βεβάκει ταῦρος ἀν' ὕλαν.
εἴκατι· ταὶ δ' ὀκτώ, ταὶ δ' ἐννέα, ταὶ δὲ δέκ' ἄλλαι,
σάμερον ἑνδεκάτα· ποτιδεῖ δύο, καὶ δύο μῆνας,
ἐξ ὧ ἀπ' ἀλλάλων, οὐδ' εἰ Θρᾳκιστὶ κέκαρμαι.
οἶδα· Λύκος νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται·
ἁμὲς δ' οὔτε λόγω τινὸς ἄξιοι οὔτ' ἀριθμητοί,
δύστηνοι Μεγαρῆες ἀτιμοτάτῃ ἐνὶ μοίρῃ.
κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι.
νῦν δὲ πόθεν; μῦς, φαντὶ Θυώνιχε, γεύμεθα πίσσας.
χὤτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
οὐκ οἶδα. πλὰν Σῖμος ὁ τᾶς ὑποχάλκω ἐρασθείς
ἐκπλεύσας ὑγιὴς πάλιν ἦνθ', ἐμὸς ἁλικιώτας.
βασεῦμαι κἠγὼν διαπόντιος, οὔτε κάκιστος
οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ἀσπιδιώτας.

### ΘΥΩΝΙΧΟΣ.

Ὤφελε μὰν χωρεῖν κατὰ νῶν τεόν, ὧν ἐπεθύμεις
Αἰσχίνα. εἰ δ᾽ οὕτῶς ἄρα τοι δοκεῖ ὥστ᾽ ἀποδαμεῖν,
μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος,
εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς,
εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ᾽ ἔτι μᾶλλον,
πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων
οἷα χρὴ βασιλέα· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντί
Αἰσχίνα. ὥστ᾽ εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
λῶπος ἄκρον περονᾶσθαι, ἐπ᾽ ἀμφοτέροις δὲ βεβακώς
τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
ᾇ τάχος εἰς Αἴγυπτον. ἀπὸ κροτάφων πελόμεσθα
πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
λευκαίνων ὁ χρόνος· ποιεῖν τι δεῖ, ἇς γόνυ χλωρόν.

---

## Idyll. XV.

### Συρακούσιαι ἢ Ἀδωνιάζουσαι.

### ΓΟΡΓΩ.

Ἔνδοι Πραξινόα;

### ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ φίλα, ὡς χρόνῳ. ἔνδοι.
θαῦμ᾽ ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον Εὐνόα. αὐτεῖ.
ἔμβαλε καὶ ποτίκρανον.

### ΓΟΡΓΩ.

Ἔχει κάλλιστα.

---

Α. τἆλλα δ᾽ ἀνὴρ ποῖός τις; Θ. ἐλευθέρῳ οἷος ἄριστος,

ΠΡΑΞΙΝΟΑ.

Καθίζευ.

ΓΟΡΓΩ.

Ὢ τᾶς ἀλεμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθη
Πραξινόα. πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δὲ μασσοτέρω ἔμ' ἀπῴκεις.

ΠΡΑΞΙΝΟΑ.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθών
εἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
ἀλλάλαις, ποτ' ἔριν, φθονερὸν κακόν, αἰὲν ὁμοῖος.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα φίλα Δίνωνα τοιαῦτα
τῶ μικκῶ παρεόντος· ὅρη γύναι, ὡς ποθορῇ τυ.
θάρσει Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγει ἀπφῦν.

ΠΡΑΞΙΝΟΑ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν. καλὸς ἀπφῦς.—
κῆπφος μὰν τῆνος τὰ πρόαν — λέγομες δὲ πρόαν θην
βάντα νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδειν —
ἦνθε φέρων ἅλας ἄμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.

ΓΟΡΓΩ.

Χὤμὸς ταὐτᾷ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
πέντε πόκως ἔλαβ' ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ.
ἀλλ' ἴθι τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω
θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
κοσμεῖν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΑ.

'Εν ὀλβίῳ ὄλβια πάντα.
ἠνίδ' ἐγών. εἴπαις κεν ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

ΓΟΡΓΩ.

Ἕρπειν ὥρα κ' εἴη.

ΠΡΑΞΙΝΟΑ.

'Αεργοῖς αἰὲν ἑορτά.

Εὐνόα, αἶρε τὸ βᾶμα καὶ ἐς μέσον ἀνιόδρυπτε
θές. πάλιν αἱ γαλέαι μαλακῶς χρήζοντι καθεύδειν.
κινεῦ δή, φέρε θᾶσσον ὕδωρ. ὕδατος πρότερον δεῖ.
ἃ δὲ σμᾶμα φέρει. δὸς ὅμως. σμῆ δή ποκ'. ἄπληστε,
ἔγχει ὕδωρ. δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
παύε', ὅχ' οἷα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
ἁ κλὰξ τᾶς μεγάλας πεῖ λάρνακος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
τοῦτο πρέπει· λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΑ.

Μὴ μνάσῃς Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν προτέθεικα.

ΓΟΡΓΩ.

'Αλλὰ κατὰ γνώμαν ἀπέβα τοι τοῦτο.

ΠΡΑΞΙΝΟΑ.

Κάλ' εἶπας.
τὦμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
ἀμφίθες. οὐκ ἀξῶ τυ τέκνον. μορμὼ δάκνει· ἵππος —
δάκρυ', ὅσσα θέλεις, χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον. —
ὦ θεοί, ὅσσος ὄχλος. πῶς καί ποκα τοῦτο περᾶσαι

χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
πολλά τοι ὦ Πτολεμαῖε πεποίηται καλὰ ἔργα,
ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργός
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί,
οἷα πρὶν ἐξαπάτας κεκροτημένοι ἄνδρες ἔπαισδον,
ἀλλάλοις ὁμαλοί, κακὰ παίγνια πάντ᾽ ἐς ἀρείω.
ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πολεμισταί
ἵπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
ὀρθὸς ἀνέστα ὁ πυρρός· ἴδ᾽ ὡς ἄγριος. κυνοθαρσής
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδοι.

ΓΟΡΓΩ.

Θάρσει Πραξινόα· καὶ δὴ γεγενήμεθ᾽ ὄπισθεν,
τοὶ δ᾽ ἔβαν εἰς χώραν.

ΠΡΑΞΙΝΟΑ.

Καὐτὰ συναγείρομαι ἤδη.
ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω
ἐκ παιδός. σπεύδωμες· ὄχλος πολὺς ἀμὶν ἐπιρρεῖ.

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγὼν ὦ τέκνα.

ΓΟΡΓΩ.

Παρενθεῖν
εὐμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί,
κάλλισται παίδων· πείρᾳ θην πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΑ.

*Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην.*

ΓΟΡΓΩ.

*Θᾶσαι Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος*
*θεσπέσιος.*

ΠΡΑΞΙΝΟΑ.

*Γοργοῖ, δὸς τὰν χέρα μοι· λάβε καὶ τύ*
*Εὐνόα Εὐτυχίδος· πότεχ' αὐτᾷ, μή τι πλαναθῇς.*
*πᾶσαι ἅμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ Εὐνόα ἁμῶν.*
*οἴμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη*
*ἔσχισται Γοργοῖ. πὸτ τῶ Διός, εἴ τι γένοιο*
*εὐδαίμων ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.*

ΞΕΝΟΣ.

*Οὐκ ἐπ' ἐμὶν μέν, ὅμως δὲ φυλάξομαι.*

ΠΡΑΞΙΝΟΑ.

*Ὄχλος ἀθαρέως*
*ὠθεῦνθ' ὥσπερ ὕες.*

ΞΕΝΟΣ.

*Θάρσει γύναι· ἐν καλῷ εἰμές.*

ΠΡΑΞΙΝΟΑ.

*Κεἰς ὥρας κἤπειτα φίλ' ἀνδρῶν ἐν καλῷ εἴης*
*ἁμὲ περιστέλλων. χρηστῶ κοἰκτίρμονος ἀνδρός.*
*φλίβεται Εὐνόα ἅμιν· ἄγ' ὦ δειλὰ τὺ βιάζευ.*
*κάλλιστ'· ἔνδοι πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.*

ΓΟΡΓΩ.

*Πραξινόα, πόταγ' ὧδε. τὰ ποικίλα πρᾶτον ἄθρησον,*
*λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.*

ΠΡΑΞΙΝΟΑ.

*Πότνι' Ἀθαναία· ποῖαί σφ' ἐπόνασαν ἔριθοι,*

ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν.
ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
ἔμψυχ', οὐκ ἐνυφαντά. σοφόν τοι χρῆμ' ὤνθρωπος.
αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέας κατάκειται
κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
ὁ τριφίλητος Ἄδων, ὃς κἠν Ἀχέροντι φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ' ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
τρυγόνες· ἐκ νασσᾶν τε πλατειάσδοισαι ἅπαντα.

ΠΡΑΞΙΝΟΑ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
πασάμενος ποτίτασσε. Συρακοσίαις ἐπιτάσσεις,
ὡς εἰδῇς καὶ τοῦτο· Κορίνθιαι εἰμὲς ἄνωθεν,
ὧ καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
δωρίσδεν δ' ἔξεστι δοκῶ τοῖς Δωριέεσσι.
μὴ φύη Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
πλὰν ἑνός. οὐκ ἀλέγω. μή μοι κενεὰν ἀπομάξῃς.

ΓΟΡΓΩ.

Σιγᾷ Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
ἁ τᾶς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδός,
ἅτις καὶ πέρυτιν τὸν ἰάλεμον ἀρίστευσε.
φθεγξεῖταί τι σάφ' οἶδα καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

α' Δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλησας,
αἰπεινόν τ' Ἔρυκ' ἂν Χρυσῷ παίζοισ' Ἀφροδίτα·
οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
μηνὶ δυωδεκάτῳ μαλακαὶ πόδας ἄγαγον Ὧραι.
βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι.
α' Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,

ὤνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ Ἑλένῃ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.

β′ Πὰρ μέν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα.
εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνω πονέονται,
ἄνθεα μίσγοισαι λευκῷ παντοῖα μαλεύρῳ,
ὅσσά τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
πάντ' αὐτῷ πετεεινὰ καὶ ἑρπετὰ τεῖδε πάρεστι.

γ′ Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοντες ἀνήθῳ
δέδμανθ'· οἱ δ' ἔτι κῶροι ὑπερπωτῶνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἀεξομενᾶν ἐπὶ δένδρει
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.

β′ Ὢ ἔβενος, ὢ χρυσός, ὢ ἐκ λευκῶ ἐλέφαντος
αἰετοὶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες,
πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω.
ἁ Μιλατὶς ἐρεῖ χὠ τὰν Σαμίαν καταβόσκων·
„ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἁμά.“
τὰν μὰν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις.
οὐ κεντεῖ τὸ φίλημ', ἔτι οἱ περὶ χείλεα πυρρά.

δ′ Νῦν μὰν Κύπρις ἔχοισα τὸν αὑτᾶς χαιρέτω ἄνδρα·
ἀῶθεν δ' ἁμές νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα,
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς·

γ′ „Ἕρπεις ὦ φίλ' Ἄδωνι καὶ ἐνθάδε κεἰς Ἀχέροντα

---

ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός 129

τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμ
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκα
δ' Οὐ Πατροκλῆς, οὐ Πύρρος ἀπὸ Τροίας
οὔθ' οἱ ἔτι πρότερον Λαπίθαι καὶ Δευ
οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Π
ἵλαθι νῦν φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' ε
καὶ νῦν ἦνθες Ἄδωνι, καὶ ὅκκ' ἀφίκη

ΓΟΡΓΩ.

Πραξινόα, τὶ χρῆμα σοφώτερον ἁ θήλ
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκυ
ὥρα ὅμως κεἰς οἶκον. ἀνάριστος Διοκ
χὠνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ π
χαῖρ' ὦ Ἄδων ἀγαπητέ· καὶ ἐς χαίρο

---

## Idyll. XVI.

### Χάριτες ἢ Ἱέρων

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν
ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κ
Μοῦσαι μὲν θεαὶ ἐντί, θεοὺς θεαὶ ἀε
ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ
τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν
ἡμετέρας Χάριτας πετάσας ὑποδέξεται
ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀπο
αἳ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ'
πολλά με τωθάζοισαι, ὅτ' ἀλιθίαν ὁδὸ
ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χη

ας ἢ βαρὺς Αἴας
Φρυγὸς ἠρίον Ἴλου.
ῳ δύνοντι
ρυρὸν ἐρρίγαντι.
οι μέσα δοῦρα
νας ἰτεῖνοισιν·
οις ἴσος ἡρώεσσι
ν σκιάουσιν ἔθειραι.
καὶ πότνι' Ἀθάνα
λυκλήρων Ἐφυραίων
δασι Λυσιμελείας,
έμψειεν ἀνάγκα
ίλων μόρον ἀγγέλλοντα
ιθμητοὺς ἀπὸ πολλῶν·
ναίοιτο πολίταις,
βήσαντο κατάκρας·
λότας· αἱ δ' ἀνάριθμοι
απιανθεῖσαι
ς δ' ἀγελαδὸν ἐς αὖλιν
πεύδοιεν ὁδίταν·
σπόρον, ἁνίκα τέττιξ
γμένος ὑψόθι δένδρων
άχνια δ' εἰς ὅπλ' ἀράχνα
δ' ἔτι μηδ' ὄνομ' εἴη·
ορέοιεν ἀοιδαί
αν καὶ ὅθι πλατὺ τεῖχος
ις ἐμβασίλευεν.
Διὸς φιλέοντι καὶ ἄλλους
ι Σικελὴν Ἀρέθουσαν
χμητὰν Ἱέρωνα.
, ὦ Μινύειον
θόμενόν ποτε Θήβαις,

ἡμιθέων, ὡς φαντί, μονώτατος. οὔτ' Ἀγαμέμνων
τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
δ' Οὐ Πατροκλῆς, οὐ Πύρρος ἀπὸ Τροίας πάλιν ἐνθών,
οὔθ' οἱ ἔτι πρότερον Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγῶ.
ἵλαθι νῦν φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
καὶ νῦν ἦνθες Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, φίλος ἡξεῖς."

ΓΟΡΓΩ.

Πραξινόα, τὶ χρῆμα σοφώτερον ἁ θήλεια.
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκυφωνεῖ.
ὥρα ὅμως κεἰς οἶκον. ἀνάριστος Διοκλείδας.
χὠνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
χαῖρ' ὦ Ἄδων ἀγαπητέ· καὶ ἐς χαίροντας ἀφίκευ.

---

## Idyll. XVI.

### Χάριτες ἢ Ἱέρων.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μοῦσαι μὲν θεαὶ ἐντί, θεοὺς θεαὶ ἀείδοντι·
ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.
τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἠῶ,
ἡμετέρας Χάριτας πετάσας ὑποδέξεται οἴκῳ
ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπέμψει;
αἳ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
πολλά με τωθάζοισαι, ὅτ' ἀλιθίαν ὁδὸν ἦνθον,
ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χηλοῦ

ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,
ἔνθ' αἰεὶ σφισιν ἕδραι, ἐπὴν ἄπρηκτοι ἵκωνται.
τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλήσει;
οὐκ οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργμασιν ὡς πάρος ἐσθλοῖς
αἰνεῖσθαι σπεύδοντι, νενίκηνται δ' ὑπὸ κερδέων.
πᾶς δ' ὑπὸ κόλπῳ χεῖρας ἔχων πόθεν οἴσεται ἀθρεῖ
ἄργυρον, οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη,
ἀλλ' εὐθὺς μυθεῖται· „ἀπωτέρω ἢ γόνυ κνάμα·
αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος.
οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν."
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσός
κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις,
ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δέ πού τινι δοῦναι ἀοίκων,
πολλοὺς δ' εὖ ἔρξαι πηῶν, πολλοὺς δὲ καὶ ἄλλων
ἀνθρώπων, αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν,
μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
μειλίξαντ' ἀποπέμψαι, ἐπὴν ἐθέλωντι νέεσθαι,
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας,
ὄφρα καὶ εἰν Ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς,
μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Ἀχέροντος,
ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας
ἀχὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται·
πολλοὶ δὲ Σκοπάδῃσιν ἐλαυνόμενοι ποτὶ σακούς
μόσχοι σὺν κεραῇσιν ἐμυκήσαντο βόεσσι,
μυρία δ' ἂμ πεδίον Κραννώνιον ἐνδιάασκον
ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῖο γέροντος,

ἄμναστοι δὲ τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες
δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήιος αἰόλα φωνεῖν
βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστούς
ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦλθον ἀγώνων.
τίς δ' ἂν ἀριστῆας Λυκίων ποτέ, τίς κομάοντας
Πριαμίδας ἢ θῆλυν ἀπὸ χροιῆς Κύκνον ἔγνω,
εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
οὐδ' Ὀδυσεὺς ἑκατόν τε καὶ εἴκοσι μῆνας ἀλαθείς
πάντας ἐπ' ἀνθρώπους, Ἀΐδαν τ' εἰς ἔσχατον ἐλθών
ζωός, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
δηναιὸν κλέος ἔσχεν, ἐσιγάθη δ' ἂν ὑφορβός
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτης,
εἰ μή σφεας ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι,
χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.
ἀλλ' ἴσος γὰρ ὁ μόχθος ἐπ' ἠόνι κύματα μετρεῖν,
ὅσσ' ἄνεμος χέρσον δὲ μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
ἢ ὕδατι νίζειν θολερὰν διαειδέϊ πλίνθον,
καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρέλκειν·
χαιρέτω ὅστις τοῖος, ἀνήριθμος δέ οἱ εἴη
ἄργυρος, αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν.
αὐτὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
δίζημαι δ', ὅτινι θνατῶν κεχαρισμένος ἔνθω
σὺν Μοίσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδοῖς
κουράων ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·
πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι·
ἔσσεται οὗτος ἀνήρ, ὃς ἐμεῦ κεχρήσετ' ἀοιδοῦ,

ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας ἢ βαρὺς Αἴας
ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
ἤδη νῦν Φοίνικες ὑπ' ἠελίῳ δύνοντι
οἰκεῦντες Λιβύης ἄκρον σφυρὸν ἐρρίγαντι.
ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα
ἀχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν·
ἐν δ' αὐτοῖς Ἱέρων προτέροις ἴσος ἡρώεσσι
ζώννυται, ἵππειαι δὲ κόρυν σκιάουσιν ἔθειραι.
αἲ γὰρ Ζεῦ κύδιστε πάτερ καὶ πότνι' Ἀθάνα
κούρη θ', ἣ σὺν ματρὶ πολυκλήρων Ἐφυραίων
εἴληχας μέγα ἄστυ παρ' ὕδασι Λυσιμελείας,
ἐχθροὺς ἐκ νάσοιο κακὰ πέμψειεν ἀνάγκα
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγέλλοντας
τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθμητοὺς ἀπὸ πολλῶν·
ἄστεα δὲ προτέροισι πάλιν ναίοιτο πολίταις,
δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατάκρας·
ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἱ δ' ἀνάριθμοι
μήλων χιλιάδες βοτάνᾳ διαπιανθεῖσαι
ἂμ πεδίον βληχῷντο, βόες δ' ἀγελαδὸν ἐς αὖλιν
ἐρχόμεναι σκνιφαῖον ἐπισπεύδοιεν ὁδίταν·
νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἁνίκα τέττιξ
ποιμένας ἐνδίους πεφυλαγμένος ὑψόθι δένδρων
ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη·
ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδαὶ
καὶ πόντου Σκυθικοῖο πέραν καὶ ὅθι πλατὺ τεῖχος
ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
εἷς μὲν ἐγώ, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
θυγατέρες, τοῖς πᾶσι μέλοι Σικελὴν Ἀρέθουσαν
ὑμνεῖν, σὺν λαοῖσι καὶ αἰχμητὰν Ἱέρωνα.
ὦ Ἐτεόκλειοι Χάριτες θεαί, ὦ Μινύειον
Ὀρχομενὸν φιλέοισαι ἀπεχθόμενόν ποτε Θήβαις,

ἄκλητος μὲν ἔγωγε μένοιμί κεν, ἐς δὲ καλεύντων
θαρσήσας Μοίσαισι σὺν ἀμετέρῃσιν ἰοίμαν.
καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπητόν
ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.

---

## Idyll. XVII.

### Ἐγκώμιον εἰς Πτολεμαῖον.

Ἐκ Διὸς ἀρχώμεσθα καὶ ἐς Δία λήγετε Μοῖσαι,
ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς·
ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω
καὶ πύματος καὶ μέσσος· ὃ γὰρ προφερέστερος ἀνδρῶν.
ἥρωες, τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο,
ῥέξαντες καλὰ ἔργα σοφῶν ἐκύρησαν ἀοιδῶν·
αὐτὰρ ἐγὼ Πτολεμαῖον ἐπιστάμενος καλὰ εἰπεῖν
ὑμνήσαιμ'· ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐλθὼν
παπταίνει, παρεόντος ἅδην, πόθεν ἄρξεται ἔργου.
τί πρῶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπεῖν,
οἷσι θεοὶ τὸν ἄριστον ἐτίμησαν βασιλήων.
Ἐκ πατέρων οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Λαγείδας Πτολεμαῖος, ὅτε φρεσὶν ἐγκατάθοιτο
βουλάν, ἃν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι.
τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
ἀθανάτοις, καί οἱ χρύσεος θρόνος ἐν Διὸς οἴκῳ
δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδὼς
ἑδριάει, Πέρσῃσι βαρὺς θεὸς αἰολομίτροις.
ἀντία δ' Ἡρακλῆος ἕδρα κενταυροφόνοιο

ἵδρυται στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει Οὐρανίδῃσι,
χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν,
ὅττί σφεων Κρονίδης μελέων ἐξείλετο γῆρας,
ἀθάνατοι δὲ καλεῦνται ἑοὶ νέποδες γεγαῶτες.
ἄμφω γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας,
ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτρην,
τῷ δὲ σιδάρειον σκύταλον κεχαραγμένον ὄζοις.
οἳ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβας
ὅπλα καὶ αὐτὸν ἄγουσι γενειήταν Διὸς υἱόν.
οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
ἔπρεπε θηλυτέρῃσ', ὄφελος μέγα γειναμένοισι.
τᾷ μὲν Κύπρον ἔχοισα Διώνας πότνια κούρα
κόλπον ἐς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας.
τῶ οὔπώ τινα φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναικῶν,
ὅσσόν περ Πτολεμαῖος ἑὴν ἐφίλησεν ἄκοιτιν.
ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον· ὧδέ κε παισί
θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα,
ὁππότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεούσης.
ἀστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰεί,
ῥηίδιοι δὲ γοναί, τέκνα δ' οὐ ποτεοικότα πατρί.
κάλλει ἀριστεύουσα θεάων πότν' Ἀφροδίτα,
σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα
εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν,
ἀλλά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶα κατελθεῖν
κυανέαν καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμάς.
πᾶσιν δ' ἤπιος ἥδε βροτοῖς μαλακοὺς μὲν ἔρωτας
προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.

Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα
μισγομένα Τυδῆι τέκες, Καλυδώνιον ἄνδρα,
ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα
Αἰακίδᾳ Πηλῆι, σὲ δ' αἰχμητὰ Πτολεμαῖε
αἰχμητᾷ Πτολεμαίῳ ἀρίζηλος Βερενίκα.
καί σε Κόως ἀτίταλλε βρέφος νεογιλλὸν ἐόντα,
δεξαμένα παρὰ ματρός, ὅτε πρώταν ἴδες ἀῶ.
ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον
Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν·
ἡ δέ οἱ εὐμενέοισα παρίστατο, κὰδ δ' ἄρα πάντων
νωδυνίην κατέχευε μελῶν· ὁ δὲ πατρὶ ἐοικώς
παῖς ἀγαπητὸς ἔγεντο. Κόως δ' ὀλόλυξεν ἰδοῖσα,
φᾶ δὲ καθαπτομένα βρέφεος χείρεσσι φίλησιν·
„Ὄλβιε κοῦρε γένοιο, τίοις δέ με τόσσον, ὅσαν περ
Δᾶλον ἐτίμησεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
ἐν δὲ μιᾷ τιμῇ Τρίοπον κατθεῖο κολώναν,
[ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,]
ἶσον καὶ Ῥήναιαν ἄναξ ἐφίλησεν Ἀπόλλων."
Ὣς ἄρα νᾶσος ἔειπεν· ὁ δ' ὑψόθεν ἔκλαγε φωνᾷ
ἐς τρὶς ὑπὸ νεφέων μέγας αἰετὸς αἴσιος ὄρνις.
Ζηνός που τόδε σᾶμα. Διὶ Κρονίωνι μέλοντι
αἰδοῖοι βασιλῆες· ὁ δ' ἔξοχος, ὅν κε φιλήσῃ
γεινόμενον τὰ πρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπηδεῖ,
πολλᾶς δὲ κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.
μυρίαι ἄπειροί τε καὶ ἔθνεα μυρία φωτῶν
λήϊον ἀλδήσκουσιν ὀφελλόμεναι Διὸς ὄμβρῳ·
ἀλλ' οὔτις τόσα φύει ὅσα χθαμαλὰ Αἴγυπτος,
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει.
οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.
τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐννεάδες τρεῖς·

τῶν πάντων Πτολεμαῖος ἀγήνωρ ἐμβασιλεύει.
καὶ μὴν Φοινίκας ἀποτέμνεται Ἀρραβίας τε
καὶ Συρίας Λιβύας τε κελαινῶν τ' Αἰθιοπήων.
Παμφύλοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
σαμαίνει, Λυκίοις τε φιλοπτολέμοισί τε Καρσί,
καὶ νάσοις Κυκλάδεσσιν, ἐπεί οἱ νᾶες ἄρισται
πόντον ἐπιπλώοντι, θάλασσα δὲ πᾶσα καὶ αἶα
καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ.
πολλοὶ δ' ἱππῆες, πολλοὶ δέ μιν ἀσπιδιῶται
χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀμφαγέρονται.
ὄλβῳ μὲν πάντας κε καταβρίθοι βασιλῆας·
τόσσον ἐπ' ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
πάντοθε. λαοὶ δ' ἔργα περιστέλλουσιν ἕκηλοι.
οὐ γάρ τις δηίων πολυκήτεα Νεῖλον ὑπερβάς
πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις,
οὐδέ τις αἰγιαλὸν δὲ θοᾶς ἐξάλατο ναός
θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσι·
τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι
ξανθοκόμας Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν.
ᾧ ἔτι πάγχυ μέλει πατρώια πάντα φυλάσσειν
οἷ' ἀγαθῷ βασιλῆι, τὰ δὲ κτεατίζεται αὐτός.
οὐ μὰν ἀχρεῖός γε δόμῳ ἔνι πίονι χρυσός
μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
αἰὲν ἀπαρχομένοιο σὺν ἄλλοισιν γεράεσσι,
πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
οὐδὲ Διωνύσου τις ἀνὴρ ἱεροὺς κατ' ἀγῶνας
ἵκετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδάν,
ᾧ οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
ἀντ' εὐεργεσίης. τί δὲ κάλλιον ἀνδρί κεν εἴη

ὀλβίῳ ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μυρία τῆνα,
ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες
ἄορι, γᾷ κέκρυπται, ὅθεν πάλιν οὐκέτι νόστος.
μοῦνος ὅδε προτέρων τε καὶ ὧν ἔτι θερμὰ κονίη
στειβομένα καθύπερθε ποδῶν ἐκμάσσεται ἴχνη,
ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο ναούς·
ἐν δ' αὐτοὺς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
ἵδρυται πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς.
πολλὰ δὲ πιανθέντα βοῶν ὅγε μηρία καίει
μησὶ περιπλομένοισιν ἐρευθομένων ἐπὶ βωμῶν,
αὐτός τ' ἰφθίμα τ' ἄλοχος, τᾶς οὔτις ἀρείων
νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ,
ἐκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε.
ὧδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
οὓς τέκετο κρείουσα Ῥέα βασιλῆας Ὀλύμπου·
ἄγνον δὲ στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρῃ
χεῖρας φοιβήσασα μύροις ἔτι παρθένος Ἶρις.
χαῖρε ἄναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
μνάσομαι ἡμιθέων, δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
φθέγξομαι ἐσσομένοις· ἀρετήν γέ μεν ἐκ Διὸς αἰτέω.

---

## Idyll. XVIII.

### Ἑλένης Ἐπιθαλάμιος.

Ἔν ποκ' ἄρα Σπάρτᾳ ξανθότριχι πὰρ Μενελάῳ
παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι
πρόσθεν ἐϋγράπτω θαλάμω χορὸν ἐστάσαντο,
δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,

ἁνίκα Τυνδαριδᾶν κάσιν ἄγετο τὰν ἀγαπατάν
μναστεύσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱῶν.
ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
ποσσί περ εἰλικτοῖς, ὑπὸ δ' ἴαχε δῶμ' ὑμεναίῳ.

(Ὑμέναιος.)

α' Οὕτω δὴ πρωιζὲ κατέδραθες ὦ φίλε γαμβρέ;
ἦρά τις ἐσσὶ λίαν βαρυγώνατος, ἦρα φίλυπνος·
ἦρα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κατεβάλλευ.
εὕδειν μὰν σπεύδοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ,
παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρί
παίσδειν ἐς βαθὺν ὄρθρον, ἐπεὶ καὶ ἔνας καὶ ἐς ἀῶ
κεἰς ἔτος ἐξ ἔτεος Μενέλα τεὰ ἁ νυὸς ἅδε.

β' Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπτα σπερχομένῳ τοι
ἐς Σπάρταν, ἅπερ ὧλλοι ἀριστέες, ὡς ἀνύσαιο.
μοῦνος ἐν ἡμιθέοις Κρονίδαν Δία πενθερὸν ἑξεῖς.

α' Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ἵκετο χλαῖναν,
οἵα Ἀχαιίδα νῦν γαῖαν πατεῖ οὐδὲ μί' ἄλλα·
ἦ μέγα κά τι τέκοιτ', εἰ ματέρι τίκτοι ὁμοῖον.
ἄμμες δ' αἱ πᾶσαι συνομάλικες, αἷς δρόμος ωὑτός
χρισαμέναις ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς,
τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία,
τᾶν οὐ Δᾶν τις ἄμωμος, ἐπεί χ' Ἑλένᾳ παρισωθῇ.

γ' Ἀὼς ἀντέλλοισα καλὸν διέφανε πρόσωπον,
πότνια νυκτὶ σελάνα, ἔαρ χειμῶνος ἀνέντος·
ὧδε καὶ ἁ χρυσέα Ἑλένα διαφαίνετ' ἐν ἁμίν.
πιείρᾳ μέγα λᾷον ἀνέδραμε κόσμος ἀρούρᾳ
ἢ κάπῳ κυπάρισσος ἢ ἅρματι Θεσσαλὶς ἵππος·
ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.

γ' Οὔτέ τις ἐκ ταλάρω πανίσδεται ἔργα τοιαῦτα,
οὔτ' ἐπὶ δαιδαλέῳ πυκινώτερον ἄτριον ἱστῷ

κερκίδι συμπλέξασα μακρῶν ἔταμ' ἐκ κελεόντων·
οὐ μὰν οὐδὲ κρόκαν τις ἐπίσταται ὧδε κροτῆσαι
Ἄρτεμιν ἀείδοισα καὶ εὐρεσίεργον Ἀθάναν,
ὡς Ἑλένα, τᾶς πάντες ἐπ' ὄμμασιν ἵμεροι ἐντί.

γ′ Ὦ καλὰ ὦ χαρίεσσα κόρα, τὺ μὲν οἰκέτις ἤδη,
ἄμμες δ' ἐς δρόμον ἦρι καὶ . . . . . . . .
. . . . . . . . . . . . . . . καὶ λειμώνια φύλλα
ἐρψοῦμες στεφάνως δρεψούμεναι ἁδὺ πνέοντας,
πολλὰ τεοῦς Ἑλένα μεμναμέναι ὡς γαλαθηναί
ἄρνες γειναμένας ὄϊος μαστὸν ποθέοισαι.

γ′ Πρᾶταί τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
πλέξασαι σκιερὰν καταθήσομες ἐς πλατάνιστον,
πρᾶται δ' ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
λαζύμεναι σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον·
γράμματα δ' ἐν φλοιῷ γεγράψεται, ὡς παριών τις
ἀννείμῃ· δ ώ ρ ο ι ς τ ι σ έ β ο υ μ', Ἑ λ έ ν α ς φ υ τ ὸ ν
ε ἰ μ ί.

δ′ Χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.
Λατὼ μὲν δοίη, Λατὼ κουροτρόφος ὔμμιν
εὐτεκνίαν, Κύπρις δέ, θεὰ Κύπρις ἶσον ἔρασθαι
ἀλλάλων, Ζεὺς δέ, Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον
ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἐνθεῖν.

δ′ Εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότατα πνέοντες
καὶ πόθον, ἔγρεσθαι δὲ πρὸς ἀῶ μὴπιλάθησθε.
νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδός
ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειράν.
Ὑμὴν ὦ Ὑμέναιε, γάμῳ ἔπι τῷδε χαρείης.

# Idyll. XIX. (XXIV.)*

## Ἡρακλίσκος.

Ἡρακλέα δεκάμηνον ἐόντα τόχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
ἀμφοτέρους λούσασα καὶ ἐμπλήσασα γάλακτος,
χαλκείαν κατέθηκεν ἐς ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.
ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων·
„εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον,
εὕδετ' ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα·
ὄλβιοι εὐνάζοισθε καὶ ὄλβιοι ἀῶ ἵδοιτε.“
ὣς φαμένα δίνασε σάκος μέγα· τοὺς δ' ἔλαβ' ὕπνος.
ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κάτ' αὐτόν, ὃ δ' ἀμφαίνει μέγαν ὦμον,
τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
ὦρσεν ἐπὶ πλατὺν οὐδόν, ὅθι σταθμὰ κοῖλα θυράων
οἴκου, ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
τὼ δ' ἐξειληθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.
ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
καὶ τότ' ἄρ' ἐξέγροντο, Διὸς νοέοντος ἅπαντα,
Ἀλκμήνας φίλα τέκνα, φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
ἤτοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
κοίλου ὑπὲρ σάκεος καὶ ἀναιδέας εἶδεν ὀδόντας,
Ἰφικλέης, οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
φευγέμεν ὁρμαίνων· ὃ δ' ἐναντίος εἴχετο χερσὶν
Ἡρακλέης, ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
δραξάμενος φάρυγος, τόθι φάρμακα λυγρὰ κέκρυπται

οὐλομένοις ὀφίεσσιν, ἃ καὶ θεοὶ ἐχθαίροντι.
τὼ δ' αὖτε σπείρῃσιν ἑλισσέσθην περὶ παῖδα
ὀψίγονον γαλαθηνόν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν·
ἂψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
δεσμοῦ ἀναγκαίου πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς καὶ ἐπέκραγε πράτα·
„ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
ἄνστα, μηδὲ πόδεσσιν ἑοῖς ὑπὸ σάνδαλα θείης.
οὐκ αἴεις, παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;
ἢ οὐ νοέεις, ὅτι νυκτὸς ἀωρί που, οἱ δέ τε τοῖχοι
πάντες ἀριφραδέες καθαρᾶς ἅπερ ἠριγενείας;
ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι φίλ' ἀνδρῶν.“
Ὣς φάθ'. ὃ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
δαιδάλεον δ' ὥρμασε μετὰ ξίφος, ὅ οἱ ὕπερθεν
κλιντῆρος κεδρίνω περὶ πασσάλῳ αἰὲν ἄωρτο.
ἤτοι ὅγ' ὠριγνᾶτο νεοκλώστου τελαμῶνος,
κουφίζων ἑτέρᾳ κολεόν, μεγαλώνυμον ἔργον.
ἀμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνας·
δμῶας δὴ τότ' ἄϋσεν ὕπνον βαρὺν ἐκφυσῶντας·
„οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες,
δμῶες ἐμοί, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας.“

(Desunt complura.)

„ἄνστατε δμῶες ταλασίφρονες. αὐτὸς ἀϋτεῖ.“
Ἦ ῥα γυνὰ Φοίνισσα μύλαις ἔπι κοῖτον ἔχοισα.
οἳ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
ἤτοι ἄρ' ὡς εἶδοντ' ἐπιτίτθιον Ἡρακλῆα
θῆρε δύω χείρεσσιν ἀπρὶξ ἁπαλαῖσιν ἔχοντα,
συμπλήγδην ἰάχησαν· ὃ δ' ἐς πατέρ' Ἀμφιτρύωνα
ἑρπετὰ δεικανάασκεν, ἐπάλλετο δ' ὑψόθι χαίρων

*κωροσύνᾳ, γελάσας δὲ πάρος κατέθηκε ποδοῖιν*
*πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.*
*Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον*
*ξηρὸν ὑπαὶ δείους ἀκρόχλουν Ἰφικλῆα·*
*Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν*
*παῖδα, πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.*
*ὄρνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·*
*Τειρεσίαν τόκα μάντιν ἀλαθέα πάντα λέγοντα*
*Ἀλκμήνα καλέσασα τέρας κατέλεξε νεοχμόν,*
*καί νιν ὑποκρίνεσθαι, ὅπως τελέεσθαι ἔμελλεν,*
*ἠνώγει. „μηδ' εἴ τι θεοὶ νοέοντι πονηρόν,*
*αἰδόμενος σύ με κρύπτε· καὶ ὣς οὐκ ἔστιν ἀλύξαι*
*ἀνθρώποις, ὅτι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει.*
*ἀλλ' Εὐηρείδα, μάλα τί φρονέοντα διδάσκω;"*
*Τόσσ' ἔλεγεν βασίλεια· ὃ δ' ἀνταμείβετο τοίοις·*
*„θάρσει ἀριστοτόκεια γύναι, Περσήϊον αἷμα.*
*θάρσει· μελλόντων δὲ τὸ λώϊον ἐν φρεσὶ θέσθαι.*
*ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσ-*
*σων,*
*πολλαὶ Ἀχαιιάδων μαλακὸν περὶ γούνατι νῆμα*
*χειρὶ κατατρίψοντι ἀκρέσπερον ἀείδοισαι*
*Ἀλκμήναν ὀνομαστί, σέβας δ' ἔσῃ Ἀργείαισι.*
*τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα*
*ἀμβαίνειν τεὸς υἱός, ἀπὸ στέρνων πλατὺς ἥρως,*
*οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.*
*δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῆν*
*μόχθους, θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ·*
*γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπῶρσαν*
*κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.*
*[ἔσται δὴ τοῦτ' ἆμαρ, ὁπηνίκα νεβρὸν ἐν εὐνᾷ*
*καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.]*
*ἀλλὰ γύναι πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,*

κάγκανα δ᾽ ἀσπαλάθω ξύλ᾽ ἑτοιμάσατ᾽ ἢ παλιούρω
ἢ βάτω ἢ ἀνέμῳ δεδονημένον αὖαν ἄχερδον·
καῖε δὲ τῷδ᾽ ἀγρίῃσιν ἐπὶ σχίζῃσι δράκοντε
νυκτὶ μέσᾳ, ὅκα παῖδα κανῆν τεὸν ἤθελον αὐτοί.
ἦρι δὲ συλλέξαισα κόνιν πυρὸς ἀμφιπόλων τις
ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα
ῥωγάδας ἐς πέτρας ὑπερούριον, ἂψ δὲ νεέσθω
ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
πρᾶτον, ἔπειτα δ᾽ ἅλεσσι μεμιγμένον, ὡς νενόμισται,
θαλλῷ ἐπιρραίνειν ἐστεμμένῳ ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ᾽ ἐπιρρέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον,
δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε."
Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
Τειρεσίας πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ἡρακλέης δ᾽ ὑπὸ ματρὶ νέον φυτὸν ὣς ἐν ἀλωᾷ
ἐτρέφετ᾽ Ἀργείου κεκλημένος Ἀμφιτρύωνος.
γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
υἱὸς Ἀπόλλωνος μελεδωνεὺς ἄγρυπνος ἥρως,
τόξον δ᾽ ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστόν
Εὔρυτος ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσε
πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
ὅσσα δ᾽ ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
ἀλλάλους σφάλλοντι παλαίσμασιν, ὅσσά τε πύκται
δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ᾽ εἰς γαῖαν προπεσόντες
πάμμαχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
πάντ᾽ ἔμαθ᾽ Ἑρμείαο διδασκόμενος παρὰ παιδί
Αὐτολύκῳ Φανοτῆι, τὸν οὐδ᾽ ἂν τηλόθε λεύσσων
θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ᾽ ἐν ἀγῶνι·
τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
ἵππους δ᾽ ἐξελάσασθαι ὑφ᾽ ἅρματι, καὶ περὶ νύσσαν
ἀσφαλέως κάμπτοντα τροχῶ σύριγγα φυλάξαι,

Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδαξεν
αὐτός, ἐπεὶ μάλα πολλὰ θοῶν ἐξ ἤρατ' ἀγώνων
Ἄργει ἐν ἱπποβότῳ κειμήλια, καί οἱ ἀαγεῖς
δίφροι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
δούρατι δὲ προβολαίῳ ὑπ' ἀσπίδι νῶτον ἔχοντα
ἀνδρὸς ὀρέξασθαι ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν,
κοσμῆσαί τε φάλαγγα λόχον τ' ἀναμετρήσασθαι
δυσμενέων ἐπιόντα καὶ ἱππήεσσι κελεῦσαι
Ἄκτωρ Ἱππασίδας δέδαεν, φυγὰς Ἄργεος ἐνθών,
ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεύς
ναῖε παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Ἄκτορι δ' οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστής
ἄλλος ἔην πρὶν γῆρας ἀποτρῖψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ.
εὐνὰ δ' ἧς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρός
δέρμα λεόντειον μάλα οἱ κεχαρισμένον αὐτῷ,
δεῖπνον δὲ κρέα τ' ὀπτὰ καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.

(Desunt reliqua.)

---

## Idyll. XX. (XXII.)*

### Δ ι ό σ κ ο υ ρ ο ι.

Ὑμνέομεν Λήδας τε καὶ αἰγιόχου Διὸς υἱώ,
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν
χεῖρας ἐπιζεύξαντα μέσας βαρέεσσιν ἱμᾶσιν.
ὑμνέομεν καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα

κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφεούς,
ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
ἵππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
νηῶν θ', αἳ δύνοντα κατ' οὐρανοῦ ἢ ἀνιόντα
ἄστρα βιαζόμεναι χαλεποῖς ἔγκυρσαν ἀήταις.
οἳ δέ σφεων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
ἠὲ καὶ ἐκ πρῴρηθεν, ἢ ὅππη θυμὸς ἑκάστου,
ἐς κοίλην ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα
εἰκῇ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
νυκτὸς ἐφερπούσης· παταγεῖ δ' εὐρεῖα θάλασσα,
κοπτομένη πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις.
ἀλλ' ἔμπης ὑμεῖς γε καὶ ἐκ βυθοῦ ἕλκετε νῆας
αὐτοῖσιν ναύτῃσιν ὀϊομένοις θανέεσθαι·
αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὴ δὲ γαλήνη
ἀμ πέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
ἐκ δ' ἄρκτοί τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρή
φάτνη σημαίνουσα τὰ πρὸς πλόον εὔδια πάντα.
ὦ ἄμφω θνητοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
ἱππῆες κιθαρισταί, ἀεθλητῆρες ἀοιδοί·
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
ἀμφοτέρους ὑμνέων Πολυδεύκεα πρῶτον ἀείδω.
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἷς ἀφίκανε θεῶν φίλα τέκνα φέρουσα.
ἔνθα μιῆς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον ἀκτήν
εὐνάς τ' ἐστόρνυντο πυρεῖά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ τ' οἰνωπὸς Πολυδεύκης
ἄμφω ἐρημάζεσκον ἀποπλαγχθέντες ἑταίρων,
παντοίην ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην.

εὗρον δ' ἀέναον κρήνην ὑπὸ λισσάδι πέτρῃ
ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
λάλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
ἐκ βυθοῦ· ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι
λεῦκαί τε πλάτανοί τε καὶ ἀκρόκομοι κυπάρισσοι,
ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἀν λειμῶνας.
ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
δεινὸς ἰδεῖν, σκληρῇσι τεθλασμένος οὔατα πυγμαῖς·
στήθεα δ' ἐσφαίρωτο πελώρια καὶ πλατὺ νῶτον
σαρκὶ σιδηρείῃ σφυρήλατος οἷα κολοσσός.
ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
ἕστασαν ἠΰτε πέτροι ὀλοοίτροχοι, οὕστε κυλίνδων
χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις·
αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ᾐωρεῖτο
ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης.

ΠΟΛΥΔΕΥΚΗΣ.

χαῖρε ξεῖν', ὅτις ἐσσί. τίνες βροτοί, ὧν ὅδε χῶρος;

ΑΜΥΚΟΣ.

χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ, τοὺς μὴ πρὶν ὄπωπα;

ΠΟΛΥΔΕΥΚΗΣ.

θάρσει. μήτ' ἀδίκους μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.

ΑΜΥΚΟΣ.

θαρσέω, κοὐκ ἐκ σεῦ με διδάσκεσθαι τόδ' ἔοικεν.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἄγριος εἶ πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης;

ΑΜΥΚΟΣ.

τοιόσδ' οἷον ὁρᾷς· τῆς σῆς γέ μεν οὐκ ἐπιβαίνω.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἔλθοις, καὶ ξενίων κε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.

ΑΜΥΚΟΣ.

μήτε σύ με ξείνιζε, τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.

ΠΟΛΥΔΕΥΚΗΣ.

δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύγε δοίης;

ΑΜΥΚΟΣ.

γνώσεαι, εἴ σεν δῖψος ἀνειμένα χείλεα τέρσει.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἄργυρος ἢ τίς ὁ μισθός, ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;

ΑΜΥΚΟΣ.

εἷς ἑνὶ χεῖρας ἄειρον ἐναντίος ἀνδρὶ καταστάς.

ΠΟΛΥΔΕΥΚΗΣ.

πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος, ἄμματα δ' ὀρθά;

ΑΜΥΚΟΣ.

πὺξ διατεινάμενος σφετέρης μὴ φείδεο τέχνης.

ΠΟΛΥΔΕΥΚΗΣ.

τίς γάρ, ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;

ΑΜΥΚΟΣ.

ἐγγὺς ὁρᾷς· οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἦ καὶ ἄεθλον ἑτοῖμον, ἐφ' ᾧ δηρισόμεθ' ἄμφω;

ΑΜΥΚΟΣ.

σὸς μὲν ἐγώ, σὺ δ' ἐμὸς κεκλήσεαι, αἴκε κρατήσω.

ΠΟΛΥΔΕΥΚΗΣ.

ὀρνίθων φοινικολόφων τοιοῖδε κυδοιμοί.

ΑΜΥΚΟΣ.

εἴτ' οὖν ὀρνίθεσσιν ἐοικότες εἴτε λέουσι

γεινόμεθ', οὐ κ' ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκήσατο κοίλην.
οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστους
κόχλου φυσηθέντος ἀεὶ Βέβρυκες κομόωντες.
ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
Μαγνήσσης ἀπὸ νηὸς ὑπείροχος ἐν δαΐ Κάστωρ.
οἱ δ' ἐπεὶ οὖν σπείρῃσιν ἐκαρτύναντο βοείαις
χεῖρας καὶ περὶ γυῖα μακρά σφ' εἴλιξαν ἱμάντας,
ἐς μέσσον σύναγον φόνον ἀλλήλοισι πνέοντας.
ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
ὁππότερος κατὰ νῶτα λάβοι φάος ἠελίοιο·
ἰδρίῃ μέγα δ' ἄνδρα παρήλυθες ὦ Πολύδευκες,
βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον.
αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω,
χερσὶ τιτυσκόμενος. τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον ἢ πρίν,
σὺν δὲ μάχην ἐτάραξε, πολὺς δ' ἐνέκειτο νενευκώς
ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον, οἱ δ' ἑτέρωθεν
ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
δειδιότες μή πώς μιν ἐπιβρίσας δαμάσειε
χώρῳ ἔνι στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱός
ἀμφοτέρῃσιν ἄμυσσεν ἀμοιβαδίς, ἔσχεθε δ' ὁρμῆς
παῖδα Ποσειδάωνος ὑπερφίαλόν περ ἐόντα.
ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα
φοίνιον· οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε·
ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
τὸν μὲν ἄναξ ἐτάρασσεν ἐτώσια χερσὶ προδεικνύς
πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
μέσσης ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμῇ,
πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὃ πληγείς

ὕπτιος ἐν φύλλοισι τεθηλόσιν ἐξετανύσθη.
ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
ἀλλήλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἰξὺν χεῖρας ἐνώμα
αὐχένα τ' ἀρχηγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πληγαῖς
πᾶν συνέφυρε πρόσωπον ἀνίκητος Πολυδεύκης.
σάρκες δ' ᾧ μὲν ἱδρῶτι συνίζανον, ἐκ μεγάλου δέ
αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
ἁπτομένου φορέεσκε πόνου χροιῇ δέ τ' ἀμείνω.
πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν;
εἰπὲ θεά, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέροις ὑποφήτης
φθέγξομαι, ὅσσ' ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ.

Ἤτοι ὅγε ῥέξαί τι λιλαιόμενος μέγα ἔργον
σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
δοχμὸς ἀπὸ προβολῆς κλινθείς, ἑτέρῃ δ' ἐπιβαίνων
δεξιτερῆς ἤνεγκεν ἐπὶ λαγόνας πλατὺ γυῖον.
[καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·]
ἀλλ' ὅγ' ὑπεξανέδυ, κεφαλὴν στιβαρῇ δ' ἅμα χειρί
πλῆξεν ὑπὸ σκαιὸν κρόταφον καὶ ἐπέμπεσεν ὤμῳ·
ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος·
ἄλλῃ δὲ στόμα κόψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες·
αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δηλεῖτο πρόσωπον,
μέχρι συνηλοίησε παρήια. πᾶς δ' ἐπὶ γαίῃ
κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε νεῖκος ἀπαυδῶν
ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
τὸν μὲν ἄρα κρατέων περ ἀτάσθαλον οὐδὲν ἔρεξας,
ὦ πύκτη Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.

Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ. σὲ δὲ Κάστορ ἀείσω,
Τυνδαρίδη ταχύπωλε δορυσσόε χαλκεοθώρηξ.

Τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱώ
δοιὰς Λευκίπποιο κόρας· δισσὼ δ᾽ ἄρα τώγε
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ᾽ Ἀφαρῆος,
γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.
ἀλλ᾽ ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
ἐκ δίφρων ἄρα βάντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν,
ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ᾽ αὖ μετέειπεν ὑπὲκ κόρυθος μέγ᾽ ἀΰσας·
Δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ᾽ ἐπὶ νύμφαις
ἀλλοτρίαις χαλεποί, γυμναὶ δ᾽ ἐν χερσὶ μάχαιραι;
ἡμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
τᾶσδε πολὺ προτέροις, ἡμῖν γάμος οὗτος ἐν ὅρκῳ·
ὑμεῖς δ᾽ οὐ κατὰ κόσμον ἐπ᾽ ἀλλοτρίοισι λέχεσσι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἄλλοισι κτεάτεσσιν
ἄνδρα παρετρέψασθε, γάμον δ᾽ ἐκλέπτετε δώροις.
ἦ μὴν πολλάκις ὔμμιν ἐνώπιον ἀμφοτέροισιν
αὐτὸς ἐγὼ τάδ᾽ ἔειπα καὶ οὐ πολύμυθος ἐών περ·
„οὐχ οὕτω φίλοι ἄνδρες ἀριστήεσσιν ἔοικε
μνηστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
πολλή τοι Σπάρτη, πολλὴ δ᾽ ἱππήλατος Ἦλις,
Ἀρκαδίη τ᾽ εὔμηλος Ἀχαιῶν τε πτολίεθρα,
Μεσσήνη τε καὶ Ἄργος ἅπασά τε Σισυφὶς ἀκτή·
ἔνθα κόραι τοκέεσσιν ὕπο σφετέροισι τρέφονται
μυρίαι οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο,
τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ᾽ ἐθέλητε·
ὡς ἀγαθοῖς πολέες βούλοιντό κε πενθεροὶ εἶναι·
ὑμεῖς δ᾽ ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
καὶ πατέρες καὶ ἄνωθεν ἅπαν πατρώιον αἷμα.
ἀλλὰ φίλοι τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
ἄμμι γάμον· σφῷν δ᾽ ἄλλον ἐπιφραζώμεθα πάντες.“
ἴσκον τοιάδε πολλά, τὰ δ᾽ εἰς ὑγρὸν ᾤχετο κῦμα
πνοιὴ ἔχουσ᾽ ἀνέμοιο, χάρις δ᾽ οὐχ ἕσπετο μύθοις.

σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ' ἔτι καὶ νῦν
πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
εἰ δ' ὑμῖν κραδίη πόλεμον ποθεῖ, αἵματι δὲ χρή
νεῖκος ἀναρρήξαντας ὁμοίιον ἔγχεα λοῦσαι,
Ἴδας μὲν καὶ ὅμαιμος ἑός, κρατερὸς Πολυδεύκης,
χεῖρας ἐρωήσουσιν ἀπεχθομένης ὑσμίνης,
νῶι δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' ἄρηι
ὁπλοτέρω γεγαῶτε. γονεῦσι δὲ μὴ πολὺ πένθος
ἡμετέροισι λίπωμεν. ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
εἷς· ἀτὰρ ὧλλοι πάντας ἐϋφρανέουσιν ἑταίρους
νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
τᾶσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε, τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.
τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
ὢ γενεῇ προφέρεσκον· ὃ δ' ἐς μέσον ἤλυθε Λυγκεύς,
σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πρώτην·
ὣς δ' αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμάς
Κάστωρ· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
ἔγχεσι μὲν πρώτιστα τιτυσκόμενοι πόνον εἶχον
ἀλλήλων, εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
ἀλλ' ἤτοι τὰ μὲν ἄκρα πάρος τινὰ δηλήσασθαι
δοῦρ' ἐάγη, σακέεσσιν ἔνι δεινοῖσι παγέντα.
τὼ δ' ἄορ ἐκ κολεοῖο ἐρυσσαμένω φόνον αὖτις
τεῦχον ἐπ' ἀλλήλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
πολλὰ μὲν ἐς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεύς
τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
τοῦ μὲν ἄκρην ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
φάσγανον ὀξὺ φέροντος ὑπεξαναβὰς ποδὶ Κάστωρ
σκαιῷ· ὃ δὲ πληγεὶς ξίφος ἔκβαλεν, αἶψα δὲ φεύγειν
ὡρμήθη ποτὶ σῆμα πατρός, τόθι καρτερὸς Ἴδας

κεκλιμένος θηεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρό
Τυνδαρίδης λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
χαλκὸς ἄφαρ διέχευεν· ὃ δ' ἐς στόμα κεῖτο νενευκώς
Λυγκεύς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρῴῃ
παίδων Λαοκόωσσα φίλον γάμον ἐκτελέσαντα.
ἦ γὰρ ὅγε στήλην Ἀφαρηΐου ἐξανέχουσαν
τύμβου ἀναρρήξας ταχέως Μεσσήνιος Ἴδας
μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτήν
μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
οὕτως Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐν ἐλαφρῷ
αὐτοῖς τε κρατέουσι καὶ ἐκ κρατέοντος ἔφυσαν.
Χαίρετε Λήδας τέκνα, καὶ ἡμετέροις κλέος ὕμνοις
ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ τε πάντες ἀοιδοί
Τυνδαρίδαις Ἑλένῃ τε καὶ ἄλλοις ἡρώεσσιν,
Ἴλιον οἳ διέπερσαν ἀρήγοντες Μενελάῳ.
ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδός,
ὑμνήσας Πριάμοιο πόλιν καὶ νῆας Ἀχαιῶν
Ἰλιάδας τε μάχας Ἀχιλῆά τε πύργον ἀϋτῆς·
ὑμῖν αὖ καὶ ἐγὼ λιγεῶν μειλίγματα Μουσέων,
οἷ' αὐταὶ παρέχουσι καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδαί.

## Idyll. XXI. (XXVI.)*

### Λῆναι ἢ Βάκχαι.

Ἰνὼ κΑὐτονόα χἀ μαλοπάραυος Ἀγαύα
τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι.
χαἳ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα
κισσόν τε ζώοντα καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς
ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμούς,
τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.
ἱερὰ δ' ἐκ κίστας πεποναμένα χερσὶν ἑλοῖσαι
εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει,
σχῖνον ἐς ἀρχαίαν καταδύς, ἐπιχώριον ἔρνος.
Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῖσα,
σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου,
ἐξαπίνας ἐπιοῖσα, τὰ δ' οὐχ ὁρέοντι βέβηλοι.
μαίνετο μέν θ' αὔτα, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος, αἳ δ' ἐδίωκον,
πέπλως ἐκ ζωστῆρος ἐς ἰγνύαν ἐρύσαισαι.
Πενθεὺς μὲν τόδ' ἔειπε· „τίνος κέχρησθε γυναῖκες;"
Αὐτονόα „τόδ'" ἔειπε „τάχα γνώσῃ πρὶν ἀκοῦσαι."
χἀ μὲν τὰν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
ὅσσόν περ τοκάδος τελέθει μύκημα λεαίνας·
Ἰνὼ δ' ἐξέρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον
λὰξ ἐπὶ γαστέρα βᾶσα, καὶ Αὐτονόας ῥυθμὸς ωὑτός·
αἱ δ' ἄλλαι τὰ περισσὰ κρεανομέοντο γυναῖκες.
ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
ἐξ ὄρεος πένθημα καὶ οὐ Πενθῆα φέρουσαι.
οὐκ ἀλέγω· μηδ' ἄλλος ἀπεχθομένω Διονύσῳ
φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδε μογήσαι,

εἴη δ' ἐκγενέτης ἢ καὶ λέκτρῳ ἐπιβαίνοι·
αὐτὸς δ' εὐαγέοιμι καὶ εὐαγέεσσιν ἅδοιμι.
ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
εὐσεβέων παίδεσσι τὰ λῷϊα, δυσσεβέων δ' οὔ.
χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα κάτθετο λύσας·
χαίροι δ' εὐειδὴς Σεμέλα καὶ ἀδελφεαὶ αὐτᾶς
Καδμεῖαι ποιναῖς μεμελημέναι ἡρωΐναι,
αἳ τόδε ἔργον ἔρεξαν ὀρίναντος Διονύσου
οὐκ ἐπιμωματόν. μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

---

## Idyll. XXII. (XXVIII.)

### Ἠ λ α κ ά τ η.

Γλαύκας ὦ φιλέριθ' ἀλακάτα δῶρον Ἀθανάας
γύναιξιν, νόος οἰκωφελίας αἶσιν ἐπάβολος,
θάρσεισ' ἄμμιν ὑμάρτη πόλιν ἐς Νείλεω ἀγλάαν,
ὄππυι Κύπριδος ἶρον καλάμῳ χλῶρον ὑπασσάλῳ.
τυῖδε γὰρ πλόον εὐάνεμον αἰτήμεθα πὰρ Δίος,
ὄππως ξέννον ἔμον τέρψομ' ἴδων κἀντιφίλησ' ἔω,
Νικίαν, Χαρίτων ἰμεροφώνων ἴερον φύτον,
καὶ σὲ τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν
δῶρον Νικιάας εἰς ἀλόχω χέρρας ὀπάσσομεν,
σὺν τᾷ πόλλα μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
πόλλα δ' οἷα γύναικες φορέοισ' ὑδάτινα βράκη.
δὶς γὰρ μάτερες ἄρνων μαλάκοις ἐν βοτάνᾳ πόκοις
πέξαιντ' αὐτοένει, Θευγένιδός γ' ἔννεκ' ἐϋσφύρω·
οὕτως ἀνυσίεργος, φιλέει δ' ὄσσα σαόφρονες.
οὐ γὰρ εἰς ἀκίδρας οὐδ' ἐς ἀέργω κεν ἐβολλόμαν

ὅππασσαί σε δόμοις ἀμμετέρας ἔσσαν ἀπὺ χθόνος.
καὶ γάρ τοι πάτρις, ἂν ὦξ Ἐφύρας κτίσσέ ποτ' Ἀρχίας
νάσω Τρινακρίας μύελον, ἄνδρων δοκίμων πόλιν.
νῦν μὰν οἶκον ἔχοισ' ἄνερος, ὃς πόλλ' ἐδάη σόφα
ἀνθρώποισι νόσοις φάρμακα λύγραις ἀπαλαλκέμεν,
οἰκήσεις κατὰ Μίλλατον ἐράνναν πεδ' Ἰαόνων,
ὡς εὐαλάκατος Θεύγενις ἐν δαμότισιν πέλη,
καί οἱ μνᾶστιν ἄει τῶ φιλαοίδω παρέχης ξένω.
κῆνο γάρ τις ἐρεῖ τὤπος ἴδων σ'· ἦ μεγάλα χάρις
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τίματα τὰ πὰρ φίλων.

---

## Idyll. XXIII. (XXIX.)

### Π α ι δ ι κ ά.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
κἄμμε χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
κἠγὼ μὲν τὰ φρενῶν ἐρέω κέατ' ἐν μυχῷ.
οὐχ ὅλας φιλέειν μ' ἐθέλεισθ' ἀπὸ καρδίας,
γινώσκω· τὸ γὰρ ἅμισυ τᾶς ζοΐας ἔχω
ζὰ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
χὤταν μὲν σὺ θέλης, μακάρεσσιν ἴσαν ἄγω
ἀμέραν· ὄκα δ' οὐκ ἐθέλεις τύ, μάλ' ἐν σκότῳ.
πῶς ταῦθ' ἅρμενα, τὸν φιλέοντ' ἀνίαις δίδων;
ἀλλ' εἴ μοί τι πίθοιο νέος προγενεστέρῳ,
τῶ κε λώιον αὐτὸς ἔχων ἔμ' ἐπαινέσαις.
ποίησαι καλιὰν μίαν ειν ἑνὶ δενδρίῳ,
ὅππη μηδὲν ἀπίξεται ἄγριον ὄρπετον.
νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχεις κλάδον,

ἄλλον δ' αὔριον, ἐξ ἑτέρω δ' ἕτερον μάλα.
καὶ μέν σευ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσαι,
τῷ δ' εὐθὺς πλέον ἢ τριέτης ἐγένευ φίλος,
τὸν πρᾶτον δὲ φιλεῦντα τρίταιον ἐθήκαο.
ἀνδρῶν τῶν ὑπὲρ ἀνορέαν δοκέεις πνέειν.
φίλη δ', ἄς κε ζόης, τὸν ὔμοιον ἔχειν ἀεί.
αἰ γὰρ ὧδε πόῃς, ἀγαθὸς μὲν ἀκούσεαι
ἐξ ἀστῶν· ὁ δέ τοί κ' Ἔρος οὐ χαλεπῶς ἔχοι,
ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
κἤμε μαλθακὸν ἐξ ἐπόησε σιδαρίω.
ἀλλὰ πὲρ ἀπάλω στύματός σε πεδέρχομαι
ὀμνάσθην, ὅτι πέρρυσιν ἦσθα νεώτερος,
χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι
καὶ ῥυσσοί, νεότατα δ' ἔχειν παλινάγρετον
οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίαις φόρει,
κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.
ταῦτα χρὴ νοέοντα πέλειν ποτιμώτερον,
καί μοι τὠραμένῳ συνερᾶν ἀδόλως σέθεν,
ὅπως, ἀνίκα τὰν γένυν ἀνδρείαν ἔχεις,
ἀλλάλοισι πελώμεθ' Ἀχιλλέϊοι φίλοι.
αἰ δὲ ταῦτα φέρειν ἀνέμοισιν ἐπιτρόπεις,
ἐν θυμῷ δὲ λέγεις „τί με δαιμόνι' ἐννοχλεῖς“;
νῦν μὲν κἠπὶ τὰ χρύσεα μᾶλ' ἔνεκεν σέθεν
βαίην καὶ φύλακον νεκύων πέδα Κέρβερον,
τόκα δ' οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
προμόλοιμί κε παυσάμενος χαλεπῶ πόθω.

# THEOCRITI EPIGRAMMATA.

## I. (I.)

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι,
ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος οὗτος ὁ μᾶλος,
τερμίνθου τρώγων ἔσχατον ἀκρεμόνα.

## II. (VII.)

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός,
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς
μισθόν· ὃ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

## III. (X.)

Ὑμῖν τοῦτο θεαὶ κεχαρισμένον ἐννέα πάσαις
τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίῃ δ' ἐπὶ τῇδε
αἶνον ἔχων Μουσέων οὐκ ἐπιλανθάνεται.

## IV. (XII.)

Δημομέλης ὁ χορηγός, ὁ τὸν τρίποδ' ὦ Διόνυσε
πὰρ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθείς,
μέτριος ἦν ἐν πᾶσι, χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

## V. (XIII.)

Ἡ Κύπρις οὐ πάνδημος. ἱλάσκεο τὴν θεὸν εἰπών
οὐρανίην, ἁγνῆς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
ξυνόν. ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχομένοις ὦ πότνια· κηδόμενοι γάρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

## VI. (XX.)

Τὸν τοῦ Ζανὸς ὅδ' ὔμιν υἱὸν ὡνήρ
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἔτ' ἄνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν οὑκ Καμίρου,
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε χάλκεον ποήσας
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

## VII. (XVI.)

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε
σπουδᾷ, καὶ λέγ' ἐπὴν ἐς οἶκον ἔνθῃς·
„Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ
τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ."
προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## VIII. (XVII.)

Ἅ τε φωνὰ Δώριος χὠνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν,
τοὶ Συρακόσσαις ἐνίδρυνται πελωριστᾷ πόλει,
ὧν ἀνδρὶ πολίτᾳ

σωρὸν παρεῖχες ῥημάτων μεμναμένοι
τελεῖν ἐπίχειρα.
πολλὰ γὰρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα.
μεγάλα χάρις αὐτῶν.

## IX. (XXI.)

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
κεἰ μὲν πονηρός, μὴ προσέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κἢν θέλῃς ἀπόβριξον.

# Dubia et Spuria.

## X. (II.)

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

## XI. (III.)

Εὕδεις φυλλοστρῶτι πέδῳ Δάφνι σῶμα κεκμακός
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
ἀγρεύει δέ τυ Πὰν καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
φεῦγε μεθεὶς ὕπνου κῶμα καὶ ἀγρεμόνας.

## XII. (VI.)

Ἆ δείλαιε τὺ Θύρσι, τί τὸ πλέον, εἰ καταταξεῖς
δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν·
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
ὄστιον οὐδὲ τέφρα λείπεται οἰχομένας;

## XIII. (V.)

*Λῇς ποτὶ τᾶν Νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι*
*ἁδύ τί μοι; κἠγὼ πακτίδ' ἀειράμενος*
*ἀρξεῦμαί τι κρέκειν, ὁ δὲ βουκόλος ἅμμιγα θελξεῖ*
*Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.*
*ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν*
*Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.*

## XIV. (XXII.)

*Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,*
*εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων,*
*υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·*
*Μοῦσαν δ' ὀθνείην οὔτιν' ἐφελκυσάμην.*

## XV.

*Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἥδε τράπεζα·*
*θεὶς ἀνελοῦ ψήφου πρὸς λόγον ἐρχομένης.*
*ἄλλός τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Καΐκος*
*χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.*

## XVI.

*Ἀρχαῖ' ἐν τοῦ Ἀπόλλωνος τἀνθήματα ταῦτα*
*ὑπῆρχεν· ἡ βάσις δὲ τοῖς μὲν εἴκοσι,*
*τοῖς δ' ἑπτά, τοῖς δὲ πέντε, τοῖς δὲ δώδεκα,*
*τοῖς δὲ διηκοσίοισι νεωτέρη ἥδ' ἐνιαυτοῖς·*
*τοσσόσδε γάρ μιν ἐξέβη μετρούμενος*

* * * *

## XVII. (IV.)

*Τήναν τὰν λαύραν τᾷ θ' αἱ δρύες αἰπόλε κάμψας*
*σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,*
*τρισκελὲς αὐτόφλοιον ἀνούατον, ἀλλὰ φάλητι*
*παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.*

σακὸς δ' εὐίερος περιδέδρομεν, ἀέναον δέ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ.
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος, εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.
ξουθαὶ δ' ἀδονίδες μινυρίσμασιν ἀνταχεῦσι
μέλπουσαι στόμασιν τὰν μελίγαρυν ὄπα.
ἕζεο δὴ τηνεῖ καὶ τῷ χαρίεντι Πριήπῳ
εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους,
κεὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἄρα νεύσῃ,
τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι·
ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
σακίταν. ἀΐοι δ' εὐμενέως ὁ θεός.

## XVIII. (XV.)

Γνώσομαι, εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλός
ἐκ σέθεν ὡσαύτως ἶσον ὁδοιπόρ' ἔχει.
„χαιρέτω οὗτος ὁ τύμβος“ ἐρεῖς „ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.“

## XIX. (XIV.)

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτός
Εὐρύμεδον τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## XX. (VIII.)

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων·
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις.
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχον πόρον, ἀντὶ δὲ πολλᾶς
πατρίδος ὀθνείαν κεῖμαι ἐφεσσάμενος.

## XXI. (XI.)

*Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,*
*δεινὸς ἀπ᾽ ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.*
*εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα,*
*χὡὑμνοθέτης ἐν τοῖς δαιμονίως φίλος ὤν.*
*πάντων, ὧν ἐπέοικεν ἔχειν τεθνεῶθ᾽, ὁ σοφιστής*
*καίπερ ἄκικυς ἐὼν εἶχ᾽ ἄρα κηδεμόνας.*

## XXII.

*Ἡ παῖς ᾤχετ᾽ ἄωρος ἐν ἑβδόμῳ ἤδ᾽ ἐνιαυτῷ*
*εἰς Ἀΐδην πολλοῖς ἡλικίης προτέρη,*
*δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,*
*νήπιον ἀστόργου γευσάμενον θανάτου.*
*αἰαῖ ἐλεινὰ παθοῦσα Περιστέρη, ὡς ἐν ἑτοίμῳ*
*ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα.*

## XXIII. (XVIII.)

*Ὁ μικκὸς τόδ᾽ ἔτευξε τᾷ Θραΐσσᾳ*
*Μήδειος τὸ μνᾶμ᾽ ἐπὶ τᾷ ὁδῷ κἠπέγραψε Κλείτας.*
*ἑξεῖ τὰν χάριν ἁδὺν ἀντὶ τήνων,*
*ὧν τὸν κοῦρον ἔθρεψ᾽· ἔτι μάν, ὅτι χρησίμα καλεῖται.*

## XXIV. (XIX.)

*Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν*
*τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος*
*διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.*
*ἦρά νιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,*
*ὡς ἐμμελής τ᾽ ἐγένετο κἠπιδέξιος*
*ἔπεά τε ποιεῖν πρὸς λύραν τ᾽ ἀείδειν.*

## XXV.

*Αὐδήσαις τὸ γράμμα, τί σᾶμά τε καὶ τίς ὑπ᾽ αὐτῷ.*
*Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.*

## XXVI. (IX.)

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος ἴσθι· καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος.
δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
ἠπείγευ κοίλης ἔμπορος ἐκ Συρίης,
ἔμπορος ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτήν
ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.

# THEOCRITI FRAGMENTUM.

---

## Ἐκ τῆς Βερενίκης.

*Καἴ τις ἀνὴρ αἰτεῖται ἐπαγροσύνην τε καὶ ὄλβον,*
*ἐξ ἁλὸς ᾧ ζωή, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,*
*σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθῦν,*
*ὃν λεῦκον καλέουσιν, ὃ γὰρ φιερώτατος ἄλλων,*
*καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης*
*ἔμπλεα.*

---

ὄπασσαί σε δόμοις ἀμμετέρας ἔσσαν ἀπὺ χθόνος.
καὶ γάρ τοι πάτρις, ἂν ὤξ Ἐφύρας κτίσσέ ποτ' Ἀρχίας
νάσω Τρινακρίας μύελον, ἄνδρων δοκίμων πόλιν.
νῦν μὰν οἶκον ἔχοισ' ἄνερος, ὃς πόλλ' ἐδάη σόφα
ἀνθρώποισι νόσοις φάρμακα λύγραις ἀπαλαλκέμεν,
οἰκήσεις κατὰ Μίλλατον ἐράνναν πεδ' Ἰαόνων,
ὡς εὐαλάκατος Θεύγενις ἐν δαμότισιν πέλη,
καί οἱ μνᾶστιν ἄει τῶ φιλαοίδω παρέχης ξένω.
κῆνο γάρ τις ἐρεῖ τὤπος ἴδων σ'· ἦ μεγάλα χάρις
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τίματα τὰ πὰρ φίλων.

---

## Idyll. XXIII. (XXIX.)

### Π α ι δ ι κ ά.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
κἄμμε χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
κἠγὼ μὲν τὰ φρενῶν ἐρέω κέατ' ἐν μυχῷ.
οὐχ ὅλας φιλέειν μ' ἐθέλεισθ' ἀπὸ καρδίας,
γινώσκω· τὸ γὰρ ἄμισυ τᾶς ζοΐας ἔχω
ζὰ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
χὤταν μὲν σὺ θέλῃς, μακάρεσσιν ἴσαν ἄγω
ἁμέραν· ὄκα δ' οὐκ ἐθέλεις τύ, μάλ' ἐν σκότῳ.
πῶς ταῦθ' ἅρμενα, τὸν φιλέοντ' ἀνίαις δίδων;
ἀλλ' εἴ μοί τι πίθοιο νέος προγενεστέρῳ,
τῶ κε λώιον αὐτὸς ἔχων ἔμ' ἐπαινέσαις.
ποίησαι καλιὰν μίαν ειν ἐνὶ δενδρίῳ,
ὅππῃ μηδὲν ἀπίξεται ἄγριον ὄρπετον.
νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχεις κλάδον,

ἄλλον δ' αὔριον, ἐξ ἑτέρω δ' ἕτερον μάλα.
καὶ μέν σευ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσαι,
τῷ δ' εὐθὺς πλέον ἢ τριέτης ἐγένευ φίλος,
τὸν πρᾶτον δὲ φιλεῦντα τρίταιον ἐθήκαο.
ἀνδρῶν τῶν ὑπὲρ ἀνορέαν δοκέεις πνέειν.
φίλη δ', ἄς κε ζόης, τὸν ὕμοιον ἔχειν ἀεί.
αἰ γὰρ ὧδε πόης, ἀγαθὸς μὲν ἀκούσεαι
ἐξ ἀστῶν· ὁ δέ τοί κ' Ἔρος οὐ χαλεπῶς ἔχοι,
ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
κἤμε μαλθακὸν ἐξ ἐπόησε σιδαρίω.
ἀλλὰ πὲρ ἀπάλω στύματός σε πεδέρχομαι
ὀμνάσθην, ὅτι πέρρυσιν ἦσθα νεώτερος,
χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι
καὶ ῥυσσοί, νεότατα δ' ἔχειν παλινάγρετον
οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίαις φόρει,
κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.
ταῦτα χρὴ νοέοντα πέλειν ποτιμώτερον,
καί μοι τὤραμένῳ συνερᾶν ἀδόλως σέθεν,
ὅπως, ἀνίκα τὰν γένυν ἀνδρεΐαν ἔχεις,
ἀλλάλοισι πελώμεθ' Ἀχιλλέϊοι φίλοι.
αἰ δὲ ταῦτα φέρειν ἀνέμοισιν ἐπιτρόπεις,
ἐν θυμῷ δὲ λέγεις „τί με δαιμόνι' ἐννοχλεῖς“;
νῦν μὲν κὴπὶ τὰ χρύσεα μᾶλ' ἕνεκεν σέθεν
βαίην καὶ φύλακον νεκύων πέδα Κέρβερον,
τόκα δ' οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
προμόλοιμί κε παυσάμενος χαλεπῶ πόθω.

# THEOCRITI EPIGRAMMATA.

## I. (I.)

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι,
ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος οὗτος ὁ μᾶλος,
τερμίνθου τρώγων ἔσχατον ἀκρεμόνα.

## II. (VII.)

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός,
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς
μισθόν· ὃ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

## III. (X.)

Ὑμῖν τοῦτο θεαὶ κεχαρισμένον ἐννέα πάσαις
τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίῃ δ' ἐπὶ τῇδε
αἶνον ἔχων Μουσέων οὐκ ἐπιλανθάνεται.

## IV. (XII.)

Δημομέλης ὁ χορηγός, ὁ τὸν τρίποδ' ὦ Διόνυσε
πὰρ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθείς,
μέτριος ἦν ἐν πᾶσι, χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

## V. (XIII.)

Ἡ Κύπρις οὐ πάνδημος. ἱλάσκεο τὴν θεὸν εἰπών
οὐρανίην, ἁγνῆς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
ξυνόν. ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχομένοις ὦ πότνια· κηδόμενοι γάρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

## VI. (XX.)

Τὸν τοῦ Ζανὸς ὅδ' ὕμιν υἱὸν ὡνήρ
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἔτ' ἄνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν οὑκ Καμίρου,
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε χάλκεον ποήσας
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

## VII. (XVI.)

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε
σπουδᾷ, καὶ λέγ' ἐπὴν ἐς οἶκον ἔνθῃς·
„Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ
τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ."
προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## VIII. (XVII.)

Ἅ τε φωνὰ Δώριος χὡνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν,
τοὶ Συρακόσσαις ἐνίδρυνται πελωριστᾷ πόλει,
ὧν ἀνδρὶ πολίτᾳ

σωρὸν παρεῖχες ῥημάτων μεμναμένοι
τελεῖν ἐπίχειρα.
πολλὰ γὰρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα.
μεγάλα χάρις αὐτῶν.

## IX. (XXI.)

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
κεἰ μὲν πονηρός, μὴ προσέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κἢν θέλῃς ἀπόβριξον.

# Dubia et Spuria.

## X. (II.)

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

## XI. (III.)

Εὕδεις φυλλοστρῶτι πέδῳ Δάφνι σῶμα κεκμακός
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
ἀγρεύει δέ τυ Πὰν καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
φεῦγε μεθεὶς ὕπνου κῶμα καὶ ἀγρεμόνας.

## XII. (VI.)

Ἆ δείλαιε τὺ Θύρσι, τί τὸ πλέον, εἰ καταταξεῖς
δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν·
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
ὄστιον οὐδὲ τέφρα λείπεται οἰχομένας;

## XIII. (V.)

*Λῆς ποτὶ τᾶν Νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι*
*ἁδύ τί μοι; κἠγὼ πακτίδ' ἀειράμενος*
*ἀρξεῦμαί τι κρέκειν, ὁ δὲ βουκόλος ἄμμιγα θελξεῖ*
*Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.*
*ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν*
*Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.*

## XIV. (XXII.)

*Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,*
*εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων,*
*υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·*
*Μοῦσαν δ' ὀθνείην οὔτιν' ἐφελκυσάμην.*

## XV.

*Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἥδε τράπεζα·*
*θεὶς ἀνελοῦ ψήφου πρὸς λόγον ἐρχομένης.*
*ἄλλός τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Καΐκος*
*χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.*

## XVI.

*Ἀρχαῖ' ἐν τοὐπόλλωνος τἀνθήματα ταῦτα*
*ὑπῆρχεν· ἡ βάσις δὲ τοῖς μὲν εἴκοσι,*
*τοῖς δ' ἑπτά, τοῖς δὲ πέντε, τοῖς δὲ δώδεκα,*
*τοῖς δὲ διηκοσίοισι νεωτέρη ἥδ' ἐνιαυτοῖς·*
*τοσσόσδε γάρ μιν ἐξέβη μετρούμενος*

* * * *

## XVII. (IV.)

*Τήναν τὰν λαύραν τᾷ θ' αἱ δρύες αἰπόλε κάμψας*
*σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,*
*τρισκελὲς αὐτόφλοιον ἀνούατον, ἀλλὰ φάλητι*
*παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.*

σακὸς δ' εὐίερος περιδέδρομεν, ἀέναον δέ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ.
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος, εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.
ξουθαὶ δ' ἀδονίδες μινυρίσμασιν ἀνταχεῦσι
μέλπουσαι στόμασιν τὰν μελίγαρυν ὄπα.
ἕζεο δὴ τηνεῖ καὶ τῷ χαρίεντι Πριήπῳ
εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους,
κεὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἄρα νεύσῃ,
τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι·
ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
σακίταν. ἀΐοι δ' εὐμενέως ὁ θεός.

## XVIII. (XV.)

Γνώσομαι, εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλός
ἐκ σέθεν ὡσαύτως ἶσον ὁδοιπόρ' ἔχει.
„χαιρέτω οὗτος ὁ τύμβος“ ἐρεῖς „ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.“

## XIX. (XIV.)

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτός
Εὐρύμεδον τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## XX. (VIII.)

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων·
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις.
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχον πόρον, ἀντὶ δὲ πολλᾶς
πατρίδος ὀθνείαν κεῖμαι ἐφεσσάμενος.

## XXI. (XI.)

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα,
χὠὑμνοθέτης ἐν τοῖς δαιμονίως φίλος ὤν.
πάντων, ὧν ἐπέοικεν ἔχειν τεθνεῶθ', ὁ σοφιστής
καίπερ ἄκικυς ἐὼν εἶχ' ἄρα κηδεμόνας.

## XXII.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
εἰς Ἀΐδην πολλοῖς ἡλικίης προτέρη,
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,
νήπιον ἀστόργου γευσάμενον θανάτου.
αἰαῖ ἐλεινὰ παθοῦσα Περιστέρη, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα.

## XXIII. (XVIII.)

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θραΐσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ κἠπέγραψε Κλείτας.
ἑξεῖ τὰν χάριν ἁδὺν ἀντὶ τήνων,
ὧν τὸν κοῦρον ἔθρεψ'· ἔτι μάν, ὅτι χρησίμα καλεῖται.

## XXIV. (XIX.)

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν
τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
ἦρά νιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
ὡς ἐμμελής τ' ἐγένετο κἠπιδέξιος
ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν.

## XXV.

Αὐδήσαις τὸ γράμμα, τί σᾶμά τε καὶ τίς ὑπ' αὐτῷ.
Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

## XXVI. (IX.)

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος ἴσθι· καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος.
δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
ἠπείγευ κοίλης ἔμπορος ἐκ Συρίης,
ἔμπορος ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτήν
ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.

# THEOCRITI FRAGMENTUM.

## Ἐκ τῆς Βερενίκης.

*Καἴ τις ἀνὴρ αἰτεῖται ἐπαγροσύνην τε καὶ ὄλβον,*
*ἐξ ἁλὸς ᾧ ζωή, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,*
*σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθῦν,*
*ὃν λεῦκον καλέουσιν, ὃ γὰρ φιερώτατος ἄλλων,*
*καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης*
*ἔμπλεα.*

# BIONIS RELIQUIAE.

## I.

### Ἐπιτάφιος Ἀδώνιδος.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις,
ὤλετο καλὸς Ἄδωνις· ἐπαιάζουσιν Ἔρωτες.

Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·
ἔγρεο δειλαία κυανόστολε καὶ πλατάγησον
στήθεα καὶ λέγε πᾶσιν ἀπώλετο καλὸς Ἄδωνις.
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

Κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι μηρὸν ὀδόντι,
λευκὸν μηρὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιῇ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
χιονέας κατὰ σαρκός, ὑπ' ὀφρύσι δ' ὄμματα ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλημα, τὸ μήποτε Κύπρις ἀνοίσει.
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἁ Κυθέρηα φέρει ποτικάρδιον ἕλκος.
κεῖνον μὲν περιπολλὰ φίλοι κύνες ὠρύονται
καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ' Ἀφροδίτα
λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα νήπαστος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείρουσι καὶ ἱερὸν αἷμα δρέπονται·

---

Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ' οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ' ἐφίλασεν.

ὀξὺ δὲ κωκύοισα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν καὶ πολλὰ καλεῦσα.
ἀμφὶ δέ μιν μέλαν εἷμα παρ' ὀμφαλὸν αἰωρεῖται, 25
στήθεα δ' ἐκ χειρῶν φοινίσσεται, οἱ δ' ὑπὸ μαζοί
χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύρονται.
αἰαῖ τὰν Κυθέρηαν ἐπαιάζουσιν Ἔρωτες.

Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις· 30
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι. τὰν Κύπριν αἰαῖ
ὤρεα πάντα λέγοντι, καὶ αἱ δρύες αἰαῖ Ἄδωνιν·
καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι· 34
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὰ ἀηδών 36
αἰάζει νέον οἶτον ἀπώλετο καλὸς Ἄδωνις. 37
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄρ' αἰαῖ; 39
ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος, 40
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· „μεῖνον Ἄδωνι,
δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
ὥς σε περιπτύξω καὶ χείλεα χείλεσι μίξω.
ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλησον, 45
τοσσοῦτόν με φίλησον, ὅσον ζώει τὸ φίλημα,
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεὶς ἐμὸν ἧπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα, φίλημα δὲ τοῦτο φυλάξω
ὡς σ' αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με δύσμορε φεύγεις, 50

---

ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη 35

---

Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις. 38

φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
πὰρ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
ζώω καὶ θεὸς ἐμμὶ καὶ οὐ δύναμαί σε διώκειν.
λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν. ἐσσὶ γὰρ αὐτά
πολλὸν ἐμεῦ κρέσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταρρεῖ.
ἐμμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σεσόβημαι.
θνάσκεις ὦ τριπόθητε, πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
χήρα δ' ἁ Κυθέρηα, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
σοὶ δ' ἅμα κεστὸς ὄλωλε. τί γὰρ τολμαρὲ κυναγεῖς;
καλὸς ἐὼν τί τοσοῦτον ἐμήναο θηρὶ παλαίειν;"
ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες
αἰαῖ τὰν Κυθέρηαν, ἀπώλετο καλὸς Ἄδωνις.

---

Αἴαζ' ὦ τὸν Ἄδωνιν, ἀπώλετο καλὸς Ἄδωνις.

Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι.
οὐκ ἀγαθὰ στιβάς ἐστιν Ἀδώνιδι, φυλλὰς ἐρήμα·
λέκτρον ἔχοι Κυθέρηα τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν εὖ ἐνιαύεν,
τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμίχθη,
παγχρύσῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
βάλλε δέ νιν στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
ὡς τῆνος τέθνακε καὶ ἄνθεα ταῦτ' ἐμαράνθη.
ῥαῖνε δέ μιν Συρίοισιν ἀλείφασι, ῥαῖνε μύροισιν.
ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλεθ' Ἄδωνις.
αἴαζ' ὦ τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

---

δάκρυα δ' ἁ Παφίη τόσσ' ἐκχέει, ὅσσον Ἄδωνις
αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίνεται ἄνθη.
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.

*Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·*
*ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες*
*κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χὢ μὲν οἰστώς,*
*ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' ἐπτέρνισδε φαρέτραν,*
*χὢ μὲν ἔλυσε πέδιλλον Ἀδώνιδος, οἳ δὲ λέβητ' ἐς*
*κρωσσοῖσιν φορέοισιν ὕδωρ, ὃ δὲ μηρὸν ἰαίνει,*
*ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.*
*αἶαξ' ὦ τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.*

(Deest una stropha.)

*αἰαῖ τὰν Κυθέρηαν ἐπαιάζουσιν Ἔρωτες.*

*Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,*
*καὶ στέφος ἐξεκέδασσε γαμήλιον· οὐκέτι δ' Ὑμήν,*
*Ὑμὴν οὐκέτ' ἄειδεν ἑὸν μέλος, ἀλλ' ἐπαείδει*
*αἰαῖ καὶ τὸν Ἄδωνιν ἔτι πλέον ἢ Ὑμέναιον.*
*αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,*
*ὤλετο καλὸς Ἄδωνις ἐν ἀλλάλαισι λέγοισαι.*
*αἰαῖ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ Παιῶνα*
*χαἰ Μοῖσαι τὸν Ἄδωνιν, ἀνακλείοισι δ' Ἄδωνιν,*
*καί μιν ἐπαείδουσιν· ὃ δέ σφισιν οὐκ ἐπακούει.*
*οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.*

*Λῆγε γόων Κυθέρηα τὸ σάμερον, ἴσχεο κομμῶν·*
*δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.*

---

## II. (XI.)

*Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅπως λόγος, αἰσσοίσας*
*χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.*

## III. (IX.)

*Οὐ καλὸν ὦ φίλε πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,*
*μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτός*
*τεχνᾶσθαι σύριγγα· πέλει δέ τοι εὐμαρὲς ἔργον.*

## IV. (XIII.)

*Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπεὶ χὼ Φοῖβος ἀείδει*
*μισθὸν ἑλών. τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.*

## V. (V^a.)

*Οὐκ οἶδ', οὐδ' ἐπέοικεν ἃ μὴ μάθομες πονέεσθαι.*

## VI. (V^b.)

*Εἴ μευ καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα*
*κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε Μοῖσα.*
*εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι ποτὶ πλείονα μοχθεῖν;*

## VII. (V^c.)

*Εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν*
*ἢ Κρονίδας ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι*
*τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,*
*ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.*
*εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν*
*ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μείονα πάντων,*
*ὁππόσα τοὶ δειλοὶ καματώδεες ἔργα πονεῦμες,*
*ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας*
*βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλείονος ὄλβω;*
*λαθόμεθ' ἦ ἄρα πάντες, ὅτι θνατοὶ γενόμεσθα,*
*χὡς βραχὺν ἐκ Μοίρας λάχομες χρόνον.*

## VIII. (IV.)

*Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται*
*ἦκ θυμῶ φιλέοντι καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.*
*κῆν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,*
*τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·*
*ἢν δὲ νόον τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,*
*ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.*

μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀλαθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
βαμβαίνει μευ γλῶσσα καὶ ὡς πάρος οὐκέτ' ἀείδει·
ἢν δ' αὖτ' ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά.

---

## IX. (III.)

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον·
„μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε."
ὣς λέγε· χἃ μὲν ἀπῆλθεν, ἐγὼ δ' ὅσα βουκολίασδον,
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
ὡς εὗρε πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἅνυσ' Ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον· ὃ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
θνατῶν ἀθανάτων τε πόθως καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτ' ἐδίδασκον,
ὅσσα δ' Ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

## X. (XVI.)

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωράν
ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντα λοχάσω·
ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συναρέσθαι.

## XI. (VIII.)

Ὄλβιοι οἱ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω παρεόντος,
εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο.
ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστας,
ὥνεκά οἱ ξυνὰς Πυλάδας ἅλητο κελεύθως.
ἦν μάκαρ Αἰακίδας ἑτάρω ζώοντος Ἀχιλλεύς·
ὄλβιος ἦν θνάσκων, ὅτι ἵμερον αἰνὸν ἄμυνεν.

## XII. (II.)

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι
ὄρνεα θηρεύων τὸν ὑπόπτερον εἶδεν Ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόησε,
χαίρων ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων
τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευε.
χὡ παῖς ἀσχαλάων, ὅκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τᾶνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη καὶ ἀμείβετο παῖδα·
„φείδεο τᾶς θήρας, μηδ' ἐς τόδ' ἔτ' ὄρνεον ἔρχευ.
φεῦγε μακράν. κακόν ἐστι τὸ θηρίον. ὄλβιος ἐσσῇ,
εἰσόκε μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ' αὑτῶ
ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι σεῖο καθιξεῖ.“

---

## XIII. (XVII.)

Ἅμερε Κυπρογένεια, Διὸς τέκος ἠὲ θαλάσσας,
τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπήχθεο καὶ τὶν αὐτᾷ,

ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τεκέσθαι,
ἄγριον ἄστοργον, μορφᾷ νόον οὐδὲν ὁμοῖον;
ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν,
ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

## XIV. (XIV.)

Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνέρι δ' ἀλκά.

## XV. (XII.)

Αὐτὰρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες
τῆνο ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρίσδων,
λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολειψῶ.

## XVI. (VII.)

Ἀμφασία τὸν Φοῖβον ἕλεν τόσον ἄλγος ἔχοντα.
δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν·
χρῖεν δ' ἀμβροσίᾳ καὶ νέκταρι, χρῖεν ἅπασαν
ὠτειλάν· μοιραῖα δ' ἀναλθέα τραύματα πάντα.

## XVII. (VI.)

### ΚΛΕΟΔΑΜΟΣ.

Εἴαρος ὦ Μύρσων ἢ χείματος ἢ φθινοπώρω
ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἁνίκα πάντα τελείεται ὅσσα μογεῦμες;
ἦ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἦ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοί
θαλπόμενοι θέλγονται ἀεργίᾳ τε καὶ ὄκνῳ.
ἦ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπέ, τί τοι φρήν
αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.

### ΜΥΡΣΩΝ.

Κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι·

πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ.
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νοσέρ' ὥρια τίκτει.
οὖλον χεῖμα φέρον νιφετὸν κρυμώς τε φοβεῦμαι.
εἶαρ ἐμοὶ τριπόθητον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χἀ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

## XVIII. (X.)

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

## XIX.

Πάντα θεῶ γ' ἐθέλοντος ἐναίσιμα, πάντα βροτοῖσιν
ἐκ μακάρων ῥᾷστα καὶ οὐκ ἀτέλεστα γένοντο.

# MOSCHI RELIQUIAE.

## I.

### Ε ὐ ρ ώ π η.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς,
ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων
λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ,
εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
τῆμος ὑπωροφίοισιν ἐνὶ κνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ ἔτι παρθένος Εὐρώπεια
ὠίσατ' ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι,
Ἀσίδα τ' ἀντιπέρην τε· φυὴν δ' ἔχον οἷα γυναῖκες.
τῶν δ' ἣ μὲν ξείνης μορφὴν ἔχεν, ἣ δ' ἄρ' ἐῴκει
ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης,
φάσκεν δ' ὥς μιν ἔτικτε καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
ἡ δ' ἑτέρη κρατερῇσι βιωομένη παλάμῃσιν
εἴρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον εἷο
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
ἣ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δέ
εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
„Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλεν;
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι,

τίς δ' ἦν ἡ ξείνη, τὴν εἴσιδον ὑπνώουσα;
ὥς μ' ἔλαβε κραδίην κείνης πόθος, ὥς με καὶ αὐτή
ἀσπασίως ὑπέδεκτο καὶ ὡς σφετέρην ἴδε παῖδα.
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρήνειαν ὄνειρον."
Ὣς εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας
ἥλικας οἰέτεας θυμήρεας εὐπατερείας,
τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν ἀναύρων,
ἢ ὁπότ' ἐκ λειμῶνος ἐΰπνοα λείρι' ἀμέργοι.
αἳ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο
τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια,
θηητὸν μάλα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
ἤιεν· ἣ δὲ πόρεν περικαλλέϊ Τηλεφαάσσῃ,
ἥτέ οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
μήτηρ Τηλεφάασσα περικλυτὸν ὤπασε δῶρον.
ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ,
εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναίην.
φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα,
νηχομένῃ ἰκέλη· κυάνου δ' ἐτέτυκτο θάλασσα.
δοιοῦ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
φῶτες ἀολλήδην, θηεῦντο δὲ ποντοπόρον βοῦν.
ἐν δ' ἦν Ζεὺς Κρονίδης ἐπαφώμενος ἠρέμα χερσί
πόρτιος Ἰναχίης, τὴν δ' ἑπταπόρῳ παρὰ Νείλῳ
ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
ἀργύρεος μὲν ἔην Νείλου ῥόος, ἡ δ' ἄρα πόρτις
χαλκείη, χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
ἀμφὶ δὲ δηνήεντος ὑπὸ στεφάνην ταλάροιο

Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ,
ταρσ' ὃς ἀναπλώσας ὡσείτέ τις ὠκύαλος νηῦς
χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
Αἳ δ' ἐπεὶ οὖν λειμῶνας ἐς ἀνθεμόεντας ἵκανον,
ἄλλη ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.
τῶν ἣ μὲν νάρκισσον ἐΰπνοον, ἣ δ' ὑάκινθον,
ἣ δ' ἴον, ἣ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
λειμώνων ἐαροτρεφέων θάλε' ἔσκε πετηλά.
αἳ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειραν
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσῃσιν ἄνασσα,
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
οὐ μὴν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.
ἦ γὰρ δὴ Κρονίδης ὥς μιν φράσαθ', ὡς ἐόλητο
θυμὸν ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης
παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι
κρύψε θεὸν καὶ τρέψε δέμας καὶ γείνετο ταῦρος,
οὐχ οἷος σταθμοῖς ἔνι φέρβεται, οὐδέ μεν οἷος
ὦλκα διατμήγει σύρων εὐκαμπὲς ἄροτρον,
οὐδ' οἷος ποίμνης ἔπι βόσκεται, οὐδέ μεν οἷος
ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
τοῦ δή τοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκε,
κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
ὄσσε δ' ὑπὸ γλαύσσεσκε καὶ ἵμερον ἀστράπτεσκεν.
ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου

τόνδε κατιθύνοντα πόρον προκέλευθον ἐμεῖο.
οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα."
Ὣς φάτο· τὴν δ' ὧδε προσεφώνεεν ἠΰκερως βοῦς·
„Θάρσει παρθενική, μὴ δείδιθι πόντιον οἶδμα.
αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἰ δοκέω μέν
ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι ὅττι θέλοιμι.
σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
ταύρῳ ἐειδόμενον· Κρήτη δέ σε δέξεται ἤδη,
ἥ μ' ἔθρεψε καὶ αὐτόν, ὅπῃ νυμφήια σεῖο
ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς φιτύσεαι υἷας,
οἳ σκηπτοῦχοι ἄνακτες ἐπὶ χθονίοισιν ἔσονται."
Ὣς φάτο· καὶ τετέλεστο τά περ φάτο. φαίνετο μὲν δή
Κρήτη, Ζεὺς δὲ πάλιν σφετέρην ἀνελάζετο μορφήν,
λῦσε δέ οἱ μίτρην, καί οἱ λέχος ἔντυνον Ὧραι.
ἡ δὲ πάρος κούρη Ζηνὸς γένετ' αὐτίκα νύμφη.

---

## II.

### Ἔρως δραπέτης.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
ὅστις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα —
δραπετίδας ἐμός ἐστιν — ὁ μανύσας γέρας ἑξεῖς
μισθόν τοι, τὸ φίλημα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν,
οὐ γυμνὸν τὸ φίλημα, τὺ δ' ὦ ξένε καὶ πλέον ἑξεῖς.
ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μαθήσῃ.
χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·

---

καὶ Κρονίδῃ τέκε τέκνα καὶ αὐτίκα γείνετο μήτηρ. 162

οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,
ἐν δὲ χολὰ νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδων.
εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ μέτωπον.
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
βάλλει κεἰς Ἀχέροντα καὶ εἰς Ἀΐδεω βασιλῆα.
γυμνὸς ὅλος τό γε σῶμα, νόος δέ οἱ εὖ πεπύκασται.
καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ,
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξω δὲ βέλεμνον,
τυτθὸν μὲν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντί
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμμε τιτρώσκει.
πάντα μὲν ἄγρια ταῦτα· πολὺ πλέον ἃ δ' ἀεὶ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα τὸν Ἅλιον αὐτὸν ἀναίθει.
ἤν τις ἕλῃ τῆνον, δήσας ἄγε μηδ' ἐλεήσῃς.
κἢν ποτίδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε. καὶ ἢν ἐθέλῃ σε φιλῆσαι,
φεῦγε· κακὸν τὸ φίλημα, τὰ χείλεα φάρμακον ἐντί.
ἢν δὲ λέγῃ „λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα",
μὴ τὺ θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

## III. (V.)

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὤνεμος ἀτρέμα βάλλῃ,
τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
ἐστὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἅ με γαλάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολλὸς βυθοῖ, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ μεμύκῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω,
γᾶ δέ μοι ἀσπαστά, χἀ δάσκιος εὔαδεν ὕλα,
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,

καὶ πόνος ἐστὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλ' ἐμοὶ τᾶς ἐγγύθεν ἆχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἄγριον, οὐχὶ ταράσσει.

## IV. (VI.)

Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ
σκιρτατᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ.
ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ,
καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἔσμυχ' ἐπαμοιβά.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ' ἃ ποίει.
ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
στέργετε τὼς φιλέοντας, ἵν' ἢν φιλέητε φιλῆσθε.

## V. (VII.)

Ἀλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν·
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ,
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένω ποταμοῖο.
κῶρος δειλοθέτας κακομάχανος αἰνὰ διδάσκων
καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν.

## VI. (VIII.)

Λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην,
καὶ ζεύξας ταλαεργὸν ὑπο ζυγὸν αὐχένα ταύρων
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διί· „πῖσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω."

# INCERTORUM IDYLLIA.

## Idyll. I. (Mosch. III.)

### Ἐπιτάφιος Βίωνος.

Αἴλινά μοι στοναχεῖτε νάπαι καὶ Δώριον ὕδωρ,
καὶ ποταμοὶ κλαίοιτε τον ἱμερόεντα Βίωνα.
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε,
ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις.
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμῶναι,
νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

α′ Ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
ὅττι Βίων τέθνακεν ὁ βουκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε καὶ ὤλετο Δωρὶς ἀοιδά.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

β′ Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
οἵαν ἐν ὑμετέροις ποτὲ κήδεσι γῆρυς ἄειδεν.
εἴπατε δ' αὖ κούραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν „ἀπώλετο Δώριος Ὀρφεύς.“
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

β′ Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
ἀλλὰ παρὰ Πλουτῆι μέλος Ληθαῖον ἀείδει.

ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἳ ποτε γαύρως
πλαζόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι. 25

γ' Σεῖο Βίων ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
καὶ Σάτυροι μύροντο μελάγχλαινοί τε Πρίηποι·
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν τέλος, αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇ 30
κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
μάλων οὐκ ἔρρευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
κάτθανε δ' ἐν κηρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ
τῶ μέλιτος τῶ σῶ τεθνακότος αὐτὸ τρυγᾶσθαι. 35
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

γ' Οὐ τόσον εἰναλίῃσι παρ' ἠόσι μύρατο δελφίν,
οὐδὲ τόσον ποκὰ κλαῦσεν ἐνὶ σκοπέλοισιν ἀητός, 38
ἀλκυονὶς δ' οὐ τόσσον ἐπ' αἴγεσιν ἴαχε κῆυξ, 40
οὐ τόσον οἰονόμοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς 43
ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις,
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος 45
ἀδονίδες πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν, 47
ἃς λαλέειν ἐδίδασκε, καθεζόμεναι δ' ἐπὶ πρέμνοις
ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
ὄρνιθες· „λυπεῖσθ' αἱ πενθάδες; ἀλλὰ καὶ ἡμεῖς.“ 50
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

---

οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών, 39

---

ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι. 41
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι κηρύλος ᾆδεν. 42

---

ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι. 46

δ' Τίς ποτε σᾷ σύριγγι μελίξεται ὦ τριπόθητε;
τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα; τίς θρασὺς οὕ-
τως;
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα,
ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἔτι βόσκετ' ἀοιδᾶς.
Πανὶ φέρω τὸ μέλισμα; τάχ' ἂν καὶ κεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

δ' Κλαίει καὶ Γαλάτεια τὸ σὸν τέλος, ἅν ποκ' ἔτερπες
ἑζομέναν πρὸς σεῖο παρ' ἠϊόνεσσι θαλάσσας.
οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας.
καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισιν
ἕζετ' ἐρημαίῃσι, βόας δέ τι σεῖο νομεύει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ε' Παντά τοι ὦ βούτα συγκάτθανε δῶρα τὰ Μοισᾶν,
παρθενικᾶν ἐρόεντα φιλήματα, χείλεα παίδων,
καὶ στυγνὸν περὶ σῶμα τεὸν κλαίουσιν Ἔρωτες.
* * * * * * * *
ἁ Κύπρις, φιλέει δὲ πολὺ πλέον ἢ τὸ φίλημα,
τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλησεν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ε' Τοῦτό τοι ὦ ποταμῶν λιγυρώτατε δεύτερον ἄλγος,
τοῦτο Μέλη νέον ἄλγος. ἀπώλετο πρᾶν τοι Ὅμηρος,
τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
μύρασθαι καλὸν υἷα πολυκλαύτοισι ῥεέθροις,
πᾶσαν δὲ πλῆσαι φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ς' Ἀμφότεροι παγαῖς πεφιλημένοι, ὃς μὲν ἔπινε

Παγασίδος κράνας, ὃ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
χὣ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα
καὶ Θέτιδος μέγαν υἷα καὶ Ἀτρείδαν Μενέλαον·
κεῖνος δ' οὐ πολέμους, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
καὶ βούτας ἐλίγαινε καὶ ἀείδων ἐνόμευε,
καὶ σύριγγας ἔτευχε καὶ ἁδέα πόρτιν ἄμελγε,
καὶ παίδων ἐδίδασκε φιλήματα, καὶ τὸν Ἔρωτα
ἔτρεφεν ἐν κόλποισι καὶ ἤρεε τὰν Ἀφροδίταν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ς' Πᾶσα Βίων θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα.
Ἄσκρη μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὗλαι
οὐ τόσον Ἀλκαίῳ περιμήνατο Λέσβος ἐραννά·
οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Τήϊον ἄστυ·
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλισμα κινύρεται ἁ Μυτιλάνα.
* * * * * * * *
* * * * * * * *
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ζ' * * * * * * * *
* * * * * * * *
* * * * * * * *
* * * * * * * *
ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς,

---

πάντες ὅσοις καπυρὸν τελέθει στόμα βωκολιασταί
ἐκ μοισᾶν σέο πότμον ἀνακλαίουσι θανόντος.
κλαίει Σικελίδας τὸ Σάμου κλέος· ἐν δὲ Κύδωσιν
ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι
δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς,

βουκολικᾶς ἀλλ', ἄντε διδάξαο σεῖο μαθητάς,
κλαρονόμος μώσας, τᾶς Δωρίδος· ᾇ με γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ζ' Αἰαῖ ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἠδὲ τὰ χλωρὰ σέλινα τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ' οἱ μεγάλοι καὶ καρτεροί, οἱ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
καὶ σὺ μὲν ὦν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
πῶς δ' ἐγὼ οὐ φθονέοιμι; τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

α' Φάρμακον ἦλθε Βίων ποτὶ σὸν στόμα φαρμακοειδές.
πῶς τευ τοῖς χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;
τίς δὲ βροτός, τοσσοῦτον ἀνάμερος ὥς κεράσαι τοι
ἢ δοῦναι λαλέοντι τὸ φάρμακον, οὐ φύγεν ᾠδάν;
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

Ἀλλὰ Δίκα κίχε πάντᾳ. ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
δάκρυσι καὶ τεὸν οἶτον ὀδύρομαι. εἰ δυνάμαν δέ,
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεύς,
ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κέ σ' ἴδοιμι, καὶ εἰ Πλουτῆι μελίσδῃ,
ὡς ἂν ἀκουσαίμαν, τί μελίσδεαι. ἀλλ' ἔτι Κώρᾳ
Σικελικόν τι λίγαινε καὶ ἁδύ τι βουκολιάζευ.
καὶ κείνα Σικελά, καὶ ἐν Αἰτναίαισιν ἔπαιζεν
ᾀόσι, καὶ μέλος ᾖδε τὸ Δώριον· οὐκ ἀγέραστος
ἐσσεῖθ' ἁ μολπά, χὡς Ὀρφεῖ πρόσθεν ἔδωκεν

ἁδέα φορμίζοντι παλίσσυτον Εὐρυδίκειαν,
καὶ σὲ Βίων πέμψει τοῖς ὥρεσιν. εἰ δέ τι κἠγών
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ κ' αὐτὸς ἄειδον.

---

## Idyll. II. (Theocr. XX.)

### Β ο υ κ ο λ ί σ κ ο ς.

Εὐνείκα μ' ἐγέλασσε θέλοντά μιν ἁδὺ φιλῆσαι,
καί μ' ἐπικερτομέοισα τάδ' ἔννεπεν· „Ἔρρ' ἀπ' ἐμεῖο.
βουκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν.
μή τύγέ μευ κύσσῃς τὸ καλὸν στόμα μηδ' ἐν ὀνείροις.
οἷα βλέπεις· ὁπότ' αὖ λαλέεις, ὡς ἀστικὰ παίσδεις,
ὡς τρυφέρ' αἰκάλλεις, ὡς κωτίλα ῥήματα φράσδεις·
ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι,
καὶ κακὸν ἐξόσδεις. ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς."
τοιάδε μυθίζοισα τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδε
χείλεσι μυχθίζοισα καὶ ὄμμασι λοξὰ βλέποισα,
καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρός
καὶ σοβαρόν μ' ἐγέλασσεν. ἐμοὶ δ' ἄφαρ ἔζεσεν αἷμα.
καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος ὡς ῥόδον ἔρσᾳ.
χἂ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον ὀργάν,
ὅττί με τὸν χαρίεντα κακὰ μωμήσαθ' ἑταίρα.
ποιμένες, εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδὺς ἴουλος
ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαξεν ὑπήναν,
χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο,

καὶ λευκὸν τὸ μέτωπον ἐπ᾽ ὀφρύσι λάμπε μελαίναις·
ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας,
καὶ δέμας αὖ πακτᾶς λιπαρώτερον, ἐκ στομάτων δέ
ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μέλι κηρῶ.
ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
κἢν αὐλῷ δονέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
καὶ πᾶσαι καλόν με κατ᾽ ὤρεα φαντὶ γυναῖκες,
καὶ πᾶσαί με φιλεῦντι· τὰ δ᾽ ἀστικά μ᾽ οὐκ ἐφίλησεν,
ἀλλ᾽, ὅτι βουκόλος ἐμμί, παρέδραμεν. ἦ οὔποτ᾽ ἀκούει,
χὼ καλὸς ὡς Διὸς υἱὸς ἐν ἄγκεσι πόρτιν ἔλαυνεν;
οὐκ ἔγνω δ᾽, ὅτι Κύπρις ἐπ᾽ ἀνέρι μήνατο βούτᾳ
καὶ Φρυγίοις ἐνόμευσεν ἐν ὤρεσι, καὖ τὸν Ἄδωνιν
ἐν δρυμοῖσι φίλησε καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν;
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βουκόλος; ὅντε Σελάνα
βουκολέοντα φίλησεν, ἀπ᾽ Οὐλύμπω δὲ μολοῖσα
λάθριον ἂν νάπος ἦλθε καὶ εἰς ὁμὰ παιδὶ κάθευδε.
καὶ τὺ Ῥέα κλαίεις τὸν βουκόλον. οὐχὶ δὲ καὶ τύ
ὦ Κρονίδα διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;
Εὐνείκα δὲ μόνον τὸν βουκόλον οὐκ ἐφίλησεν,
ἁ Κυβέλας κρέσσων καὶ Κύπριδος ἠδὲ Σελάνας.
μηκέτι μηδ᾽ ὦ Κύπρι τὸν ἁδέα μήτε κατ᾽ ἄστυ
μήτ᾽ ἐν ὄρει φιλέοι, μούνη δ᾽ ἀνὰ νύκτα καθεύδοι.

---

## Idyll. III. (Theocr. XXI.)

### Ἁ λ ι ε ῖ ς.

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει,
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.

*κἂν ὀλίγον νυκτός τις ἐπιμύσσησι, τὸν ὕπνον*
*αἰφνίδιον θορυβεῦσιν ἐπιπτάμεναι μελεδῶναι.*
*Ἰχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,*
*στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,*
*κεκλιμένοι κοίτῳ τῷ φυλλίνῳ· ἐγγύθι δ' αὐτοῖν*
*κεῖτο τὰ τᾶς θήρας ἀθλήματα, τοὶ καλαθίσκοι,*
*τοὶ κάλαμοι, τἄγκιστρα, τὰ φυκιόεντα δέλητα,*
*ὁρμιαὶ κύρτοί τε καὶ ἐκ σχοίνων λαβύρινθοι,*
*μήρινθοι κώπα τε γέρων τ' ἐπ' ἐρείσμασι λέμβος·*
*νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχύς, εἶμα τάπης τε.*
*οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς στόλος, οὗτος ὁ πλοῦτος.*
*οὐδὸς δ' οὐ κλῇθραν εἶχ', οὐ κύνα· πάντα περισσά,*
*πάντ' ἐδόκει τήνοις· ἁ γὰρ πενία σφας ἐτήρει.*
*οὐδεὶς δ' ἐν μέσσῳ γείτων πέλεν· ἁ δὲ παρ' αὐτάν*
*θλιβομέναν καλύβαν τραφερὰν προσέναχε θάλασσα.*
*κοὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα Σελάνας,*
*τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος, ἐκ βλεφάρων δέ*
*ὕπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον αὐδάν.*

*ΑΛΙΕΥΣ Α'.*

*Ψεύδοντ' ὦ φίλε πάντες, ὅσοι τὰς νύκτας ἔφασκον*
*τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς.*
*ἤδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.*
*μὴ λαθόμαν, τί τὸ χρῆμα χρόνων ταὶ νύκτες ἔχοντι.*

*ΑΛΙΕΥΣ Β'.*

*Ἀπφ', ἁλίως μέμφῃ τὸ καλὸν θέρος; οὐ γὰρ ὁ καιρός*
*αὐτομάτως παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον*
*ἁ φροντὶς κόπτοισα μακρὰν τὰν νύκτα ποιεῖ τοι.*

*ΑΛΙΕΥΣ Α'.*

*Ἆρ' ἔμαθες κρίνειν πόκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον.*
*οὔ σε θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον.*
*ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.*

εὖ γὰρ ἂν εἰκάξαις κατὰ τὸν νόον· οὗτος ἄριστος
ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
ἀλλ' ὡς καὶ σχολά ἐστι—τί γὰρ ποιεῖν ἂν ἔχοι τις
κείμενος ἐν φύλλοις ποτὶ κύματι μηδὲ καθεύδων,
ἀδὼν ἐν δρυμῷ, τὸ δὲ λύχνιον ἐν πρυτανείῳ·
φαντὶ γὰρ ἀγρυπνίαν τάδ' ἔχειν — θέλε δή ποτε νυκτός
ὄψιν, πᾷ τοι ἔοικε λέγειν, μανύεν ἑταίρῳ.
δειλινὸν ὡς κατέδαρθον, ἐν εἰναλίοισι πόνοισιν
— οὐκ ἦν μὰν πολύσιτος, ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ' — εἶδον ἐμαυτόν
ἐν πέτρᾳ μεμαῶτα, καθεζόμενος δ' ἐδόκευον
ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
καί τις τῶν τρυφερῶν ὠρέξατο· καὶ γὰρ ἐν ὕπνοις
πᾶσα κύων ἄρκτον μαντεύεται, ἰχθύα κἠγών.
χὢ μὲν τὠγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα,
τὸν κάλαμον δ' ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον·
τὼ χέρε τεινομένω περικλῶν νέμον εὐρὺν ἀγῶνα.
πῶς μὲν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις;
εἶθ' ὑπομιμνάσκων τῶ τρώματος ἠρέμ' ἔνυξα,
καὶ νύξας ἐχάλαξα, καὶ οὐ φεύγοντ' ἐνέτεινα.
ἤνυσ' ἑλὼν τὸν ἄεθλον, ἀνείλκυσα χρύσεον ἰχθῦν,
πάντα γέ τοι χρυσῷ πεπυκασμένον· εἶχε δὲ δεῖμα,
μήτι Ποσειδάωνι πέλει πεφιλημένος ἰχθῦς
ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτης.
ἠρέμα δ' αὐτὸν ἐγὼν ἐκ τὠγκίστρω ἀπέλυσα,
μὴ ποτὶ τῶ στόματος τὠγκίνια χρυσὸν ἔχοντι.
καὶ τὸν μὲν σπεύσας ὄκ' ἀνάγαγον εὐσπείρατον,
ὤμοσα μηκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,
ἀλλὰ μενεῖν ἐπὶ γᾶς καὶ τῷ χρυσῷ βασιλεύσειν.
ταῦτά με κἀξήγειρε, τὺ δ' ὦ ξένε λοιπὸν ἔρειδε
τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.

ΑΛΙΕΥΣ Β.
*καὶ σύγε τί τρέσσεις; οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθῦν*
*χρύσεον ὡς ἴδες εὗρες, ἴσα δ' ἦν ψεύδεσιν ὄψις.*
*εἰ — μὴ γὰρ κνώσσων — τὺ τὰ χωρία ταῦτα ματεύεις*
*Ὄλπις τῶν ὕπνων, ζάτει τὸν σάρκινον ἰχθῦν,*
*μὴ σὺ θάνῃς λιμῷ κἀπὶ χρυσοῖσιν ὀνείροις.*

---

## Idyll. IV. (Theocr. XIX.)

### Κ η ρ ι ο κ λ έ π τ η ς.

*Τὸν κλέπταν πότ' Ἔρωτα κακὰ κέντασε μέλισσα*
*κηρίον ἐκ σίμβλων συλεύμενον, ἄκρα δὲ χειρῶν*
*δάκτυλα πάνθ' ὑπένυξεν. ὃ δ' ἄλγεε καὶ χέρ' ἐφύση*
*καὶ τὰν γᾶν ἐπάταξε καὶ ἅλατο, τᾷ δ' Ἀφροδίτᾳ*
*δεῖξέ τε τὰν ὀδύναν καὶ μέμφετο, ὅττί γε τυτθόν*
*θηρίον ἐστὶ μέλισσα καὶ ἁλίκα τραύματα ποιεῖ.*
*χἀ μάτηρ γελάσασα· τί δ'; οὐκ ἴσος ἐσσὶ μελίσσαις,*
*ὡς τυτθὸν μὲν ἔῃς, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς;*

---

## Idyll. V. (Theocr. XXIII.)

### Ἐ ρ α σ τ ή ς.

*Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω*
*τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκέθ' ὁμοίω.*
*μίσει τὸν φιλέοντα καὶ οὐδὲ ἓν ἅμερον εἶχε,*
*κοὐκ ᾔδει τὸν Ἔρωτα, τίς ἦν θεός, ἁλίκα τόξα*
*χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ καὶ Δία βάλλει·*
*πάντα δὲ κἠν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής.*

οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥόδα μάλων,
οὐ λόγος, οὐχὶ φιλάματ' ἐκούφιζον τὸν ἔρωτα.
οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύησι κυνάγως,
οὕτως πάντ' ἐποίει ποτὶ τὸν βροτόν· ὤρια δ' αὐτῷ
χείλεα καὶ κῶραι δεινὸν βλέπος εἶχον ἀνάγκας·
τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο, φεῦγε δ' ἀπὸ χρώς
ὁ πρὶν τοῖς ῥέθεσιν περικείμενος. ἀλλὰ καὶ οὕτως
ἦν καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστάς.
λοίσθιον οὐκ ἤνεικε τόσαν φλόγα τᾶς Κυθερείας,
ἀλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
καὶ κύσε τὰν φλιάν, οὕτω δ' ἀντείνετο φωνᾷ·
„Ἄγριε παῖ καὶ στυγνέ, κακᾶς ἀνάθρεμμα λεαίνας,
λάϊνε παῖ καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον· οὐκέτι πάρ σέ
κῶρε θέλω αὖτίς ποχ', ὁρώμενος ἀλλὰ βαδίζω,
ἔνθα τύ μευ κατέκρινας, ὅπῃ λόγος ἦμεν ἀταρπόν
ξυνάν, τοῖσιν ἐρῶσι τὸ φάρμακον ἔνθα τὸ λᾶθον.
ἀλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
οὐδ' οὕτως σβέσσω τὸν ἐμὸν πόθον. ἄρτι δὲ χαίρειν
τοῖσι τεοῖς προθύροις ἐπιτέλλομαι. οἶδα τὸ μέλλον.
καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ· 29
καὶ κάλλος καλόν ἐστι τὸ παιδικόν, ἀλλ' ὀλίγον ζῇ. 32
ἥξει καιρὸς ἐκεῖνος, ὁπανίκα καὶ τὺ φιλάσεις,
ἁνίκα τὰν κραδίαν ὀπτεύμενος ἁλμυρὰ κλαύσεις.
ἀλλὰ τὺ παῖ καὶ τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
τοῖσι τεοῖσιν ἴδῃς τὸν τλάμονα, μή με παρένθῃς,

---

λευκὸν τὸ κρίνον ἐστί, μαραίνεται ἁνίκα πίπτει. 30
ἁ δὲ χιὼν λευκά, καὶ τάκεται ἁνίκα παχθῇ. 31

*στᾶθι δὲ καὶ βραχὺ κλαῦσον, ἐπισπείσας δὲ τὸ δάκρυ*
*λῦσον τᾶς σχοίνω με καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν*
*εἵματα καὶ κρύψόν με, τὸ δ' αὖ πύματόν με φίλασον,*
*κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα. μή με φοβαθῇς·*
*οὐ δύναμαι σίνειν σε, διαλλάξεις με φιλάσας.*
*χῶμα δέ μοι χῶσόν τι, τό μευ κρύψει τὸν ἔρωτα.*
*κἂν ἀπίῃς, τόδε μοι τρὶς ἐπαίασον· ὦ φίλε κεῖσαι.*
*ἢν δὲ θέλῃς, καὶ τοῦτο· καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.*
*γράψον καὶ τόδε γράμμα, τὸ σοῖς τοίχοισι χαράξω·*
*τοῦτον ἔρως ἔκτεινεν. ὁδοιπόρε, μὴ παροδεύσῃς,*
*ἀλλὰ στὰς τόδε λέξον· ἀπηνέα εἶχεν ἑταῖρον."*

*Ὧδ' εἰπὼν λίθον εἶσεν, ἐρεισάμενος δ' ἐπὶ τοίχῳ*
*ἄχρις γεισοπόδων, φοβερὸν λόχον ἅπτετ' ἀπ' αὐτῶν,*
*τὰν λεπτὰν σχοινῖδα, βρόχον δ' ἔμβαλλε τραχήλῳ,*
*τὰν ἕδραν δ' ἐκύλισεν ἀπαὶ ποδός, ἠδ' ἐκρεμάσθη*
*νεκρός. ὃ δ' αὖτ' ὤϊξε θύρας καὶ τὸν νεκρὸν εἶδεν*
*αὐλᾶς ἐξ ἰδίας ἠρτημένον, οὐδ' ἐλυγίχθη*
*τὰν ψυχάν, οὐ κλαῦσεν ἑὸν φόνον, ἀλλ' ἐπὶ νεκρῷ*
*εἵματα πάντ' ἐμίανεν, ἐφαβικὰ βαῖνε δ' ἐς ἆθλα*
*γυμνασίων, καὶ τῆδε φίλων ἐπεμαίετο λουτρῶν,*
*καὶ ποτὶ τὸν θεὸν ἦνθε, τὸν ὕβρισε· λαϊνέας δέ*
*ἵπτατ' ἀπὸ κρηπῖδος ἐς ὕδατα· τῷ δ' ἐφ' ὕπερθεν*
*ἅλατο τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον·*
*νᾶμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχετο φωνά·*
*„χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.*
*στέργετε δ' οἱ μισεῦντες· ὁ γὰρ θεὸς οἶδε δικάζειν."*

---

## Idyll. VI. (Bion. XV.)

### Ἐπιθαλάμιος Ἀχιλλέως καὶ Δηιδαμείας.

ΜΥΡΣΩΝ.

Λῆς νύ τί μοι Λυκίδα Σικελὸν μέλος ἁδὺ λιγαίνειν,
ἱμερόεν γλυκύθυμον ἐρωτικόν, οἷον ὁ Κύκλωψ
ἄεισεν Πολύφαμος ἐπ' ἠόνι τᾷ Γαλατείᾳ;

ΛΥΚΙΔΑΣ.

κἠμοὶ συρίσδεν Μύρσων φίλον· ἀλλὰ τί μέλψω;

ΜΥΡΣΩΝ.

Σκύριον ὃν Λυκίδα ζαλώμενος ᾆδες ἔρωτα,
λάθρια Πηλείδαο φιλάματα, λάθριον εὐνάν,
πῶς παῖς ἕσσατο φᾶρος, ὁμῶς δ' ἐψεύσατο μορφάν
καὶ νόμος ἐν κώραις Λυκομηδίσιν οὐκ ἀλεγοίσαις,
οὐδ' εὕδειν κατὰ παστὸν Ἀχιλλέα Δηιδαμείας.

ΛΥΚΙΔΑΣ.

Ἅρπασε τὰν Ἑλέναν πόθ' ὁ βουκόλος, ἆγε δ' ἐς Ἴδαν,
Οἰνώνῃ κακὸν ἄλγος. ἐχώσατο δ' ἁ Λακεδαίμων,
πάντα δὲ λαὸν ἄγειρεν Ἀχαϊκόν, οὐδέ τις Ἕλλην,
οὔτε Μυκηναίων οὔτ' Ἤλιδος οὔτε Λακώνων,
μεῖνεν ἑὸν κατὰ δῶμα, φέρον δὲ σὺν αἰνὸν Ἄρηα.
λάνθανε δ' ἐν κώραις Λυκομηδίσι μοῦνος Ἀχιλλεύς,
εἴρια δ' ἀνθ' ὅπλων ἐδιδάσκετο, καὶ χερὶ λευκᾷ
παρθενικὸν κόρον εἶχεν, ἐφαίνετο δ' ἠΰτε κώρα·
καὶ γὰρ ἴσον τήναις θηλύνετο, καὶ τόσον ἄνθος
χιονέαις πόρφυρε παρηίσι, καὶ τὸ βάδισμα
παρθενικῆς ἐβάδιζε, κόμας δ' ἐπύκαζε καλύπτρῃ.
θυμὸν δ' ἀνέρος εἶχε, καὶ ἀνέρος εἶχεν ἔρωτα.
ἐξ ἀοῦς δ' ἐπὶ νύκτα παρίζετο Δηιδαμείᾳ,
καὶ ποτὲ μὲν τήνας ἐφίλει χέρα, πολλάκι δ' αὐτᾶς

στάμονα καλὸν ἄειρε, τάχ' ἀδέα δὲ κρόκ' ἐπήνει·
ἤσθιε δ' οὐκ ἄλλα σὺν ὁμάλικι, πάντα δ' ἐποίει
σπεύδων κοινὸν ἐς ὕπνον. ἔλεξέ νυ καὶ λόγον αὐτάν
ἄλλαι μὲν κνώσσουσι σὺν ἀλλήλαισιν ἀδελφαί,
αὐτὰρ ἐγὼ μούνα, μούνα σὺ δὲ νύμφα καθεύδεις.
αἱ δύο παρθενικαὶ συνομάλικες, αἱ δύο καλαί
ἁμὰ μόναι κατὰ λέκτρα καθεύδομες· ἁ δὲ πονηρά
νὺξ ἅτα δολίᾳ με κακῶς ἀπὸ σεῖο μερίσδει.
οὐ γὰρ ἐγὼ σέο . . . . . .

---

## Idyll. VII. (Theocr. XXVII.)

### Ὀ α ρ ι σ τ ύ ς.

(Deest initium.)

ΚΟΡΗ.

Τὰν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βουκόλος ἄλλος.

ΔΑΦΝΙΣ.

μᾶλλον ἑκοῖσ' Ἑλένα τὸν βουκόλον ἐστὶ φιλεῦσα.

ΚΟΡΗ.

μὴ καυχῶ σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.

ΔΑΦΝΙΣ.

ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

ΚΟΡΗ.

τὸ στόμα μευ πλύνω καὶ ἀποπτύω τὸ φίλαμα.

ΔΑΦΝΙΣ.

πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω.

ΚΟΡΗ.

καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.

ΔΑΦΝΙΣ.

μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται ὡς ὄναρ ἥβη.

ΚΟΡΗ.

ἁ σταφυλὶς σταφὶς ἔστ', οὐδὲ ῥόδον αὖον ὀλεῖται.

ΔΑΦΝΙΣ.

δεῦρ' ὑπὸ τὰς κοτίνους, ἵνα σοί τινα μῦθον ἐνίψω. 10

ΚΟΡΗ.

οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἀδέϊ μύθῳ.

ΔΑΦΝΙΣ.

δεῦρ' ὑπὸ τὰς πτελέας, ἵν' ἐμᾶς σύριγγος ἀκούσῃς.

ΚΟΡΗ.

τὴν σαυτοῦ φρένα τέρπ'· ὀξύθροον οὐδὲν ἀρέσκει.

ΔΑΦΝΙΣ.

φεῦ φεῦ τᾶς Παφίας χόλον ἅζεο καὶ σύγε κώρα.

ΚΟΡΗ.

χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη. 15

ΔΑΦΝΙΣ.

μὴ λέγε, μὴ βάλλῃ σε καὶ ἐς λίνον ἄκριτον ἔνθῃς.

ΚΟΡΗ.

βαλλέτω ὡς ἐθέλει· πάλιν Ἄρτεμις ἄμμιν ἀρήγει. 17

ΔΑΦΝΙΣ.

οὐ φεύγεις τὸν Ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλη. 19

ΚΟΡΗ.

φεύγω ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείραις. 20

ΔΑΦΝΙΣ.

δειμαίνω, μὴ δή σε κακωτέρῳ ἀνέρι δώσει.

---

μήπιβάλῃς τὴν χεῖρα, καὶ εἰσέτι χεῖλος ἀμύξω. 18

ΚΟΡΗ.

πολλοί μ' εὖ μνώοντο, νόον δ' ἐμὸν οὔτις ἐκήλει.

ΔΑΦΝΙΣ.

εἷς καὶ ἐγὼ πολλῶν μνηστὴρ τεὸς ἐνθάδ' ἱκάνω.

ΚΟΡΗ.

καὶ τί φίλος ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.

ΔΑΦΝΙΣ.

οὐκ ὀδύνην, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.

ΚΟΡΗ.

ναὶ μάν φασι γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.

ΔΑΦΝΙΣ.

μᾶλλον ἀεὶ κροτέουσι· „τίνα τρομέουσι γυναῖκες;“

ΚΟΡΗ.

ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθυίης.

ΔΑΦΝΙΣ.

ἀλλὰ τεὴ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.

ΚΟΡΗ.

ἀλλὰ τεκεῖν τρομέω, μὴ καὶ χροα καλὸν ὀλέσσω.

ΔΑΦΝΙΣ.

ἢν δὲ τέκῃς φίλα τέκνα, νέον φάος ὄψεαι ἥβας.

ΚΟΡΗ.

καὶ τί μοι ἕδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;

ΔΑΦΝΙΣ.

πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα καὶ νομὸν ἕξεις.

ΚΟΡΗ.

ὄμνυε μὴ μετὰ λέκτρα λιπὼν ἀέκουσαν ἀπενθεῖν.

ΔΑΦΝΙΣ.

οὐ μαὐτὸν τὸν Πᾶνα, καὶ ἢν ἐθέλῃς με διῶξαι.

ΚΟΡΗ.

τεύχεις μοι θαλάμους, τεύχεις καὶ δῶμα καὶ αὐλάς;

ΔΑΦΝΙΣ.

τεύχω σοι θαλάμους· τὰ δὲ δώματα καλὰ νομεῦσι.

ΚΟΡΗ.

πατρὶ δὲ γηραλέῳ τίνα μάν, τίνα μῦθον ἐνίψω;

ΔΑΦΝΙΣ.

αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούσῃ.

ΚΟΡΗ.

οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολλά κε τέρποι.

ΔΑΦΝΙΣ.

Δάφνις ἐγώ, Λυκίδας τε πατήρ, μήτηρ δὲ Νομαίη.

ΚΟΡΗ.

ἐξ εὐηγενέων· ἀλλ' οὐ ἔθεν εἰμὶ χερείων.

ΔΑΦΝΙΣ.

οἶδ', ἄκρα τιμίη ἐσσί, πατὴρ δέ τοί ἐστι Μενάλκας.

(Desunt quaedam.)

ΚΟΡΗ.

δεῖξον ἐμοὶ ἔθεν ἄλσος ὅπῃ. πόθεν ἵσταται αἶας;

ΔΑΦΝΙΣ.

δεῦρ' ἴδε, πῶς ἀνθεῦσιν ἐμαὶ ῥαδιναὶ κυπάρισσοι.

ΚΟΡΗ.

αἶγες ἐμαὶ βόσκεσθε, τὰ βουκόλω ἔργα νοήσω.

ΔΑΦΝΙΣ.

ταῦροι καλὰ νέμεσθ', ἐμὰ παρθένῳ ἄλσεα δείξω.

ΚΟΡΗ.

τί ῥέζεις σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μαζῶν;

ΔΑΦΝΙΣ.

μᾶλα τίνα πράτιστα τάδε χνοάοντα διδάξω.

ΚΟΡΗ.

ναρκῶ ναὶ τὸν Πᾶνα. τεὴν πάλιν ἔξελε χεῖρα.

ΔΑΦΝΙΣ.

θάρσει κῶρα φίλα. τί μοι ἔτρεμες; ὡς μάλα δειλά.

ΚΟΡΗ.

βάλλεις εἰς ἀμάραν με καὶ εἵματα καλὰ μιαίνεις.

ΔΑΦΝΙΣ.

ἀλλ' ὑπὸ σοὺς πέπλους ἁπαλὸν νάκος ἠνίδε βάλλω.

ΚΟΡΗ.

φεῦ φεῦ καὶ τὰν μίτραν ἀπ' ὀσφύος; ἐς τί δ' ἔλυσας;

ΔΑΦΝΙΣ.

τᾷ Παφίᾳ πράτιστον ἐγὼ τόδε δῶρον ὀπάζω.

ΚΟΡΗ.

μίμνε τάλαν· τάχα τίς τοι ἐπέρχεται· ἦχον ἀκούω.

ΔΑΦΝΙΣ.

ἀλλήλαις λαλέουσι τεὸν γάμον αἱ κυπάρισσοι.

ΚΟΡΗ.

ἀμπεχόνην ποίησας ὅλον ῥάκος· εἰμὶ δὲ γυμνά.

ΔΑΦΝΙΣ.

ἄλλην ἀμπεχόνην τῆς σῆς τοι μείζονα δώσω.

ΚΟΡΗ.

φῄς μοι πάντα δόμεν· τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.

ΔΑΦΝΙΣ.

αἴθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν.

ΚΟΡΗ.

Ἄρτεμι, μὴ νεμέσα σοῖς ῥήμασιν οὐκέτι πιστῇ.

ΔΑΦΝΙΣ.

ῥέξω πόρτιν Ἔρωτι καὶ αὐτὰν βοῦν Ἀφροδίτᾳ.

ΚΟΡΗ.

παρθένος ἔνθα βέβηκα, γυνὴ δ' εἰς οἶκον ἀφέρπω.

ΔΑΦΝΙΣ.

ἀλλὰ γυνὴ μήτηρ, τεκέων τροφός, οὐκέτι κώρα.
Ὣς οἳ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν
ἀλλήλοις ψιθύριζον. ἀνύετο φώριος εὐνή.
χἢ μὲν ἀνεγρομένη σῖγ' ἔστιχε μᾶλα νομεύειν
ὄμμασιν αἰδομένοις, κραδίη δέ οἱ ἔνδον ἰάνθη,
ὃς δ' ἐπὶ ταυρείας ἀγέλας κεκορημένος εὐνᾶς.

---

## Idyll. VIII. (Mosch. IV.)

### *Μ ε γ ά ρ α.*

„Μῆτερ ἐμή, τίφθ' ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις
ἐκπάγλως ἀχέουσα, τὸ πρὶν δέ τοι οὐκέτ' ἔρευθος
σῴζετ' ἐπὶ ῥεθέεσσι; τί μοι τόσον ἠνίησαι;
ἦρ' ὅ τοι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱός
ἀνδρὸς ὕπ' οὐτιδανοῖο, λέων ὡσείθ' ὑπὸ νεβροῦ;
ὤμοι ἐγώ, τί νυ δή με θεοὶ τόσον ἠτίμασσαν
ἀθάνατοι; τί νύ μ' ὧδε κακῇ γονέες τέκον αἴσῃ;
δύσμορος, ἥτ' ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν
ἠδ' ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν·
τοῦ δ' οὔτις γένετ' ἄλλος ἀποτμότερος ζωόντων,
οὐδὲ τόσων σφετέρῃσιν ἐγεύσατο φροντίσι κηδέων.
σχέτλιος, ὃς τόξοισιν, ἅ οἱ πόρεν αὐτὸς Ἀπόλλων
ἠέ τινος Κηρῶν ἢ Ἐρινύος αἰνὰ βέλεμνα,

παῖδας ἑοὺς κατέπεφνε καὶ ἐκ φίλον εἵλετο θυμόν
μαινόμενος κατὰ οἶκον, ὃ δ' ἔμπλεος ἔσκε φόνοιο.
τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
βαλλομένους ὑπὸ πατρί, τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ.
οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
μητέρ' ἐήν, ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
ὡς δ' ὄρνις δύρηται ἐπὶ σφετέροισι νεοσσοῖς
ὀλλυμένοις, οὕστ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
θάμνοις ἐν πυκινοῖσι κατεσθίῃ· ἣ δὲ κατ' αὐλάς
πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,
οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
ὣς ἐγὼ αἰνοτόκεια φίλον γόνον αἰάζουσα
μαινομένοισι πόδεσσι δόμον κάτα πολλὸν ἐφοίτων.
ὥς γ' ὄφελον μετὰ παισὶν ἅμα θνήσκουσα καὶ αὐτή
κεῖσθαι φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχουσα,
* * * *

Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
τῷ χ' ἡμέας κλαύσαντε φίλῃσ' ἐνὶ χερσὶ τοκῆες
πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπέβησαν ὁμοίης,
καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
λέξαντες κατέθαψαν, ὅθι πρῶτον γενόμεσθα.
νῦν δ' οἳ μὲν Θήβην ἱπποτρόφον ἐνναίουσιν
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες·
αὐτὰρ ἐγὼ Τίρυνθα κάτα κραναὴν πόλιν Ἥρης
πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδ' ἴ' ἐρωή.
ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
οἴκῳ ἐν ἡμετέρῳ· πολέων γάρ οἱ ἔργον ἑτοῖμον
μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
μοχθίζει πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου

καρτερὸν ἐν στήθεσσι· σὺ δ' ἠΰτε λείβεται ὕδωρ,
νύκτας τε κλαίουσα καὶ ἐκ Διὸς ἦμαθ' ὁπόσσα.
ἄλλος μὰν οὐκ ἄν τις ἐϋφρήναι με παραστάς
κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τεῖχος ἐέργει.
καὶ λίην πάντές γε πέρην πιτυώδεος Ἰσθμοῦ
ναίουσ', οὐδέ μοί ἐστι πρὸς ὅντινά κε βλέψασα
οἷα γυνὴ πανάποτμος ἀναψύξαιμι φίλον κῆρ,
νόσφί γε δὴ Πύρρης συνομαίμονος· ἢ δὲ καὶ αὐτή
ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχνυται Ἰφικλῆι,
σῷ υἱεῖ· πάντων γὰρ ὀϊζυρώτατα τέκνα
γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.“
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
κύκλον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο,
μνησαμένη τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
ὣς δ' αὔτως δακρύοισι παρήια λεύκ' ἐδίαινεν
Ἀλκμήνη· βαρὺ δ' ἦγε καὶ ἐκ θυμοῦ στενάχουσα
μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
„Δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
πευκαλίμαις; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω
κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὐ νῦν πρῶτα κέ-
κλαυται.
ἢ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ
γεινομένοις; μάλα μέν γε φιλοφληνής κέ τις εἴη,
ὅστις ἀριθμήσειν ἓν ἐφ' ἡμετέροις ἀχέεσσι
θαρσοίη· τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
καὶ δ' αὐτὴν ὁρόω σε φίλον τέκος ἀτρύτοισιν
ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοί εἰμι
ἀσχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι ἠδ' ἐλεαίρω,
οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
ὅσθ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
ἴστω γὰρ Κούρη τε καὶ εὐέανος Δημήτηρ,

ἅς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσαι
δυσμενέων, μηθέν σε χερειότερον φρεσὶν ᾗσι
στέργειν ἢ εἴπέρ μοι ὑπὲκ νηδυιόφιν ἦλθες
καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα.
οὐδ' αὐτήν γέ νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.
τῶ μή μ' ἐξείπῃς πότ' ἐμὸν θάλος, ὥς σευ ἀκηδέω,
μηδ' εἴ κ' ἠϋκόμου Νιόβης πυκινώτερα κλαίω.
οὐθὲν γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι
μητέρι δυσπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον
πρὶν ἤπέρ τ' ἰδέειν μιν, ὑφ' ἥπατι εἴσω ἔχουσα,
καί με πυλάρταο σχεδὸν ἤγαγεν Αἰδωνῆος·
ὧδέ ἑ δυστοκέουσα κακὰς ὠδῖνας ἀνέτλην.
νῦν δέ μοι οἴχεται υἱὸς ἐπ' ἀλλοτρίης νέον ἆθλον
ἐκτελέων· οὐδ' οἶδα δυσάμμορος, εἴτέ μιν αὖτις
ἐνθάδε νοστήσανθ' ὑποδέξομαι, εἴτε καὶ οὐκί.
πρὸς δ' ἔτι μ' ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
ὕπνον· δειμαίνω δὲ παλίγκοτον ὄψιν ἰδοῦσα
ἐκπάγλως, μή μοί τι τέκνοις ἀποθύμιον ἕρπῃ.
εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσί
παῖς ἐμὸς ἀμφοτέρῃσι, βίη Ἡρακληείη·
τῇ μεγάλην ἐλάχαινε δεδεγμένος ὡς ἐπὶ μισθῷ
τάφρον τηλεθάοντος ἐπ' ἐσχατιῇ τινος ἀγροῦ,
γυμνὸς ἄτερ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου
καρτερὸν οἰνοφόροιο πονεύμενος ἕρκος ἀλωῆς,
ἤτοι ὃ λίστρον ἔμελλεν ἐπὶ προὔχοντος ἐρείσας
ἀνδήρου καταδῦναι, ἃ καὶ πάρος εἵματα ἕστο·
ἐξαπίνης δ' ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
πῦρ ἄμοτον, περὶ δ' αὐτὸν ἀθέσφατος εἱλεῖτο φλόξ.
αὐτὰρ ὅγ' αἰὲν ὀπίσθε θοοῖς ἀνεχάζετο ποσσίν,
ἐκφυγέειν μεμαὼς ὀλοὸν βέλος Ἡφαίστοιο·
αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς ἠΰτε γέρρον

νώμασκεν μακέλην· περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα
πάπταινεν, μὴ δή μιν ἐπιφλέξει δήιον πῦρ.
τῷ μὲν ἀοσσῆσαι λελιημένος, ὥς μοι ἔϊκτο,
Ἰφικλέης μεγάθυμος ἐπ' οὔδεϊ κάππεσ' ὀλισθὼν
πρὶν ἐλθεῖν, οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡσείτ' ἀμενηνός,
ὄντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπές
καππεσέειν· κεῖται δ' ὅγ' ἐπὶ χθονὸς ἔμπεδον αὔτως,
εἰσόκέ τις χειρός μιν ἀνειρύσσῃ παριόντων
αἰδεσθεὶς ὄπιδα τρομερὴν πολιοῖο γενείου.
ὣς ἐν γῇ λελίαστο σακεσπάλος Ἰφικλείης·
αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
παῖδας ἐμούς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαινόλις ἦλθε.
τοῖα φίλη μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
παννυχίη· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο
οἴκου ἄφ' ἡμετέροιο, γένοιτο δὲ μάντις ἐκείνῳ
θυμὸς ἐμός, μηδ' ἄλλο παρὲκ τελέσειέ τι δαίμων."

---

## Idyll. IX. (Theocr. XXV.)

### Ἡ ρ α κ λ ῆ ς   Λ ε ο ν τ ο φ ό ν ο ς.

* * * * *

Τὸν δ' ὁ γέρων προσέειπε βοῶν ἐπίουρος ἀροτρεύς
παυσάμενος ἔργοιο, τό οἱ μετὰ χερσὶν ἔκειτο·
„Ἔκ τοι ξεῖνε πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο·
τὸν γάρ φασι μέγιστον ἐπουρανίων κεχολῶσθαι,
εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
ποῖμναι μὲν βασιλῆος ἐΰτριχες Αὐγείαο

οὐ πᾶσαι βόσκονται ἴαν βόσιν οὐδ' ἕνα χῶρον·
ἀλλ' αἳ μέν ῥα νέμονται ἐπ' ὄχθαις ἀμφ' Ἐλισοῦντος,
αἳ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
αἳ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἳ δὲ καὶ ὧδε·
χωρὶς δὲ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.
αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης
πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι
Μηνίου ἂμ μέγα τῖφος, ἐπεὶ μελιηδέα ποίην
λειμῶνες θαλέθουσιν ὑπόδροσοι εἰαμεναί τε
εἰς ἅλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
αὖλις δέ σφισιν ἥδε τεῆς ἐπὶ δεξιὰ χειρὸς
φαίνεται εὖ μάλα πᾶσι πέρην ποταμοῖο ῥέοντος,
κείνῃ ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι
χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
ἱρὸν ἄγαλμ' ὦ ξεῖνε, τελειοτάτοιο θεοῖο.
εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις
δέδμηνθ', οἳ βασιλῆι πολὺν καὶ ἀθέσφατον ὄλβον
ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
ἔσθ' ὅτε βάλλοντες καὶ τετραπόλοισιν ὁμοίως.
οὔρους μὴν ἴσχουσι φυτοσκάφοι οἱ πολύεργοι,
ἐς ληνοὺς δ' ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
πᾶν γὰρ δὴ πεδίον τόδ' ἐπίφρονος Αὐγείαο,
πυροφόροι τε γύαι καὶ ἀλωαὶ δενδρήεσσαι,
μέχρι ἐπ' ἐσχατιὰς πολυπίδακος ἀκρωρείης,
ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
ἣ δίκη οἰκήων, οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῦ.
ἀλλὰ σύ πέρ μοι ἔνισπε, τό τοι καὶ κέρδιον αὐτῷ
ἔσσεται, οὔτινος ὧδε κεχρημένος εἰλήλουθας,
ἠέ τι Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
δίζεαι, οἵ οἱ ἔασιν. ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
ἀτρεκέως εἴποιμ', ἐπεὶ οὐ σέγέ φημι κακῶν ἔξ
ἔμμεναι οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν,

οἷόν τοι μέγα εἶδος ἐπιπρέπει. ἦρά νυ παῖδες
ἀθανάτων τοιοῖδε μετὰ θνητοῖσιν ἔασι.“
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός·
„Ναὶ γέρον Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Ἐπειῶν
εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
εἰ δ' ὃ μὲν ἂρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις
δήμου κηδόμενος, διὰ δὲ κρίνουσι θέμιστας,
δμώων δή τινα πρέσβυ σύ μοι φράσον ἡγεμονεύσας,
ὅστις ἐπ' ἀγρωτῶν γεραρώτερος αἰσυμνήτης,
ᾧ κε τὸ μὲν εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
ἄλλου δ' ἄλλον ἔθηκε θεὸς ἐπιδευέα φωτῶν.“
Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο δῖος ἀροτρεύς·
„Ἀθανάτων ὦ ξεῖνε φραδῇ τινος ἐνθάδ' ἱκάνεις,
ὥς τοι πᾶν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
ὧδε γὰρ Αὐγείης, υἱὸς φίλος Ἠελίοιο,
σφωιτέρῳ σὺν παιδί, βίῃ Φυλῆος ἀγαυοῦ,
χθιζὸς δ' εἰλήλουθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
κτῆσιν ἐποψόμενος, ἥ οἱ νήριθμος ἐπ' ἀγρῶν·
ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
ἀλλ' ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τοι ἡγεμονεύσω
αὖλιν ἔφ' ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα.“
Ὣς εἰπὼν ἡγεῖτο, νόῳ δ' ἔτι πόλλ' ἐμενοίνα,
δέρμά τε θηρὸς ὁρῶν χειροπληθῆ τε κορύνην,
ὁππόθεν ὁ ξεῖνος· μεμόνει δέ μιν αἰὲν ἔρεσθαι·
ἂψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
μή τί οἱ οὐ κατὰ καιρὸν ἔπος προτιμυθήσαιτο
σπερχομένου· χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
ἀμφότερον ὀδμῇ τε χροὸς δούπῳ τε ποδοῖιν.
θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος
Ἀμφιτρυωνιάδῃ Ἡρακλέϊ· τὸν δὲ γέροντα

ἄγριον ἀσπάζοντο περίσσαινόν θ' ἑτέρωθεν.
τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθονὸς ὅσσον ἀείρων
φευγέμεν ἂψ ὀπίσω δειδίσσετο, τρηχὺ δὲ φωνῇ
ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ,
χαίρων ἐν φρεσὶν ᾗσιν, ὁθούνεκεν αἰὲν ἔρυντο
αὖλιν κοὺ παρεόντος· ἔπος δ' ὅγε τοῖον ἔειπεν·
„Ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες
θηρίον ἀνθρώποισι μετέμμεναι, ὡς ἐπιπειθές.
εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
ᾔδει δ', ᾧ τε χρὴ χαλεπαινέμεν ᾧ τε καὶ οὐκί,
οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
νῦν δὲ λίην ζάκοτόν τι καὶ ἀρρηνὲς γένετ' αὔτως.“
Ἦ ῥα, καὶ ἐσσυμένως ποτὶ τωὔλίον ἷξον ἰόντες.

* * *

Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους
δείελον ἦμαρ ἄγων· τὰ δ' ἐπήλυθε πίονα μῆλα
ἐκ βοτάνης ἀνιόντα μετ' αὐλία τε σηκούς τε.
αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ' ἄλλαις
ἐρχόμεναι φαίνονθ' ὡσεὶ νέφη ὑδατόεντα,
ἅσσά τ' ἐν οὐρανῷ εἶσιν ἐλαυνόμενα προτέρωσε
ἠὲ νότοιο βίῃ ἠὲ Θρηκὸς βορέαο·
τῶν μέν τ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίνετ' ἰόντων,
οὐδ' ἄνυσις· τόσα γάρ τε μέγα προτέρωσε κυλίνδει
ἶς ἀνέμου, τὰ δέ τ' ἄλλα κορύσσεται αὖτις ἐπ' ἄλλοις·
τόσσ' αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι' ᾔει.
πᾶν δ' ἄρ' ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι
ληίδος ἐρχομένης — στείνοντο δὲ πίονες ἀγροί —
μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
εἰλιπόδων, ὄϊες δὲ κατ' αὐλὰς ηὐλίζοντο.
ἔνθα μὲν οὔτις ἕκηλος ἀπειρεσίων περ ἐόντων
εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
ἀλλ' ὃ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσι

κωλοπέδας ἀράρισκε περισταδόν, ἐγγὺς ἀπέργων·
ἄλλος δ' αὖ νέα τέκνα φίλαις ὑπὸ μητράσιν ἵει
πινέμεναι λαροῖο μεμαότα πάγχυ γάλακτος,
ἄλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν,
ἄλλος ἐσῆγεν ἔσω ταύρους δίχα θηλειάων.
Αὐγείης δ' ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους,
ἥντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες,
σὺν δ' υἱός τε βίη τε βαθύφρονος Ἡρακλῆος
ὡμάρτευν βασιλῆι διερχομένῳ μέγαν ὄλβον.
ἔνθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμόν
Ἀμφιτρυωνιάδης καὶ ἀρηρότα νωλεμὲς αἰεί
ἐκπάγλως θαύμαζε θεῶν τόγε μυρίον ἔδνον
εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
ἀνδρὸς ληίδ' ἑνὸς τόσσην ἔμεν οὐδὲ δέκ' ἄλλων,
οἵτε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ἠέλιος δ' ᾧ παιδὶ τόγ' ἔξοχον ὤπασε δῶρον,
ἀφνειὸν μήλοις περὶ πάντων ἔμμεναι ἀνδρῶν,
καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
ἐς τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνου
βουκολίοις, αἵτ' ἔργα καταφθείρουσι νομήων,
αἰεὶ δὲ πλέονες κεραοὶ βόες, αἰὲν ἀμείνους
ἐξ ἔτεος γίνοντο μάλ' εἰς ἔτος· ἦ γὰρ ἅπασαι
ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.
ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο
κνήμαργοί θ' ἕλικές τε, διηκόσιοι γέ μεν ἄλλοι
φοίνικες· πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο
ἱεροὶ Ἠελίοιο· χρόην δ' ἔσαν ἠΰτε κύκνοι
ἀργησταί, πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν·
οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
ἐν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
καί ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες

ἐς πεδίον δρυμοῖο βοῶν ἕνεκ' ἀγροτεράων,
πρῶτοι τοίγε μάχην δὲ κατὰ χροὸς ἥεσαν ὀσμήν,
δεινὸν δ' ἐβρυχῶντο φόνον λεῦσσόν τε προσώπῳ.
τῶν μέν τε προφέρεσκε βίηφί τε καὶ σθένεϊ ᾧ
ἠδ' ὑπεροπλίῃ Φαέθων μέγα, τόν ῥα βοτῆρες
ἀστέρι πάντες ἔϊσκον, ὁθούνεκα πολλὸν ἐν ἄλλοις
βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
ὃς δή τοι σκύλος αὖον ἰδὼν χαροποῖο λέοντος
αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐΰσκόπῳ Ἡρακλῆι
χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.
τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
σκαιοῦ ἄφαρ κέραος, κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
κλάσσε βαρύν περ ἐόντα, πάλιν δέ μιν ὦσεν ὀπίσσω
ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ περὶ νεῦρα τανυσθεὶς
μυὼν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
θαύμαζεν δ' αὐτός τε ἄναξ υἱός τε δαΐφρων
Φυλεὺς οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἄνδρες,
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.

* * *

Τὼ δ' εἰς ἄστυ λιπόντε καταυτόθι πίονας ἀγρούς
ἐστιχέτην, Φυλεύς τε βίη θ' Ἡρακληείη.
λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου,
λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
ἥ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμῶν τετάνυστο
οὔτι λίην ἀρίσημος ἐν ὕλῃ χλωρὰ θεούσῃ,
τῇ μιν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
Αὐγείω φίλος υἱὸς ἕθεν μετόπισθεν ἰόντα,
ἦκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
„Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκού-σας,
εἴ σεῦ περ, σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι.

ἤλυθε γὰρ στείχων τις ἀπ' Ἄργεος ὡς μέσος ἀκμῆς
ἐνθάδ' Ἀχαιὸς ἀνὴρ Ἑλίκης ἒξ ἀγχιάλοιο,
ὃς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
οὕνεκεν Ἀργείων τις ἔθεν παρεόντος ὄλεσσε
θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιό παρ' ἄλσος,
οὐκ οἶδ' ἀτρεκέως ἢ Ἄργεος ἒξ ἱεροῖο
αὐτόθεν ἢ Τίρυνθα νέμων πόλιν ἠὲ Μυκήνην,
ὡς κεῖνός γ' ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν,
εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι, ἐκ Περσῆος.
ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων
ἠὲ σέ, δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
εἴπ' ἄγε νῦν μοι πρῶτον, ἵνα γνώω κατὰ θυμόν,
ἥρως, εἴτ' ἐτύμως μαντεύομαι εἴτε καὶ οὐκί,
εἰ σύγ' ἐκεῖνος, ὃν ἧμιν ἀκουόντεσσιν ἔειπεν
οὑξ Ἑλίκηθεν Ἀχαιός, ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
εἰπὲ δ' ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
ὅππως τ' εὔυδρον Νεμέης εἰσήλυθε χῶρον·
οὐ μὲν γάρ κε τοσόνδε κατ' Ἀπίδα κνώδαλον εὕροις
ἱμείρων ἰδέειν, ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
ἀλλ' ἄρκτους τε σύας τε λύκων τ' ὀλοφώϊον ἔθνος.
τῶ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
οἳ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο
γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν."
Ὣς εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
Φυλεύς, ὄφρα κιοῦσιν ἅμά σφισιν ἄρκιος εἴη,
καί ῥά τε ῥηίτερον φαμένου κλύοι Ἡρακλῆος,
ὅς μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
„Ὦ Αὐγηιάδη, τὸ μὲν ὅττί με πρῶτον ἀνείρευ,
αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου

ὅππως ἐκράανθεν, ἐπεὶ λελίησαι ἀκούειν,
νόσφιν γ' ἢ ὅθεν ἦλθε· τὸ γὰρ πολέων περ ἐόντων
Ἀργείων οὐδ' εἷς κεν ἔχοι σάφα μυθήσασθαι·
οἷον δ' ἀθανάτων τίν' ἐΐσκομεν ἀνδράσι πῆμα
ἱρῶν μηνίσαντα Φορωνήεσσιν ἐφεῖναι.
πάντας γάρ, πίσῃ τις ἐπικλύζων ποταμὸς ὥς,
λῖς ἄμοτον κεράιζε, μάλιστα δὲ Βεμβιναῖοι
οἳ ἕθεν ἄγχιστα κλαῖον ἄτλητα παθόντες.
τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς, κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν κοίλην τε φαρέτρην
ἰῶν ἐμπλείην νεόμην, ἑτέρηφι δὲ βάκτρον
εὐπαγὲς αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο
ἔμμητρον, τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
εὑρὼν σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζαις.
αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅθι λῖς ἦεν, ἵκανον,
δὴ τότε τόξον ἑλὼν στρεπτὴν ἐπέλασσα κορώνῃ
νευρείην, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
πάντῃ δ' ὄσσε φέρων ὀλοὸν τέρας ἐσκοπίαζον,
εἴ μιν ἐσαθρήσαιμι πάρος τί με κεῖνον ἰδέσθαι.
ἤματος ἦν τὸ μεσηγύ, καὶ οὐδ' ὅπῃ ἴχνια τοῖα
φρασθῆναι δυνάμην οὐδ' ὠρυθμοῖο πυθέσθαι.
οὐδέ μεν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
οὐ μὴν πρὶν πόδας ἔσχον ὄρος τανύφυλλον ἐρευνῶν,
πρὶν ἰδέειν ἀλκῆς τε μεταυτίκα πειρηθῆναι.
ἤτοι ὃ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
βεβρωκὼς κρειῶν τε καὶ αἵματος, ἀμφὶ δὲ χαίτας
αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον
στήθεά τε, γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
αὐτὰρ ἐγὼ θάμνοισιν ἄφαρ σκιεροῖσιν ἐκρύφθην

ἐν τρίβῳ ὑλήεντι δεδεγμένος ὁππόθ' ἵκοιτο,
καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν ἐς κενεῶνα
τηΰσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
ὀκριόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
αὐτὰρ ὃ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρε,
θαμβήσας, πάντῃ δὲ διέδραμεν ὀφθαλμοῖσι
σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπ' ὀδόντας ἔφηνε.
τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον
ἀσχαλόων, ὥς μ' ὁ πρὶν ἐτώσιος ἔκφυγε χειρός·
μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πλεύμονος ἕδρη.
ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός,
ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὔτως.
τὸ τρίτον αὖ μέλλεσκον ἀσώμενος ἐν φρεσὶν αἰνῶς
αὐερύειν· ὃ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις
θὴρ ἄμοτος, μακρὴν δὲ περ' ἰγνύῃσιν ἕλιξε
κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
σκυζομένῳ, κυρτὴ δὲ ῥάχις γένετ' ἠΰτε τόξον,
πάντοθεν εἰληθέντος ὑπὸ λαγόνας τε καὶ ἰξύν.
ὡς δ' ὅτ' ἂν ἁρματοπηγὸς ἀνὴρ πολέων ἴδρις ἔργων
ὅρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκτεάνοιο,
θάλψας ἐν πυρὶ πρῶτον, ἵν' ἀξόνι' ᾖ κύκλα δίφρῳ·
τοῦ μὲν ὑπὲκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεός
καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησε σὺν ὁρμῇ·
ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο
μαιμώων χροὸς ἆσαι· ἐγὼ δ' ἑτέρηφι βέλεμνα
χειρὶ προεσχεθόμην καὶ ἀπ' ὤμων δίπλακα λώπην,
τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας
ἤλασα κὰκ κεφαλῆς, διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὅγε πρὶν ἔμ' ἱκέσθαι
ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη

νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσέ οἱ ἄμφω
ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
τὸν μὲν ἐγὼν ὀδύνῃσι παραφρονέοντα βαρείαις
νωσάμενος, πρὶν αὖτις ὑπότροπον ἀμπνυνθῆναι,
αὐχένος ἀρρήκτοιο περ' ἰνίον ἤχμασα προφθάς,
ῥίψας τόξον ἔραζε πολύρραπτόν τε φαρέτρην·
ἦγχον δ' ἐγκρατέως στιβαρὰς σὺν χεῖρας ἐρείσας
ἐξόπιθεν, μὴ σάρκας ὑποδρύψῃ ὀνύχεσσι,
πρὸς δ' οὖδας πτέρνῃσι ποδῶν στερεῶς ἐπίεζον
οὐραίην ἐπιβάς, πλευρῇσί τε κῆρ' ἐφύλασσον,
μέχρι ὅγ' ἐξεκάπυσσε βραχίονα ῥόχθον ἀείρας
ἄπνευστον, ψυχὴν δὲ πελώριος ἔλλαχεν Ἅιδης.
καὶ τότε δὴ βούλευον, ὅπως λασιαύχενα βύρσαν
θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρυσαίμην,
ἀργαλέον μάλα μόχθον, ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
τμητὴ οὐδὲ λίθοις πειρωμένῳ, οὐδέ μεν ἄλλῃ.
ἔνθά μοι ἀθανάτων τις ἐπὶ φρεσὶ θῆκε νοῆσαι
αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν
ἕρκος ἐνυαλίου ταμεσίχροος ἰωχμοῖο.
οὗτός τοι Νεμέου γένετ' ὦ φίλε θηρὸς ὄλεθρος,
πολλὰ πάρος μήλοις τε καὶ ἀνδράσι κήδεα θέντος."

Bei B. G. Teubner in Leipzig ist erschienen und in allen Buchhandlungen zu haben:

# Handbuch
der
# Religion und Mythologie
der Griechen und Römer.

**Für Gymnasien bearbeitet**

von

**Heinrich Wilhelm Stoll,**
Conrector am Gymnasium zu Weilburg.

Mit 12 Tafeln Abbildungen.

**Dritte sehr verbesserte und vermehrte Auflage.**

8. geh. Preis 1 Thlr. In Parthien von 6 Exemplaren à 24 Ngr.
Elegant gebunden 1 Thlr. 10 Ngr.

Es fehlte bisher an einem Buche, welches, auf dem heutigen Standpunkte der Wissenschaft stehend, die Religion und Mythologie der Griechen und Römer speciell für die Bedürfnisse der Gelehrtenschulen darzustellen versucht hätte, indem die vorhandenen mythologischen Lehrbücher entweder noch ganz in der alten Zeit fussen oder, wie die Handbücher von Heffter und Schwenck, über den Kreis der Schule weit hinausgehen. Die vorliegende Schrift ist mit besonderer Rücksicht auf die Oberclassen der Gymnasien abgefasst. In möglichster Kürze sucht der Verfasser eine Darstellung der griechischen Mythologie und Religion auf der Stufe der Entwickelung zu geben, auf welche sie durch Homer und Hesiod gehoben worden ist und auf der sie während der Blüthezeit des hellenischen Lebens stand. Doch ist bei den einzelnen Gottheiten auch

auf die weniger entwickelten Vorstellungen einer frühern Zeit oder localer Culte, sowie auf die Ausartuugen späterer Zeit hingewiesen und durch einen kurzen einleitenden Theil der Entwickelungsgang der griechischen Religion selbst in allgemeinen Umrissen geschildert worden. Um den Zwecken des Gymnasiums völlig zu genügen, ist in dieser neuen wesentlich verbesserten und vermehrten Auflage die **Römische Mythologie** ebenfalls **ausführlich** behandelt worden.

Die beigegebenen Kupfertafeln enthalten Abbildungen von Antiquen nach O. **Müller's** und **Oesterley's** Denkmälern der alten Kunst, und ein vollständiges Register erleichtert das Nachschlagen.

Alle bis jetzt erschienenen Beurtheilungen sprechen sich einstimmig dahin aus, dass der Verfasser seinen Zweck vollkommen erreicht und einem allgemein gefühlten Bedürfnisse genügend abgeholfen habe. In England und Dänemark sind Uebersetzungen des Buchs erschienen, ein Beweis, dass dasselbe auch im Auslande die ihm gebührende Anerkennung gefunden hat.

---

# CORPUS
# POETARUM EPICORUM GRAECORUM

CONSILIO ET STUDIO

**ARMINII KOECHLY**

EDITUM.

---

**VOL. IV**

# APOLLONII RHODII
## ARGONAUTICA

EDIDIT

**R. MERKEL**

LIPSIAE
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLII.

# APOLLONII RHODII

# ARGONAUTICA

AD COD. MS. LAURENTIANUM

RECENSUIT

R. MERKEL.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLII.

Apollonii διόρθωσιν dare volui, quales scimus a veteribus grammaticis adcurari solitas eorum poetarum, quos deinde enarraturi et emendaturi essent: vel potius eam ipsam recensionem, quam illi grammatici huius carminis reliquerunt, paulum quidem usibus nostris adcommodatam. Cuius rei novitas et difficultas non dubito, quin errorum benignum numerum proseminaverit, qui laborem quamvis pervicacem effugerint, in novorum exemplarium munditie mox sint emersuri. Itaque tantisper reliquis grammatici officiis, quae διόρθωσιν subsequuntur, supersedendum putavi, dum de hac re certius constiterit. Deinde repetetur editio maiore cultu: adiicietur unus an alter prolegomenon liber de insigni huius poetae ad quaestiones Homericas, qui minus adhuc apparuit, usu. Interim si forte eius legendi non maior erit ardor eruditorum, quam usque adhuc fuit, libellus tamen Teubnerianus inspici et versari aliquo cum fructu poterit. Certe earum rerum, quae ad διορθωτικὸν et ἀναγνωστικὸν veterum pertinent, adeo ante oculos exposita summa nondum fuit: quotiens spes facta expositum iri, singulari aliquo casu ad irritum cecidit. Arcadii περὶ τόνων undeviginti aut viginti libri editi sunt, vicesimus primus, qui secundum πίνακα praefixum eam doctrinam continebat, reperiri non potuit. Villoisonius cum Iliadem codicis Veneti Marc. 454 per Jo. Antonium Col[illegible]edendum curaret, passus est omitti accentus cum maximo horum studiorum incommodo ac detrimento, quod resarciri iampridem oportuit.

Codex bibliothecae Florentinae Laurent. plut. 32, 9 is est, qui ab eadem manu Sophoclem, Aeschylum, Apollonium continet cuiusque per Elmsleium maxime praestantia innotuit. Apollonii collatio ab Ang. Mar. Bandinio olim confecta per Wellauerum edita est, quae pro illa aetate non fuit indiligens. Sed pleniorem transmissam habui a Franc. del Furia, viro illustri, de nostratium studiis identidem egregie merito: postremo Henricus Keilius in itinere Italico librum eximium magna cura et intelligentia semel iterumque perlustratum excussit mihique suum exemplar ultro non pretio, sed, ut aiebat, amicitiae iure uten-

dum obtulit. Haec igitur collatio cum plurima alia plane in cognita ex eo libro, tum illam accentuum novitatem protulit, quae in hoc volumine primum, posthac fortasse in aliis conspicietur. Scilicet, quantum ex libris accuratius iam collatis apparere videtur, Harleiano Odysseae, Palatino Anthologiae, tragicis Laurentiani libri, vestigia eius etiam alibi extant satis luculenta. Verendum tamen est, ut praeter epicos usquam firmiori vestigio insisti possit. In ipsis epicis, atque adeo in ipso Apollonio saeculo decimo diversa secuti sunt grammatici. Huius altera fuit recensio, cuius discrimina plus quinquaginta locis in Laurentiano 9 a prima manu adnotantur; tota extat in codice Laurentiano 32, 16 et in Guelferbytano. Differt in his, quod liquidae non geminantur, *ν ἐφελκ.* nisi ad hiatum vitandum non admittitur, iota subscr. omittitur, *οὐδέ* et *μηδέ* ubique coniunctim, *πέρι* pro *περιώσσῶς* cum anastrophe scribitur, oxytona in extremis versibus acuuntur, subtiliora de anastrophe et enclisi praecepta fere negliguntur. Horum pleraque in codice Veneto Villoisonii, qui eiusdem cum Laurent. 9 aetatis est, deprehendi videntur: de liquidis testatur Villoisonius praef. p. IV; littera paragogica ita fere expressa est; iota si in ordine adscriberetur, ut in Laurentiano fit, credo a Villoisonio alicubi adnotatum esset, subscriptum ubique, ut in exemplari Coletiano legitur, certe non fuit. Reliquorum si forte eadem sit convenientia, illam rationem putaverim noviciorum Aristarcheorum: codicis Laurentiani origo indidem repetenda erit, unde scholia.

Utut est, faciam quod Villoisonius praetermisit, ut earum maxime rerum, quarum ratio et vetustas vel aliunde comperta est, vel ex ipso codice evincitur, conspectum exhibeam.

---

De prosodia grammaticorum Alexandrinorum, quae pars potior est *τοῦ ἀναγνωστικοῦ*, doctas dissertationes habemus K. Lehrsii viri perillustris: quibus quae explicita sunt, clara et perspicua eadem prodierunt ex codice Laurentiano, poteruntque hoc loco recognosci. Quae reliqua sunt, pleraque delitescunt et extenuantur, ut adeo de gravissimis quibusdam in praesens sit ampliandum.

*Πυθὼ δέ, κρήνην δέ* et similia extant in cod. Laur. vicies quinquies eo, quo edidi, modo et quo grammatici praecipiunt:

undecies ita ut commemorat Apollonius de adv. p. 592, 30, quae ἀχώριστος σύνταξις appellatur An. Bekk. 702, 13, coniunctim cum duplici accentu; ita etiam ἅλαδέ, quod probat Apoll. de adv. p. 589, 27: quater fere vulgatum in modum, ποταμόνδε, qui gliscere coepit iam Herodiani aetate, siquidem scriptum invenit Il. *Π* 445 ὅνδε. Archetypum cod. Laur. ad vetera illa τονικὰ παραγγέλματα exactum fuisse videtur, de quibus Apoll. 593, 19, quae cuiuscumque fuerunt, sine dubio separandas voces et duas esse partes orationis monebant. neque improbabile est, maxime alia quaedam reputanti, Apollonium poetam ipsum inter primos de ea particula rationem iniisse; qui locos Homericos singulos nullo omisso imitatus sit; qui *B* 192 λευκανίην δέ dixerit ad exemplum correctionis Aristophanis Byzantii Od. *Ξ* 349 aut suae ipsius Il. *Δ* 97. Incertus sum, habeatne cod. Laur. *Γ* 53 τὸ δ' ἱκάνετον, quod ex Apoll. de adv. 591, 3 a diorthota inferri potuit: poetam fecisse a Zenodoto inductum Il. *Σ* 385 non credo.

In ἧ θέμις librarium cod. Laur. Apollonii et Herodiani praeceptis usum esse apparet. noviens cum inveniatur, quater emendate, reliquis locis levi cum discrimine extat, nusquam adscripto ι. Scribitur tamen etiam praeter illam formulam ἧ pro ὥς *Γ* 189, 1406, ceterum ᾗ τοπικὸν saepissime. noviciorum grammaticorum hunc conatum Lehrsius existimat. Apollonius poeta quid statuerit, vix satis liquet. Scripsit ἧ θέμις, ὡς ἐπέοικεν et τῶς γὰρ θέμις: praeterea vero anxie reddidit Homerica, Od. *Ω* 286 *B* 802 et *Δ* 692 itidem *Δ* 692, devitato ἧτε θέμις Od. *I* 268, quod Apollonius Dysc. de adv. 559, 6 pro ἅτε, et Herodianus Il. *O* 365 pro ἠύτε acceperunt.

De ἦ — ἦ dubitativo quae a veteribus technicis praecipiuntur, minus quam expectes disertim exhibentur. Leguntur emendate in enunciato non suspenso *Γ* 12, 14, leviter corrupta *Γ* 676, sq., 1073, sq. *Δ* 4. In sententia pendente bis inveniuntur, sed utrobique alterum vitiose, *B* 77, *Γ* 399. Quod genus Lehrsius p. 62 med. commemoravit, uno loco *B* 246 recte traditum est, octo aliis restituendum fuit. Memorabilis praeterea usus particulae ἦ pro εἰ, quem exhibui *Δ* 491 *Γ* 730, posthabui *Γ* 402, 815. Ἦρα, cuius a Lehrsio p. 58 mentio facta est, extat distincte in cod. Laur. *Γ* 558.

Ἐπεὶ ἤ recte servatum est in Laur.: τί ἤ duobus locis vulgarem in modum in Laur. et Guelf. corruptum; tertio in Laur. τί ῆ in Guelf. τί ἥ legitur; quarto, *B* 624, in Laur. ἤ omissum propter sequens μ̄, unde deinde interpolatae scripturae τί μοί τοι, τί δή μοι profluxerunt: at in Guelf. tantumnon recte τί ἤ μοι. Ἕηος quo uno loco extat, ad veterem normam exaratum est.

Praepositionum vulgaris anastrophe post substantivum, pronomen, verbum raro neglecta in codice. quae corrigenda putavi, eorum bona pars in disceptationem de tmesi aut enallage venire possit. Numquam gravatur διά, numquam τρίχρονοι, ὑπαί, ἀμφί, παρέξ (quod fortasse cum reliquis eiusdem modi non recte coniunctim dedi). Numquam, quae apostrophum habent sine interpunctione, praeterquam bis aut ter vitio. Numquam, quae a casu verbove suo interiecta voce distant, nisi sequatur interductus ut *B* 636 *Δ* 1355, et praeter *Δ* 492 et duo illa quae apostrophum habere dixi. Numquam, quae abundant, velut fortassis *B* 301 *Γ* 1016, 1247 *Δ* 1134, 1415, quandoquidem licentiam, non adverbialem usum veteres intellexisse videntur. Sed nec quae pro adverbiis sunt anastrophen admittunt praeter quidem ἀπο pro ἄποθεν et περι pro περισσῶς, quorum illud praepositum nihil mutat in codice, ne *B* 253 quidem, postpositum mutat *Γ* 907, 912: πέρι deprehenditur tantum *Γ* 74 *Δ* 1381. Monosyllaborum accentus plane leges Herodianeas sequuntur, et absunt in media oratione, ἐκ *A* 1212 *B* 50, 1153, 1167 *Δ* 708, ὥς *A* 240, 546 *Γ* 1322 *Δ* 1143, ἐν *Δ* 13, 316, ἐς *Δ* 521, οὐ *A* 8 alibi. acutus ponitur in fine versus *B* 267, 1025, contra atque in reliquis fit oxytonis, et ante interpunctionem *Δ* 1336, non *Γ* 141: excidit etiam *B* 568 *Γ* 181. Gravis semel reperitur ante hypodiastolen *A* 770 ἢν, ποτὲ et praeterea *A* 1297 *B* 910 *Γ* 1123 *Δ* 1614. In praepositionibus medio inter substantivum et adiectivum loco positis possit Ptolemaei Ascalonitae ratio observata videri, cum post substantivum persaepe omittitur accentus, post pronomen et adiectivum haud raro retrahitur. verumtamen illud negligentia librarii factum, hoc ex inferioris aetatis doctrina fluxisse puto: sunt enim plerique loci eiusmodi, ut *Δ* 427, 986, 1093, 1137, 1142, ubi hyperbato intercedente propius ab adiectivo aut pronomine abest praepositio quam a substantivo, quod adeo ad metricam artem ali-

quid conferre infra demonstrabitur. Ratio vero metrica docet Apollonium Aristarchi de hac anastrophe legem secutum esse. Namque si reliquorum normam adhibeas *A* 70, 329, 1207 *B* 168, 646, 707, 860, 1059 *Γ* 57, 327, 389, 689 *Δ* 704, 1009, nascitur incisio intolerabilis, quam *A* 94 rectissime expunxerunt Gerhardus et Wellauerus. Contra nisi *Γ* 851, 1127 *Δ* 954 anastrophe utaris, aut si utaris *Δ* 782, perditur lex una metrica peculiaris Apollonio; altera vero, si *Γ* 411, 549, 703, 914 *Δ* 922, 944 ab Aristarcho discedas.

In enclisi ad Herodiani praecepta quaedam aeque arguta et subtilia accedunt, nihil autem eorum, quae recentioris aetatis esse constat, velut inclinatum *δέ*, accentus alter in properispomeno omissus, alia, quae in cod. Guelf. deprehenduntur. Observatur igitur primum illud, quod ab Aristarcho repetitur, ut paroxytonon quod trochaica est mensura, accentum accipiat in ultima; negligitur in *ὄφρα* quater, in *οὔτε* ter, in *ἔνθα* bis et praeterea *A* 357 bis, 381, 432, 677, 703 *B* 873 *Γ* 836 *Δ* 805, 1570: aliis locis, *A* 80, 135, 432, 1083 *B* 523, 1143 *Δ* 1570, spondeorum qui *θέσει* sunt rationem habitam paene crediderim, contra Herodiani exemplum *ἄλλός τις* apud Arcad. 146, 5; nec nisi bis, si memini, scribitur *ἄλσός τι*, *Ἀργός τε*. Illud etiam contra diserta Herodiani verba, An. Bekk. 1143, 18, fit, cum quae per geminationem metricam trochaica facta sunt, *ὅττι*, *ὅσσα*, *ὅ ρρα*, alterum accentum respuunt ubique praeter *A* 84 et, quod me invito mutatum est, *B* 185 *ὅσσά οἱ*; scripsit ita Aristarchus Il. *Z* 289. Contra quod tribus locis occurrit *ἠΰτέ τις*, sicut reddidi, factum puto *προλήψει τοῦ διῃρῆσθαι*, secundum disputationem Apoll. de adv. 559, 33 et 560, 6. Excipiuntur a veteribus (Lehrs. p. 104, 106) ab illa regula verbum *ἐστί*, quod non memini extare apud Apollonium post trochaicam vocem, et pronomina a $\overline{\sigma\varphi}$ incipientia, quae in pyrrhichium inclinantur, *A* 60 *Δ* 554, 1448; nolui obtemperare *Δ* 343 *εὐδιαλή σφεας*. — Encliticam quae locum suum mutavit placuit non inclinari; pertinent huc fortasse *A* 705, 714 *ὄφρα τί οἱ*, 871 *τὶς ἑλὼν θεός*, quae mutavi, *Γ* 918 quod reddidi: minime in his sibi constat codex. Post praepositionem ne umquam inclinetur, diligenter cautum, etiam in iis, quae a $\overline{\sigma\varphi}$ incipiunt, et *ἐπὶ οἱ* *A* 740 *B* 92, 1038; recte tamen *A* 1025 et *Δ* 1669 errori de

reflexivo consultum. Illud, quod Lehrsius in annotatione p. 109 aliquot locis Homericis docte adstruxit, saepissime apud Apollonium usu venit, *Α* 111, 131, 455, 754, 1231, 1327 *Β* 122, 305, 705, 1191 *Γ* 869, 1042, 1238 *Δ* 169, 223, 547, 1064, 1541: erratum in cod. tantum erat *Δ* 1191 propter ea quae sequuntur. Tertia causa intermissae inclinationis est emphasis, relatio ad subiectum, cetera. pronomen antecedens epitagmaticon *αὐτός* accentum habet *Γ* 331, vel ex sententia Ascalonitae, vel quia *σέθεν* ita scribi solet, neque aliter apud Apollonium extat, uti nec *σέο*, nisi quidem fallor. At *μοι αὐτῷ* est *Γ* 171, *οἱ αὐτῷ* *Γ* 626; *σφᾶς αὐτούς* *Β* 961, vid. Lehrs. p. 124 ann. In antidiastole post *μέν* legitur enclitica *Γ* 32. Quod est *Α* 980 *ὃ μὲν σφέων* non adversatur Buttmanno Lexil. I, p. 61. *Β* 798 fortassis rectius se haberet *οὐδὲ ἕ*. In relatione ad subiectum vix erratum in codice praeter *Δ* 181 *ὄφρά ἑ* et, quod controversum, *Β* 31 *τό ῥα οἵ τις*. — Ad ea, quae Lehrsius a p. 122 recensuit, pertinent haec: *τοι* enclitica *Δ* 30: *ὑμιν* clare extat *Γ* 314, alias semper *ὕμμιν*: *ἥμιν* perperam *Γ* 1110, alias ubique *ἧμιν* aut *ἡμῖν*. — Denique Herodianea illa de concursu encliticarum, Lehrs. p. 128, diligenter observantur *Β* 1030 *Γ* 603, 918 *Δ* 1455. Accedit vero alterum hoc in codice, ut si duas encliticas antecedat proclitica, ea accentum non sustineat; quod ne dubium aut fortuitum putemus, facit primum constantia librarii, *Α* 171 *αἰ*, 204, 770, 1208, 1339 *Β* 230, 333 *Γ* 485, 693, 755, 1025, 1166, 1231, 1322 *Δ* 389, 1365, 1562, 1751, 1774; accedit plerumque codex Guelferbytanus, qui eum ipso Laurentiano utique negligit eam rem *Α* 689, 807, 1333 *Γ* 493 *Δ* 417, 1680, solus autem tuetur *Α* 875 *Γ* 895 *Δ* 1333, 1340, 1457. Deinde admodum consentaneum hoc dixeris legi illi de pronominibus post praepositiones, quae et ipsae sunt procliticae, non inclinandis nisi intercedat particula: neque enim recte ita dici puto, praepositiones efficere *ὀρθοτόνησιν*, Ap. de pron. 52 c. Procliticam, quae numquam desinit esse oxytonon, sustinere accentum encliticae rursusque sese applicare ad vocabulum plenissimo accentu instructum ex aequo convenit. Quamobrem cum in cod. Laur. ubique *οὔτέ τι, εἴτέ μιν* legatur, putavi particulam *τε* a pronominibus et particulis monosyllabis non esse separandam. — Particulae *νῦν, νυν* in codice sequuntur Hero-

diani legem praeter unum locum. *τέῳ* semel scriptum perperam *B* 671, scribendum fortassis fuit *B* 1092. Accentus qui eduntur *Γ* 1060 *Δ* 319 sunt in codice; *B* 1060 in cod. Laur., *Δ* 1377 in Guelf.

Quod Lehrsius p. 133 commemoravit, veteres scripsisse *τοῦσδε, οἷδε*, schol. Il. *I*, 167, egregie confirmatur per codicem Laur., cuius cum librarius interdum ad vulgarem consuetudinem aberraverit, extat tamen frequentissime *περισπασμὸς* ille omnibusque in casibus et personis praeter quidem *τᾶσδε*. occurrit etiam *ἧδε δέ τις Δ* 1442, de quo Lehrs. p. 134. Aliquanto rariora neque tamen infrequentia sunt *ἥγε, τῆνγε, ταῖγε, τοῦσγε*, quae et ipsa vetusta esse constat.

Ad caput quartum Lehrsii p. 135 faciunt haec. Adverbia in *ες* Apollonius novit plurima, *παλιμπετές, παλιντυπές, συνεχές, ἀτρεκές, παναπρεκές, ἠνεκές*, quemadmodum in cod. Laur. scribitur *B* 1264 *εὐρὺ ῥέοντα* cum Apoll. de adv. p. 614, 20: neque tamen secundum eundem cod. abstinuit a syncope illa Callimachea, de qua Lehrs. p. 138: scriptum est *Δ* 1189 *νεοζυγές*, hoc accentu, estque notius adiectivum *νεοζυγής* quam *νεόζυξ*. Extat *ἀκηδέες* utrobique, *Δ* 556 et *Γ* 597, et *προςκηδέος Γ* 588, vid. Lehrs. p. 155. In *εὐήκης* semel exhibetur Herodianus *B* 101, semel Ascalonita *Δ* 1055, cuius modi discrimina servare institueram, si per operas licuisset. *Ζαχρηεῖς* ubique, *ζαχρήεσιν* a manu priore. De *ἀπηρής Δ* 888 nihil in codice superest praeter accentum, vid. Lehrs. p. 157. *Προβαθής* scripsi cum codice *Δ* 283 pro *προβαθύς*, ut a *βριθὺς* est *ἐμβριθής*. *Αἴγειαι* recte est *Δ* 890.

Quae in Museo Rhen. 1843, p. 340—343 Lehrsius adiecit, insunt et ipsa in codice, sed singulis locis. *τὼ* extat *Δ* 827, fuitque sine dubio recipiendum: quod ubique dedi *τῶ* nititur sane aliqua auctoritate, vix tamen cod. Laurentiani, qui *ι* subscriptum semper, si memini, habet, de qua re dubitare non debui: codex Villoisonii plerumque id omittit. *Ἄσσον*, de quo etiam Lobeck. Paral. p. 401, Lehrs. ad Herod. p. 129, deprehenditur *B* 107, alibi *ἄσσον* et ubique *παρᾶσσον*. *Ἐΰ* est *Δ* 1199 et sine accentu *ἐυ Δ* 356.

Aeque et proba et vetusta sunt, quae ex codice deprompsi, *ἄσθμα*, vid. Herod. *περὶ διχρ.* 297, 10, Lobeck Paral. p. 75

ann. Lehrs. ad Her. p. 331: ἀνῖαι, cuius vocalis nusquam apud Apollonium corripitur; postquam Λ 1216 emendavimus: τἆλλα. vid. Mehlhorn. gr. gr. p. 98 ann.: νηλίπος magis dubium.

Vetusta sunt et magna constantia in cod. L. tradita ὦλλοι, vid. sch. Il. Κ 1, l. 17; semel in L. ὤλλοι, in Guelf. ubique ὦλλοι: discrimen factum inter αὔτως, αὕτως, ὅμως, ὁμῶς, fortassis adeo inter αὖθις et αὖτις, in quibus rarissime codicem deserui: nec me movit Choerobosci aut schol. B Il. Δ 306 auctoritas, quominus ἀργέσταο, ἀργεστᾶο cum cod. L. contrario atque vulgo praecipitur modo ederem, quae res notabilis etiam visa Lobeckio Paral. p. 273: cod. Guelph. sequitur et adscriptum habet illud scholion. πτερύγος, non πτέρυγος scriptum Δ 931; vid. Lehrsii Aristarchum p. 312.

In reliquis valde fluctuatur inter Herodianea et ea quae Herodianum improbasse et correxisse scimus. πλημμυρίς, cuius consonantes ad cod. fidem edidi, πελανός, κολῳός, ἀπορρώξ, ἐρωῆλαι, ληίς, εὖνις, alia cum Herodiani examussim sint, non sunt Σινδοί, Ὠρικός, Σαλαγγών, φύλακος, vid. schol. Δ 322, Arcad. p. 48, 9; περὶ μον. 20, 21; schol. Il. Φ 141, Arc. p. 10, 20; schol. Il. Ω 566, quorum quaedam ex ipso Apollonio petivisse credibile est: de πλατάγη dubium, vid. schol. B 1057, Lob. Path. p. 15; de δῖψα magis etiam. χαμᾶζε Herodianus in Il. pros. probavit, χαμάζε, quod edidi, in usu fuisse testatur anecd. Gram. Ox. 3, 279, 18, Arcad. 183, 14. ἐπιζαφελόν convenit certe cum ἐπιζαφελῶς, Il. pros. Ι 516. Spiritus conveniunt fere cum Herodiano, ἵστωρ, ἱέρση, ἄρσενε; aut ubi differunt in ἄδην, ἀδινός, ἄμυδις, εἱαμενή coarguuntur ex tenuis aut aspiratae usu in elisionibus: id cum in ἅρμενος me fugisset, edidissemque plerisque locis uti extat in codice, contra Herodiani auctoritatem, sustinui semel, quod factum nollem, tenuem aspirata mutare. ἀραιός tamen eodem argumento edidi ex cod. contra Herodianum. ἵεμαι, quod περὶ μον. λ. 33, 26 est, extat in codice, rarius quidem. — Interaspirationem, quae saepissime in codice expressa est, omisi, quia manifesto a librario profecta, qui compositorum omnium impatiens fuisse videtur. ῤῥ in mediis vocabulis ut plurimum adest et agnoscitur ab Arcadio et Porphyrio; extat tamen etiam ρρ satis frequenter. crasi in diphthongo οὐ deest fere semper coronis.

Hactenus de prosodia. De ipsa orthographia singillatim dicendi finis nullus foret. generatim quaedam moneri satis est. Adsimilationem praepositionum et particularum praeterquam in apocope expunxi: extabant multa eiusmodi ut ἐμ ποσίν, σὺμ παισί, αἴ κέμ πως. — Ἄρ ubique ante vocales scriptum est, non ἄῤ, praeterquam septies, si memini. idem tuetur cod. Marcianus Villoisonii. Videntur probavisse Apoll. Dysc. de coni. 490, 8, qui cum ἐπὶ τοῦ τοιούτου dicit, videtur in ἄρ apocopen concedere, Herodianus ad Il. *A* 65, ubi ἀπόστροφον non ἀποστρόφους prohibet, et Anecd. Cram. Oxon. 3, 280, 8, Dionys. Thrax p. 643, 13, Göttlingius p. 359. — Iota mutum longis vocalibus in codice adscriptum delevi, ubicumque alia auctoritas deerat, in κῶιας, κάλωιας, θρώισκω, θρωισμός, vid. Franz. Aesch. Or. p. 370: admisi in κολωιός propter disertum Arcadii testimonium. poteram admittere πρώιρης et *A* 372 πρώειραν ἔσω, Bergkii coniecturam. Ἐπήορος, τιμήορος, κατήορος, μετήορος, παρηορίη in ipso codice alternabant: κἀκεῖνος constabat, ubique quidem sine coronide, ut a librario profectum esse possit, qui invenerit και κεῖνος, ut in Marciano Iliadis codice scribitur ubique. In ἠῶιος, quod semel est ἠοῖος, πατρώιην, ὑπηῶιος, Ἀργῶιος, κλήισουσι et reliquis id genus nihil erat dubitationis: δήιος cur scribendum nobis sit etiam ubi diaeresis locum non habet, cum scribatur δῃοῦντες, in thesi posita syllaba, nihil video gravioris causae: accentus in libris, δηΐων, tantum non valebit; occurrit ita Ἀργωίης. Anyte sane corripuit primam vocalem: at Zenodotus alteram pro muta habuit, vid. schol. Il. *I* 694. Eandem litteram subtraxi bonae parti adverbiorum in ῃ et ῳ, quibus omnibus in codice additur, προτέρωι, προτέρωισε, ἑκαστέρωι, ἄφνῳ, quo in loco ad grammaticos exigendo operam huc usque lusi. Deest iota in codice infinitivis ἀντιάαν, περάαν, non secundis personis, ἐπιμειδιάᾳς: vid. Lobeck. Rhem. p. 188. In geminandis liquidis quatenuscumque potui codicem secutus sum, aliquotiens remotis librarii additamentis, ut fuit ἐπιρρήνεσσιν, nusquam a me addita littera praeter νείκεσσεν, ἀολλίσσας, σπασσάμενος, ὤλεσσα. Est hoc ex iis, in quibus cum Aristophane Byzantio Apollonio convenit. De συνεχές adhuc dubitatio erat. schol. Il. *M* 26: συννεχές] Ἀρίσταρχος καὶ Ἀριστοφάνης διὰ τοῦ ἑτέρου ν̄: quod apud alios simplicem litteram

significat, vid. schol. Apoll. *Α* 769 coll. *Γ* 37, apud alios duplicem, Apoll. de adv. p. 565, 14. Codex igitur Laurentianus, qui talem geminationem numquam neglexit, ex tribus locis uno tantum, et a sec. manu, alterum *ῡ* adiectum habet. *Νείσομαι* et *λεύσσω* scripsi quia vulgata singulis tantum aut binis locis in cod. deprehenduntur: *νίσομαι* et ipsum minus est frequens: alterum vetustius est corruptela loci *Γ* 430. Adversantur haec Herodiano Anecd. Paris. 4, 237, 29: *οὐ δύναται ἓν σ χαρακτηριστικὸν εἶναι βαρυτόνου ἐνεστῶτος*, suntque cum reliquis verborum formationibus alio loco diiudicanda. In augmentis nihil, ne in quinto quidem pede, mutavi. Declinationis primae dativos reddidi quales inveni.

---

Dixi quantum hic locus sinebat de iis, quae veterum technicorum auctoritate nituntur. Sunt quaedam alia, in quibus librariorum priscorum, qui codicem Laur. eiusque archetypum scripserunt, exemplum sequendum et a consuetudine posteriorum saeculorum, quae ad typographos nostros tradita est, discedendum idoneas ob causas putavi.

Godofredi Hermanni, immortalis gloriae viri, fuit sententia, voculas decem, quae sine accentu scribi consueverunt, tum praepositiones et coniunctiones quotiens vocalem ultimam elidunt (de em. r. p. 98), esse procliticas et accentum deponere in proximo vocabulo. Subsistendum in his putavit, quibus usus receptus patrocinaretur: vidit sine dubio aliquid causae, cur ne apocopen quidem praepositionum et adsimilationem ad proclisin referret: noluit Theodori Gazae quosdam locos, velut p. 338 de articulo, *αἵ μέντοι γε εὐθεῖαι καὶ αἰτατικαὶ τῶν προτακτικῶν οὐκ ὀξύνονται ὡς τὰ ὀνόματα, ἀλλὰ βαρύνονται ὡς αἵ προθέσεις καί τινες τῶν συνδέσμων*, p. 345 *πᾶσα πρόθεσις βαρύνεται*, p. 350 *εἴ μὴ ἴσως τὸ ἀλλά οὐκ ὀξυτονεῖσθαι ἀλλὰ βαρύνεσθαι λέγοι τις ὡς καί τινας τῶν ἄλλων συνδέσμων*, pro testimoniis de scriptura codicum admittere. Multa tamen sunt, quae dubitationem de tantulo numero procliticarum et suspicionem de aliquo Byzantinorum interventu moveant, quorum sola auctoritate is numerus traditus foret. Quaeri poterit, cur illae voces, *ὁ ἡ οἵ αἵ εἰς ἐξ ἐν οὐ ὡς εἰ* et secundum cod. Laur. *αἴ*, accentu destituantur, aliae prorsus adfines, *τόν τήν σύν πρός*,

eo instruantur. Veteres grammaticos constat et facile demonstratu est oxytonis ἐν τῇ συνεπείᾳ nullum accentum addidisse, quod βαρύνειν et ἐγκλίνειν dicunt. nihil igitur in scriptura differebat inclinatio procliticae aliusve oxytoni: quod cognoscitur vel ex illo Apollonii loco, quem Hermannus p. 99 adhibuit, vel ex ipsis primis paginis libri quarti de synt., vel undecumque. Oxytona ut gravi notarentur, homo Byzantinus apud Bekk. An. p. 714, 30 ait, ἔδοξε τοῖς νεωτέροις τῶν γραμματικῶν, ac repetit eum morem ex altero, qui olim obtinuerit, quem ipse l. 5—13 et alter p. 674, 31 ita exponunt, ut in extrema parte cuiusvis vocabuli non habentis in ultima acutum, ut puto in fine enunciati, gravis poni consueverit. Cram Anecd. Ox. 3, 264, 8. Habet hoc aliquam veri speciem, si putes hominem quiddam inaudivisse de artificio, quo in scholis pueri vocabulis dirimendis adsuefacti sunt. Atque hunc usum potissimum in scriptura continua graves appictos habuisse non est improbabile; poterant alioquin certe in tritissimis vocabulis compendii fieri. Ea intempestiva scribarum diligentia procliticas etiam subinde obrui neque solum ab antecedente, sed etiam a subsequente verbo dirimi necessarium erat; exceptis quidem illis supra dictis, quos spiritus satis visus est separare, quemadmodum pro diastole usurpatum legimus Bekk. An. 719, 30: ἀρκεῖ τὸ πνεῦμα τοῦ φωνήεντος εἰς διάγνωσιν τοῦ ἔστιν ἄξιος. Atqui interdum aliarum etiam curam habitam Gazae testimonia videntur indicare, idque factum esse in antiquioribus libris exemplo sunt Venetus Villoisonii liber et nostri duo. Quod Villoisonius scripsit Anecd. p. 130, praef. ad Il. p. II, videri praepositiones in tmesi potissimum accentu carere, de eo alii viderint. In cod. Laur. ex dimidia fere parte aut paulo plures praepositionum accentus absunt, et totidem, non iidem, in cod. Guelf., qui Eustathii fere aetate ex antiquiori transscriptus est. in utroque qui adsunt, suppletos esse a librariis, argumento est, quod interdum deleti qui calamo exciderant, quod etiam synthesis vocabulorum compositorum plus centum locis accentu in praepositione posito in parathesin distracta, rursusque pro κατα στίβον, ἀνα στίβον scriptum καταστείβων, ἀναστείβων. Praeterea ex illo numero bona pars pro adverbiis ponuntur et suo iure, quia proclinari desierunt, accentum habent: adfirmari

id potest de iis omnibus, quae in indice Wellaueri eo nomine notantur, excepta ἀμφί, tum de compositis velut παρέξ *B* 272, *Γ* 195, 237, 1050, 1233. Quamquam eum usum aliquantum sane amplificavi. Namque tmesis in hoc poeta, adsit necne, profecto vix umquam dubium est. In illa vero et in hyperbato, quamquam vel tunc desinunt proclinari, accentum amittere praepositiones, id ex legibus veteris artis fit. Apollonius de adverb. p. 52 τὰ γὰρ ἐν ὑπερβάτῳ κείμενα, inquit, ὀφείλει τὸν λόγον ἀνεδέχεσθαι τῆς κατὰ φύσιν ἀκολουθίας. Haec igitur exhibenda putavi primum quia in veteribus libris haud dubie reperta sunt, quia per se probabilia et ad indicandam tmesin in quovis alio etiam poeta utilia: deinde quo alios commoverem ad interrogandos de Hermanniana doctrina veteres libros aut qualescumque testes: postremo quia, si vel maxime Apollonii propria sint, faciunt tam bene ad artem eius metricam illustrandam, ut vel eo nomine admitti potuerint. Si de pronunciatione procliticarum graecarum nullum inveniri possit utile testimonium, testis erit Apollonius. Hexametri Apolloniani insigni arte sunt elaborati, quam nescio numquis umquam imitari in animum induxerit praeter Catullum in epithalamio Pelei. Uniuscuiusque versus tres sunt ordines binis caesuris distincti: ordines sunt senorum, octonorum aut denorum temporum: quorum quivis aut dactylico aut anapaestico numero usu venit. Haec summa est artificii: exempla sunto *A* 8 et 12. Utraque caesura, quae antecedit quaeque sequitur principalem pedis tertii (quae nec ipsa deest nisi raro, velut *Δ* 1687), potest migrari ita, si hemistichium duobus vocabulis conficiatur, quod apud Catullum per elisiones fit, v. 5, 25, 41—44. Non est huius loci reliqua definire. Sufficit ad demonstrandum procliticarum usum, si vel minima versus descriptio spectetur. Pars ea versus, quae ab hephthemimeri ad quartum usque pedem decurrit, senorum aut, post trochaeum, quinorum temporum, expletur legitime uno vocabulo, nisi interpunctio subsit, *A* 111, 193, quam plerumque hyphen antecedit, *A* 103, 169, aut hyperbaton, de quo supra indicavi, *B* 355, 456, 608, aut hyphen solum, saepe cum liquida in arsi, μάλα μόλις, τρίποδα μέγαν. Sed plerumque unum vocabulum invenias quaeve pro uno vocabulo haberi possunt, encliticas, πατέρων ἔθεν, κού-

ϱην τέ οἱ, in quibus occurrit γε μὲν *A* 135, 163, 203, *Γ* 487, 1048, 1092 *Δ* 766, 1385, 1422, 1464 — atque huc pertinere videtur accentus ille *Γ* 1060 *Δ* 319 — et procliticas, h. e. praepositiones, vel suo loco, παρα ῥόον, ὑπειρ ἅλα, etiam ante adiectivum, *A* 429, 849, sed plerumque ita, ut hyperbatum adstringat, *A* 631, 1007 *B* 824, vel postposita cum anastrophe, sive quae accentu notatur, χορῷ ἔνι, Σιντίνου ἄπο, ἐμέθεν πέρι, λιποῦσ' ἄπο, βαλὼν ὕπερ, sive quae non notatur, δόμων ἐξ, νέφος ὡς, χειρῶν τ' ἀπο, ἕδυ δ' ἀπό, accedente hic quoque hyperbato, de quo dixi, *A* 443, 554 *B* 166, 454, 833 *Γ* 63, 167, alibi. Ac quemadmodum in hac versus parte, ita etiam in reliquis praepositiones maxime ordines metricos firmant. Sunt etiam alia plurima, quae idem praestare videantur, καί, πρίν, πάρος, ἐπεί, ἤ, articuli, ex quibus certum procliticarum numerum iam nunc colligere velle vanum foret.

Venio ad alteram eiusdem modi controversiam, de distinguendis accentu pronominibus ὅ, ἥ, οἵ, αἵ ab articulo praepositivo. In ea quoque re sententiam Hermanni, de em. r. p. 110, adstruam certis librorum veterum testimoniis, quibus solis confirmari potest. A grammaticis veteribus nihil debuit argumenti peti propter ea, quae supra indicavi. Spitznerus ad Il. *A* 9 provocat ad Apollonium lex. Hom., credo p. 118, 1 Bekk.; potuisset etiam ad Apoll. de adv. p. 591, 25. Verum eodem modo, quo illic ὅ pronomen acui videtur, acuitur articulus apud Apoll. synt. p. 51, 24, Ap. lex. Hom. p. 82, 3. et tamen illud quoque verum, schol. B ad Il. *A* 125, πᾶν ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται. Loci duo Eustathii, quos Reizii diligentia protulit, quibus ista ἄρθρα ἀντωνυμικὰ dicuntur σφοδρότερον ἐκφωνεῖσθαι κατὰ τοὺς τόνους, μετὰ σφοδρᾶς τονικῆς κρούσεως, ipse intellexit, de acc. incl. p. 24, non esse accipienda de accentu acuto, qui scribitur: pertinere enim idem dicitur ad τοῦ pro τούτου et τόν pro τοῦτον. Potuit hoc moneri vel ea aetate, qua nullum oxytonon accentum habuit adscriptum, vel ea, qua τό, τοί, τόν, τούς, τάς iam pridem procliticarum habitum deposuerant. Neque enim in cod. Laur. accentu carent: idque cur in his maturius placuerit, quam in praepositionibus, inde factum putaverim, quod illae voculae accentu destitutae prioribus suis

litteris in scriptura continua post unumquodque paroxytonon aut perispomenon difficultatem legentibus facessere poterant. Iam vero certum est, in cod. Laur. et Guelf. casus nominativos quotiens pronominis sunt, hoc, de quo quaeritur, accentu ubique instrui praeterquam quidem sequente *μέν* aut *δέ*, quod idem in vetustis Homeri editionibus fieri mirabatur Reizius p. 23. Explicare hoc studuit Buttmannus gr. ampl. I. p. 299 ann. 5. Ac de cod. Laur. nihil praeter hoc compertum habeo. In Guelf. autem plenissima inest huius doctrinae de discernendo pronomine et articulo illustratio et eius modi, quae etiam illam difficultatem tollat, quam Buttmannus p. 300 causatur, non posse discrimen notari in formis quae consonantem habeant. In his enim omnibus, sive per se positum est pronomen, sive *ἕκαστος* sequitur aut substantivum aliquod, ubique diastole ponitur, quae proclisin impediat, scribiturque *τὰ, μέν, τὰ, ἕκαστα, τὸ, γάρ, τῶ, καί, τῶν, ἤτοι,* etiam *τώς, ἰδέειν, τὴν, ὁδόν* *Γ* 473, *συν τῷ, ἐφεζομένη π. λ. τήν, δὲ καὶ Γ* 1000, *τὸ, κάλεσκέ-μιν Δ* 1512, *ἄνδρα τὸν, ὅς, ἤματι τῷ, εἴ μοι,* quod idem signum saepe occurrit post anastrophen praepositionis, maxime ubi ex regula Herodiani, quam negligit is codex, non notatur, *Α* 86 *τῶ δ' ἄρ' ἔπι,* 95 *τοῖς δ' ἔπι,* 133 *τῶ δ' ἔπι.* Ubi vero *μέν* et *δέ* nominativum aliumve casum sequuntur, in his particulis ponitur signum singulare, duplex gravis, de quo Devarium monuisse scribit Reizius p. 43: adest idem in *τὸν ἐμὸν νόον Δ* 764, *πρὸς δὲ Δ* 1046, *καὶ φίλος Δ* 1071, *οὐκ ἂν Α* 334. Triplex haec ratio unde originem ducat, aut quae pars vetustior esse possit, ignoro. Satis mihi fuit ad Reizii et Hermanni rationem postliminio redire atque id ipsum periclitari, quod cum Buttmannus arbitrarium et difficile dixerit in Homero, apud Apollonium aliquanto sane si non difficilius, at molestius fit, ut distinguatur pronomen Homericum et articulus vulgaris sermonis, maxime in hyperbato *Α* 887, 1222 *Β* 1122, quod frequens etiam apud Aratum.

In his rebus cum egregia codd. sit evidentia, sperari poterat etiam de *ὥς, ὥς, ὡς* non nihil bonae admonitionis, quorum similis videtur condicio: quorum tamen in meis libris quae extat ratio adeo mihi inexplicabilis fuit, ut praeterquam in *ὥς,* quod semel aut bis reddidi, in vulgari consuetudine acquieverim, quae recentissima esse videtur. Libri nullum demonstra-

tivae aut relativae particulae discrimen faciunt, sed ut puto maioris aut minoris in pronunciando elationis. Ante δέ rarissime ὡς accentu notatur.

Tertium autem in cod. Laur. notatu dignum est, quod discernit οὐδέ, οὐ δέ: de qua itidem re veterum grammaticorum sententiam frustra quaesivi: nisi levibus indiciis utendum sit, qualia apud Apoll. de adv. p. 594, 19, schol. Il. *Z* 360, cod. Harl. Od. *Δ* 166. Singularis tamen libri constantia referenda videtur ad accuratissimum aliquem diorthotam, habetque fortassis apud Apollonium, quo se tueatur. *Οὐδέ* coniunctim scribitur duodetriginta locis, quibus omnibus est n e — q u i d e m, οὐδ' εἰ, οὐδ' ὥς, οὐδ' ὅσον, ὁπόσον, ἠβαιόν, ἐπι τυτθόν, μίνυνθα: non nisi quattuor huius modi locis dirimitur, *Γ* 584, 1092 *Δ* 395, 461. *Μηδέ* ter, si memini, eo modo occurrit, *B* 260, 331 *Γ* 680, nusquam divisum, cum accentu tamen, μὴδ', μὴδεπερ. Haec igitur fuerit illa particula, quae in οὐδεμία οὐδὲ εἷς superest. Reliquis locis rarissime coniungitur utraque particula, eum vis copulativa inest. Habet hoc Apollonius, ut particulam δέ pro καί usurpet: *A* 618 *Γ* 381, 1247 *Δ* 571, 783, 1244 et quae ex libris revocavi *B* 532, *Γ* 375: atque id ipsum δέ quantumvis in magna locutionum varietate in οὐ δέ, μὴ δέ intelligi ubique licet, interdum necesse est. Licet in οὐ δέ τι, οὐ δέ πῃ, πω, ποτε, velut *Γ* 84, 621, in οὐ — οὐ δέ, οὐ δέ — οὐ δέ *A* 1267 *Γ* 338, in οὐ μὲν — οὐ δέ *A* 91. Necessarium est in οὐ δέ — οὐ *B* 409, *Γ* 748, in οὐ δὲ δίκαιοι *B* 1183, οὐ δὲ δίκῃ *Γ* 130. Aliquot locis admisi οὔτε — οὐ δέ, μήτε — μὴ δέ, *A* 1190 *Δ* 320, 617; *Γ* 679, quod scimus Ptolemaeum Ascalonitam probasse Il. *A* 93. Nimium fortassis tribui codici *Γ* 935 *Δ* 429.

---

His potissimum rebus disponendis utilem hanc editionem putavi. in poeta ipso emendando operam insumptam, nisi forte res ipsa prodet, licebit dissimulare. Satisfacere volui legentibus, non vim facere. Cod. Laur. scripturas quas intelligi posse putarem, reddidi ubique: corruptis, ne ad obelum aut coniecturas confugerem, haud raro suffeci alius codicis quae per se suspecta non esset, auctoritatem. Velut *Δ* 1272 φαίνοιεν, singularem numerum, videbatur tueri Herod. ad Il. *Ξ* 241: contra *B* 923 μέγαν

unius vulgaris libri longe praeferendum alteri, quod ex reliquis Brunckius et Wellauerus ediderunt. Sed vereor ne interdum nimium codici Laur. confisus videar. *Ποταμηΐδες* *Γ* 1218 et *αὐλείτης* *Δ* 1485 debentur fortasse typographis; correxit Buttmannus 2 p. 431, 432. *Διέτμαγον* significatu intransitivo bis ex cod. L. edidi propter scholion Aristonici Il. *Π* 354 et analogon *ἔτραφον* aeque a grammaticis proscriptum: nec sententiam mutaverim. *Ἀήθεσον* *Δ* 1171 mihi explicui ex placito celeberrimo grammaticorum, *μέλλων εἰς ἐνεστῶτα μεταβαίνει*, schol. Il. *Α* 120, 496 *Θ* 505, 545 *Η* 41, Od. *Δ* 1, 701. Extat apud Nicandrum Ther. 409 eiusque schol. 115, alibi. Ipse Apollonius secundum cod. L. *Γ* 644 *σβέσοι*, *Β* 1064 *ἄρσετε*, 1069 *ὄρσετε*, *Δ* 817 *πρήσοντα*: at *Β* 473 *μογῆσαι* a ma. pr., *μογήσῃ* ab eadem supra scr. Verum egregia est correctio Ziegleri, *ἀήθεον*. *Συνευφράσσασθαι* *Γ* 917 lubricum dixit corrigere Lobeckius Par. ad Phr. p. 624: verissimum tamen est Apollonium affectare tmesin praep. *σύν* secundum Il. *Κ* 19, vid. *Γ* 700, 295, 707 *Β* 563 *Δ* 1275.

Num fieri potuerit, ut in aliorum coniecturis recipiendis lentior fuerim, quam in meis, aliorum esto iudicium. Videbar mihi earum, quas olim proposui, severam censuram instituisse: quarum triginta fere admisi, interdum novis argumentis, velut *Δ* 1216 ex Opp. Hal. *Β* 493. Accessit deinde novarum decuria, quarum causae breviter indicabuntur. *Β* 391 *ἀρητόν* idem volui significare, quod 1094 *ἐελδομένοισιν*. vulgato repugnare visus v. 393. *Γ* 294 emendavi ex Odyss. *Χ* 195 et Ap. *Δ* 606. *Γ* 891 nimis absurde ferebatur: *μετά* cum dativo est *Δ* 340, *Β* 757. *Γ* 1383 *ὤμων* inconcinnum: *κῶλα* apud Alexandrinos sunt pedes, Nic. Ther. 202 Lycophr. 616. *Δ* 145 cod. Laur. *κατόμματον εἴσετο*, Guelf. *κατ' ὄμματον εἴσετο*, quae fortassis olim diastole librarii fuit, ut in L. *δακρύχέουσα* occurrit. *κατ' ὀφθαλμοὺς λέγειν*, *κατηγορεῖν* est Atticorum. *νίσσεσθαι* eodem quo hic sensu non est infrequens. *Δ* 269 libri *ἐύρροος*, ex compendio eius, quod restitui ex Aesch. apud Athen. II, 87. *Δ* 502 idem schema effeci, ut *Β* 225. *Δ* 666 satis audacter secundum Il. *Σ* 206 *Φ* 349. *Δ* 1198 ut *Γ* 647, *Πηλείωνα δέ* Il. *Ω* 338. *Δ* 1372 *ἡμέας* libri. alterum Nic. Alex. 517, Arat. 445, coll. sch. Il. *Φ* 444. *Δ* 1701: hiatus idem *Δ* 369, 408, 480, 586, 1202. Scr. Dec. MDCCCLI.

## ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ
# ΑΡΓΟΝΑΥΤΙΚΩΝ Α̅.

Ἀρχόμενος σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν
μνήσομαι, οἳ Πόντοιο κατα στόμα καὶ δια πέτρας
Κυανέας βασιλῆος ἐφημοσύνῃ Πελίαο
χρύσειον μετα κῶας ἐΰζυγον ἤλασαν Ἀργώ.
τοίην γὰρ Πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω
μοῖρα μένει στυγερή, τοῦδ' ἀνέρος, ὅντιν' ἴδοιτο
δημόθεν οἰοπέδιλον, ὑπ' ἐννεσίῃσι δαμῆναι.
δηρὸν δ' οὐ μετέπειτ' ἐτεὴν κατα βάξιν Ἰήσων
χειμερίοιο ῥέεθρα κιὼν δια ποσσὶν ἀναύρου
ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθεν
κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν·
ἵκετο δ' ἐς Πελίην αὐτοσχεδὸν ἀντιβολήσων
εἰλαπίνης, ἣν πατρὶ Ποσειδάωνι καὶ ἄλλοις
ῥέζε θεοῖς· Ἥρης δὲ Πελασγίδος οὐκ ἀλέγιζεν.
αἶψα δὲ τόνγ' ἐσιδὼν ἐφράσσατο, καί οἱ ἄεθλον
ἔντυε ναυτιλίης πολυκηδέος, ὄφρ' ἐνι πόντῳ
ἠὲ καὶ ἀλλοδαποῖσι μετ' ἀνδράσι νόστον ὀλέσσῃ.
νῆα μὲν οὖν οἱ πρόσθεν ἔτι κλείουσιν ἀοιδοὶ
Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσιν.
νῦν δ' ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
ἡρώων, δολιχῆς τε πόρους ἁλός, ὅσσα τ' ἔρεξαν
πλαζόμενοι· Μοῦσαι δ' ὑποφήτορες εἶεν ἀοιδῆς.
πρῶτά νυν Ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ
Καλλιόπη Θρήικι φατίζεται εὐνηθεῖσα

Οἰάγρῳ σκοπιῆς Πιμπληΐδος ἄγχι τεκέσθαι.
αὐτὰρ τόνγ' ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
θέλξαι ἀοιδάων ἐνοπῇ ποταμῶν τε ῥέεθρα.
φηγοὶ δ' ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς,
ἀκτῆς Θρηικίης Ζώνης ἔπι τηλεθόωσαι
ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅγ' ἐπιπρὸ
θελγομένας φόρμιγγι κατήγαγε Πιερίηθεν.
Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
Αἰσονίδης Χείρωνος ἐφημοσύνῃσι πιθήσας
δέξατο, Πιερίῃ Βιστωνίδι κοιρανέοντα.
ἤλυθε δ' Ἀστερίων αὐτοσχεδόν, ὅν ῥα Κομήτης
γείνατο δινήεντος ἐφ' ὕδασιν Ἀπιδανοῖο,
Πειρεσιὰς ὄρεος Φυλληίου ἀγχόθι ναίων,
ἔνθα μὲν Ἀπιδανός τε μέγας καὶ δῖος Ἐνιπεὺς
ἄμφω συμφορέονται, ἀπόπροθεν εἰς ἓν ἰόντες.
Λάρισαν δ' ἔπι τοῖσι λιπὼν Πολύφημος ἵκανεν
Εἰλατίδης, ὃς πρὶν μὲν ἐρισθενέων Λαπιθάων,
ὁππότε Κενταύροις Λαπίθαι ἔπι θωρήσσοντο,
ὁπλότερος πολέμιζε· τότ' αὖ βαρύθεσκέ οἱ ἤδη
γυῖα, μένεν δ' ἔτι θυμὸς ἀρήιος, ὡς τὸ πάρος περ.
οὐ δὲ μὲν Ἴφικλος Φυλάκῃ ἔνι δηρὸν ἔλειπτο,
μήτρως Αἰσονίδαο· κασιγνήτην γὰρ ὄπυιεν
Αἴσων Ἀλκιμέδην Φυλακηίδα· τῆς μιν ἀνώγει
πηοσύνη καὶ κῆδος ἐνικρινθῆναι ὁμίλῳ.
οὐ δὲ Φεραῖς Ἄδμητος ἐυρρήνεσσιν ἀνάσσων
μίμνεν ὑπο σκοπιὴν ὄρεος Χαλκωδονίοιο.
οὐ δ' Ἀλόπῃ μίμνον πολυλήιοι Ἑρμείαο
υἱέες εὖ δεδαῶτε δόλους, Ἔρυτος καὶ Ἐχίων.
τοῖσι δ' ἔπι τρίτατος γνωτὸς κίε νεισομένοισιν
Αἰθαλίδης· καὶ τὸν μὲν ἐπ' Ἀμφρύσσοιο ῥοῇσιν
Μυρμιδόνος κούρη Φθιὰς τέκεν Εὐπολέμεια·
τὼ δ' αὖτ' ἐκγεγάτην Μενετηίδος Ἀντιανείρης.

ἤλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα Κόρωνος
Καινείδης, ἐσθλὸς μέν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
Καινέα γὰρ ζωόν περ ἔτι κλείουσιν ἀοιδοὶ
Κενταύροισιν ὀλέσθαι, ὅτέ σφεας οἶος ἀπ' ἄλλων
ἤλασ' ἀριστήων· οἳ δ' ἔμπαλιν ὁρμηθέντες
οὔτέ μιν ἀγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι·
ἀλλ' ἄρρηκτος ἄκαμπτος ἐδύσετο νειόθι γαίης,
θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
  ἤλυθε δ' αὖ Μόψος Τιταρήσιος, ὃν περι πάντων
Λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν·
ἠδὲ καὶ Εὐρυδάμας Κτιμένου πάις· ἄγχι δὲ λίμνης
Ξυνιάδος Κτιμένην Δολοπηίδα ναιετάασκεν.
  καὶ μὴν Ἄκτωρ υἷα Μενοίτιον ἐξ Ὀπόεντος
ὦρσεν, ἀριστήεσσι συν ἀνδράσιν ὄφρα νέοιτο.
  εἵπετο δ' Εὐρυτίων τε καὶ ἀλκήεις Ἐριβώτης,
υἷες ὃ μὲν Τελέοντος, ὃ δ' Ἴρου Ἀκτορίδαο·
ἤτοι ὃ μὲν Τελέοντος ἐυκλειὴς Ἐριβώτης,
Ἴρου δ' Εὐρυτίων. σὺν καὶ τρίτος ἦεν Ὀιλεύς,
ἔξοχος ἠνορέην καὶ ἐπαΐξαι μετόπισθεν
εὖ δεδαὼς δήοισιν, ὅτε κλίνωσι φάλαγγας.
  αὐτὰρ ἀπ' Εὐβοίης Κάνθος κίε, τόν ῥα Κάνηθος
πέμπεν Ἀβαντιάδης λελιημένον· οὐ μὲν ἔμελλεν
νοστήσειν Κήρινθον ὑπότροπος. αἶσα γὰρ ἦεν
αὐτὸν ὁμῶς Μόψόν τε δαήμονα μαντοσυνάων
πλαγχθέντας Λιβύης ἐνι πείρασι δῃωθῆναι.
ὡς οὐκ ἀνθρώποισι κακῶν μήκιστον ἐπαυρεῖν·
ὁππότε κἀκείνους Λιβύῃ ἔνι ταρχύσαντο,
τόσσον ἑκὰς Κόλχων, ὅσσον τέ περ ἠελίοιο
μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
  τῷ δ' ἄρ ἐπι Κλύτιός τε καὶ Ἴφιτος ἠγερέθοντο,
Οἰχαλίης ἐπίουροι, ἀπηνέος Εὐρύτου υἷες,
Εὐρύτου, ᾧ πόρε τόξον Ἑκηβόλος· οὐ δ' ἀπόνητο

δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.
τοῖσι δ' ἐπ' Αἰακίδαι μετεκίαθον· οὐ μὲν ἅμ' ἄμφω,
οὐ δ' ὁμόθεν. νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
Αἰγίνης, ὅτε Φῶκον ἀδελφεὸν ἐξενάριξαν
ἀφραδίῃ. Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ·
Πηλεὺς δὲ Φθίῃ ἐνι δώματα ναῖε λιασθείς.
τοῖς δ' ἐπι Κεκροπίηθεν ἀρήιος ἤλυθε Βούτης,
παῖς ἀγαθοῦ Τελέοντος, ἐυμμελίης τε Φάληρος.
Ἄλκων μιν προέηκε πατὴρ ἑός· οὐ μὲν ἔτ' ἄλλους
γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας.
ἀλλά ἑ τηλύγετόν περ ὁμῶς καὶ μοῦνον ἐόντα
πέμπεν, ἵνα θρασέεσσι μεταπρέποι ἡρώεσσιν.
Θησέα δ', ὃς περὶ πάντας Ἐρεχθείδας ἐκέκαστο,
Ταιναρίην ἀίδηλος ὑπο χθόνα δεσμὸς ἔρυκεν,
Πειρίθῳ ἑσπόμενον κοινὴν ὁδόν. ἦ τέ κεν ἄμφω
ῥηίτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
Τῖφυς δ' Ἁγνιάδης Σιφαέα κάλλιπε δῆμον
Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
κῦμ' ἁλὸς εὐρείης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
ὦρσεν Ἀθηναίη, μετα δ' ἤλυθεν ἐλδομένοισιν.
αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε· συν δέ οἱ Ἄργος
τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
τῶ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
ὅσσαι ὑπ' εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.
Φλίας δ' αὖτ' ἐπι τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἕκητι,
πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.
Ἀργόθεν αὖ Ταλαὸς καὶ Ἀρήιος, υἷε Βίαντος,
ἤλυθον ἴφθιμός τε Λεώδοκος, οὓς τέκε Πηρὼ
Νηληίς· τῆς δ' ἀμφι δύην ἐμόγησε βαρεῖαν

Αἰολίδης σταθμοῖσιν ἐν Ἰφίκλοιο Μελάμπους.
οὐ δὲ μὲν οὐδὲ βίην κρατερόφρονος Ἡρακλῆος
πευθόμεθ' Αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
ἀλλ' ἐπεὶ ἄιε βάξιν ἀγειρομένων ἡρώων,
νεῖον ἀπ' Ἀρκαδίης Λυρκήιον Ἄργος ἀμείψας
τὴν ὁδόν, ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ' ἐνι βήσσῃς
φέρβετο Λαμπείης, Ἐρυμάνθιον ἄμ μέγα τῖφος,
τὸν μὲν ἐνι πρώτῃσι Μυκηναίων ἀγορῇσιν
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων,
αὐτὸς δ' ᾗ ἰότητι παρεκ νόον Εὐρυσθῆος
ὡρμήθη· συν καί οἱ Ὕλας κίεν ἐσθλὸς ὀπάων,
πρωθήβης, ἰῶν τε φορεὺς φύλακός τε βιοῖο.
τῷ δ' ἔπι δὴ θείοιο κίεν Δαναοῖο γενέθλη,
Ναύπλιος. ἦ γὰρ ἔην Κλυτονήου Ναυβολίδαο·
Ναύβολος αὖ Λέρνου· Λέρνόν γε μὲν ἴδμεν ἐόντα
Προίτου Ναυπλιάδαο· Ποσειδάωνι δὲ κούρη
πρίν ποτ' Ἀμυμώνη Δαναῒς τέκεν εὐνηθεῖσα
Ναύπλιον, ὃς περὶ πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
Ἴδμων δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον
Ἄργος, ἐπεὶ δεδαὼς τὸν ἑὸν μόρον οἰωνοῖσιν
ἤιε, μή οἱ δῆμος ἐυκλείης ἀγάσαιτο.
οὐ μὲν ὅγ' ἦεν Ἄβαντος ἐτήτυμον, ἀλλά μιν αὐτὸς
γείνατο κυδαλίμοις ἐναρίθμιον Αἰολίδῃσιν
Λητοΐδης· αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν
οἰωνούς τ' ἀλέγειν ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.
καὶ μὴν Αἰτωλὶς κρατερὸν Πολυδεύκεα Λήδη
Κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων
Σπάρτηθεν· τοὺς δ' ἥγε δόμοις ἔνι Τυνδαρέοιο
τηλυγέτους ὠδῖνι μιῇ τέκεν· οὐ δ' ἀπίθησεν
νεισομένοις· Ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.
οἵ τ' Ἀφαρητιάδαι Λυγκεὺς καὶ ὑπέρβιος Ἴδας
Ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ

ἀμφότεροι· Λυγκεὺς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
ὄμμασιν, εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον
ῥηιδίως καὶ νέρθε κατα χθονὸς αὐγάζεσθαι.
σὺν δὲ Περικλύμενος Νηλήιος ὦρτο νέεσθαι,
πρεσβύτατος παίδων, ὅσσοι Πύλῳ ἐξεγένοντο
Νηλῆος θείοιο· Ποσειδάων δέ οἱ ἀλκὴν
δῶκεν ἀπειρεσίην ἠδ' ὅ ττι κεν ἀρήσαιτο
μαρνάμενος, τὸ πέλεσθαι ἐνι ξυνοχῇ πολέμοιο.
καὶ μὴν Ἀμφιδάμας Κηφεύς τ' ἴσαν Ἀρκαδίηθεν,
οἳ Τεγέην καὶ κλῆρον Ἀφειδάντειον ἔναιον,
υἶε δύω Ἀλεοῦ· τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
Ἀγκαῖος, τὸν μέν ῥα πατὴρ Λυκόοργος ἔπεμπεν,
τῶν ἄμφω γνωτὸς προγενέστερος. ἀλλ' ὁ μὲν ἤδη
γηράσκοντ' Ἀλεὸν λίπετ' ἀμ πόλιν ὄφρα κομίζοι,
παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσεν.
βῆ δ' ὅγε Μαιναλίης ἄρκτου δέρος ἀμφίτομόν τε
δεξιτερῇ πάλλων πέλεκυν μέγαν. ἔντεα γάρ οἱ
πατροπάτωρ Ἀλεὸς μυχάτῃ ἐνέκρυψε καλιῇ,
αἴ κέν πως ἔτι καὶ τὸν ἐρητύσειε νέεσθαι.
βῆ δὲ καὶ Αὐγείης, ὃν δὴ φάτις Ἠελίοιο
ἔμμεναι· Ἠλείοισι δ' ὅγ' ἀνδράσιν ἐμβασίλευεν,
ὄλβῳ κυδιόων· μέγα δ' ἵετο Κολχίδα γαῖαν
αὐτόν τ' Αἰήτην ἰδέειν σημάντορα Κόλχων:
Ἀστέριος δὲ καὶ Ἀμφίων Ὑπερασίου υἷες
Πελλήνης ἀφίκανον Ἀχαιίδος, ἥν ποτε Πέλλης
πατροπάτωρ ἐπόλισσεν ἐπ' ὀφρύσιν αἰγιαλοῖο.
Ταίναρον αὖτ' ἐπι τοῖσι λιπὼν Εὔφημος ἵκανεν,
τόν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων
Εὐρώπη Τιτυοῖο μεγασθενέος τέκε κούρη.
κεῖνος ἀνὴρ καὶ πόντου ἐπι γλαυκοῖο θέεσκεν
οἴδματος, οὐ δὲ θοοὺς βάπτεν πόδας· ἀλλ' ὅσον ἄκροις

*ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.*
*καὶ δ᾽ ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο·*
*ἤτοι ὃ μὲν πτολίεθρον ἀγαυοῦ Μιλήτοιο*
*νοσφισθεὶς Ἐργῖνος, ὃ δ᾽ Ἰμβρασίης ἕδος Ἥρης,*
*Παρθενίην, Ἀγκαῖος ὑπέρβιος· ἴστορε δ᾽ ἄμφω*
*ἠμὲν ναυτιλίης ἠδ᾽ ἄρεος εὐχετόωντο.*
*Οἰνείδης δ᾽ ἐπι τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος*
*ἀλκήεις Μελέαγρος ἀνήλυθε Λαοκόων τε,*
*Λαοκόων Οἰνῆος ἀδελφεός· οὐ μὲν ἰῆς γε*
*μητέρος· ἀλλά ἑ θῆσσα γυνὴ τέκε· τὸν μὲν ἄρ Οἰνεὺς*
*ἤδη γηραλέον κοσμήτορα παιδὸς ἴαλλεν·*
*ὧδ᾽ ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον*
*ἡρώων. τοῦ δ᾽ οὔτιν᾽ ὑπέρτερον ἄλλον ὀίω,*
*νόσφιν γ᾽ Ἡρακλῆος, ἐπελθέμεν, εἴ κ᾽ ἔτι μοῦνον*
*αὖθι μένων λυκάβαντα μετετράφη Αἰτωλοῖσιν.*
*καὶ μήν οἱ μήτρως αὐτὴν ὁδόν, εὖ μὲν ἄκοντι,*
*εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι,*
*Θεστιάδης Ἴφικλος ἐφωμάρτησε κιόντι.*
*σὺν δὲ Παλαιμόνιος Λέρνου πάις Ὠλενίοιο,*
*Λέρνου ἐπίκλησιν, γενεήν γε μὲν Ἡφαίστοιο·*
*τούνεκ᾽ ἔην πόδα σιφλός· ἀτὰρ δέμας οὔ κέ τις ἔτλη*
*ἠνορέην τ᾽ ὀνόσασθαι· ὃ καὶ μεταρίθμιος ἦεν*
*πᾶσιν ἀριστήεσσιν, Ἰήσονι κῦδος ἀέξων.*
*ἐκ δ᾽ ἄρα Φωκήων κίεν Ἴφιτος Ὀρνυτίδαο*
*Ναυβόλου ἐκγεγαώς· ξεῖνος δέ οἱ ἔσκε πάροιθεν,*
*ἦμος ἔβη Πυθὼ δὲ θεοπροπίας ἐρεείνων*
*ναυτιλίης· τόθι γάρ μιν ἑοῖς ὑπέδεκτο δόμοισιν.*
*Ζήτης αὖ Κάλαίς τε Βορήιοι υἷες ἵκοντο,*
*οὕς ποτ᾽ Ἐρεχθηὶς Βορέῃ τέκεν Ὠρείθυια*
*ἐσχατιῇ Θρήκης δυςχειμέρου· ἔνθ᾽ ἄρα τήνγε*
*Θρηίκιος Βορέης ἀνερείψατο Κεκροπίηθεν*

Ἰλισσοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.'
καί μιν ἄγων ἕκαθεν, Σαρπηδονίην ὅθι πέτρην
κλείουσιν, ποταμοῖο παρα ῥόον Ἐργίνοιο,
λυγαίοις ἐδάμασσε περι νεφέεσσι καλύψας.
τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρυμνὰς
σεῖον ἀειρομένω πτέρυγας, μέγα θάμβος ἰδέσθαι,
χρυσείαις φολίδεσσι διαυγέας· ἀμφι δὲ νώτοις
κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
κυάνεαι δονέοντο μετα πνοιῇσιν ἔθειραι.
οὐ δὲ μὲν οὐδ' αὐτοῖο πάις μενέαινεν Ἄκαστος
ἰφθίμου Πελίαο δόμοις ἔνι πατρὸς ἑῆος
μιμνάζειν, Ἄργός τε θεᾶς ὑποεργὸς Ἀθήνης·
ἀλλ' ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
τόσσοι ἄρ Αἰσονίδῃ συμμήστορες ἠγερέθοντο,
τοὺς μὲν ἀριστῆας Μινύας περιναιετάοντες
κίκλησκον μάλα πάντας, ἐπεὶ Μινύαο θυγατρῶν
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο
ἔμμεναι· ὧς δὲ καὶ αὐτὸν Ἰήσονα γείνατο μήτηρ
Ἀλκιμέδη, Κλυμένης Μινυηΐδος ἐκγεγαυῖα.
αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντ' ἐτέτυκτο,
ὅσσα περ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες,
εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπειρ ἅλα ναυτίλλεσθαι,
δὴ τότ' ἴσαν μετα νῆα δι' ἄστεος, ἔνθά περ ἀκταὶ
κλείονται Παγασαὶ Μαγνήτιδες· ἀμφὶ δὲ λαῶν
πληθὺς σπερχομένων ἄμυδις θέεν· οἳ δὲ φαεινοὶ
ἀστέρες ὣς νεφέεσσι μετέπρεπον· ὧδε δ' ἕκαστος
ἔννεπεν εἰσορόων συν τεύχεσιν ἀΐσσοντας
„Ζεῦ ἄνα, τίς Πελίαο νόος; πόθι τόσσον ὅμιλον
ἡρώων γαίης Παναχαιΐδος ἔκτοθι βάλλει;
αὐτῆμάρ κε δόμους ὀλοῷ πυρὶ δῃώσειαν
Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ.
ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἄπρηκτος ἰοῦσιν."

ὣς φάσαν ἔνθα καὶ ἔνθα κατα πτόλιν· αἱ δὲ γυναῖκες
πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον
εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
ἄλλη δ' εἰς ἑτέρην ὀλοφύρετο δάκρυ χέουσα
„δειλὴ Ἀλκιμέδη, καὶ σοὶ κακὸν ὀψέ περ ἔμπης
ἤλυθεν· οὐ δ' ἐτέλεσσας ἐπ' ἀγλαΐῃ βιότοιο.
Αἴσων αὖ μέγα δή τι δυσάμμορος. ἦ τέ οἱ ἦεν
βέλτερον, εἰ τὸ πάροιθεν ἐνι κτερέεσσιν ἐλυσθεὶς
νειόθι γαίης κεῖτο, κακῶν ἔτι νῆις ἀέθλων.
ὡς ὄφελεν καὶ Φρίξον, ὅτ' ὤλετο παρθένος Ἕλλη,
κῦμα μέλαν κριῷ ἅμ' ἐπικλύσαι. ἀλλὰ καὶ αὐδὴν
ἀνδρομέην προέηκε κακὸν τέρας, ὥς κεν ἀνίας
Ἀλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη."
αἳ μὲν ἄρ ὣς ἀγόρευον ἐπι προμολῇσι κιόντων.
ἤδη δὲ δμῶές τε πολεῖς δμῳαί τ' ἀγέροντο,
μήτηρ δ' ἀμφ' αὐτὸν βεβολημένη. ὀξὺ δ' ἑκάστην
δῦνεν ἄχος· συν δέ σφι πατὴρ ὀλοῷ ὑπο γήρᾳ
ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
αὐτὰρ ὃ τῶν μὲν ἔπειτα κατεπρήυνεν ἀνίας
θαρσύνων, δμώεσσι δ' ἀρήια τεύχε' ἀείρειν
πέφραδεν· οἳ δ' αὖ σῖγα κατηφέες ἠείροντο.
μήτηρ δ' ὡς τὰ πρῶτ' ἐπεχεύατο πήχεε παιδί,
ὣς ἔχετο κλαίουσ' ἀδινώτερον, ἠύτε κούρη
οἰόθεν ἀσπασίως πολιὴν τροφὸν ἀμφιπεσοῦσα
μύρεται, ᾗ οὐκ εἰσὶν ἔτ' ἄλλοι κηδεμονῆες,
ἀλλ' ὑπο μητρυιῇ βίοτον βαρὺν ἡγηλάζει,
καί ἑ νέον πολέεσσιν ὀνείδεσιν ἐστυφέλιξεν·
τῇ δέ τ' ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
οὐ δ' ἔχει ἐκφλύξαι τόσσον γόον, ὅσσον ὀρεχθεῖ·
ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ' ἀγκὰς ἔχουσα
Ἀλκιμέδη. καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν

„αἴθ' ὄφελον κεῖν' ἦμαρ, ὅτ' ἐξειπόντος ἄκουσα
δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμήν,
αὐτίκ' ἀπο ψυχὴν μεθέμεν, κηδέων τε λαθέσθαι,
ὄφρ' αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσίν,
τέκνον ἐμόν· τὸ γὰρ οἶον ἔην ἔτι λοιπὸν ἐέλδωρ
ἐκ σέθεν, ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.
νῦν γε μὲν ἡ τὸ πάροιθεν Ἀχαιιάδεσσιν ἀγητὴ
δμωὶς ὅπως κενεοῖσι λελείψομαι ἐν μεγάροισιν,
σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
ἀγλαΐην καὶ κῦδος ἔχον πάρος, ᾧ ἔπι μούνῳ
μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον. ἔξοχα γάρ μοι
Εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
ᾤ μοι ἐμῆς ἄτης. τὸ μὲν οὐδ' ὅσον, οὐδ' ἐν ὀνείρῳ
ᾠσάμην, εἰ Φρίξος ἐμοὶ κακὸν ἔσσετ' ἀλύξας."
ὣς ἥγε στενάχουσα κινύρετο· ταὶ δὲ γυναῖκες
ἀμφίπολοι γοάασκον ἐπισταδόν· αὐτὰρ ὃ τήνγε
μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν
„μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
ὧδε λίην· ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
δάκρυσιν, ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
πήματα γάρ τ' ἀίδηλα θεοὶ θνητοῖσι νέμουσιν.
τῶν μοῖραν κατα θυμὸν ἀνιάζουσά περ ἔμπης
τλῆθι φέρειν· θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης
ἠδὲ θεοπροπίῃσιν, ἐπεὶ μάλα δεξιὰ Φοῖβος
ἔχρη, ἀτὰρ μετέπειτά γ' ἀριστήων ἐπαρωγῇ.
ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἔκηλος
μίμνε δόμοις, μὴ δ' ὄρνις ἀεικελίη πέλε νηί·
κεῖσε δ' ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι."
ἦ, καὶ ὃ μὲν προτέρωσε δόμων ἐξ ὤρτο νέεσθαι.
οἷος δ' ἐκ νηοῖο θυώδεος εἶσιν Ἀπόλλων
Δῆλον ἀν' ἠγαθέην, ἠὲ Κλάρον, ἢ ὅγε Πυθώ,
ἢ Λυκίην εὐρεῖαν ἔπι Ξάνθοιο ῥοῇσιν,

τοῖος ἀνα πληθὺν δήμου κίεν· ὦρτο δ' ἀυτὴ
κεκλομένων ἄμυδις. τῷ δὲ ξύμβλητο γεραιὴ
Ἰφιὰς Ἀρτέμιδος πολιηόχου ἀρήτειρα,
καί μιν δεξιτερῆς χειρὸς κύσεν, οὐ δέ τι φάσθαι
ἔμπης ἱεμένη δύνατο, προθέοντος ὁμίλου·
ἀλλ' ἣ μὲν λίπετ' αὖθι παρακλιδόν, οἷα γεραιὴ
ὁπλοτέρων, ὃ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.

αὐτὰρ ἐπεί ῥα πόληος ἐυδμήτους λίπ' ἀγυιάς,
ἀκτὴν δ' ἵκανεν Παγασηίδα, τῇ μιν ἑταῖροι
δειδέχατ' Ἀργῴῃ ἄμυδις παρα νηὶ μένοντες.
στῆ δ' ἄρ ἐπι προμολῆς· οἳ δ' ἀντίοι ἠγερέθοντο.
ἐς δ' ἐνόησαν Ἄκαστον ὁμῶς Ἄργον τε πόληος
νόσφι καταβλώσκοντας, ἐθάμβησαν δ' ἐσιδόντες
πασσυδίῃ Πελίαο παρεκ νόον ἰθύνοντας.
δέρμα δ' ὃ μὲν ταύροιο ποδηνεκὲς ἀμφέχετ' ὤμους
Ἄργος Ἀρεστορίδης λάχνῃ μέλαν· αὐτὰρ ὃ καλὴν
δίπλακα, τήν οἱ ὄπασσε κασιγνήτη Πελόπεια.
ἀλλ' ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
ἔσχετο· τοὺς δ' ἀγορὴν δὲ συνεδριάασθαι ἄνωγεν.
αὐτοῦ δ' ἰλλομένοις ἐπι λαίφεσιν ἠδὲ καὶ ἱστῷ
κεκλιμένῳ μάλα πάντες ἐπισχερὼ ἑδριόωντο.
τοῖσιν δ' Αἴσονος υἱὸς ἐυφρονέων μετέειπεν
„ἄλλα μὲν ὅσσα τε νηὶ ἐφοπλίσσασθαι ἔοικεν, —
πάντα γὰρ εὖ κατα κόσμον — ἐπαρτέα κεῖται ἰοῦσιν.
τῶ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι
ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
ἀλλά, φίλοι, — ξυνὸς γὰρ ἐς Ἑλλάδα νόστος ὀπίσσω,
ξυναὶ δ' ἄμμι πέλονται ἐς Αἰήταο κέλευθοι —
τούνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
ὄρχαμον ὑμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο,
νείκεα συνθεσίας τε μετα ξείνοισι βαλέσθαι.

ὣς φάτο· πάπτηναν δέ νέοι θρασὺν Ἡρακλῆα

ἥμενον ἐν μέσσοισι· μιῇ δέ ἑ πάντες ἀυτῇ
σημαίνειν ἐπέτελλον· ὃ δ' αὐτόθεν, ἔνθά περ ἧστο,
δεξιτερὴν ἀνα χεῖρα τανύσσατο φώνησέν τε
„μήτις ἐμοὶ τόδε κῦδος ὀπαζέτω. οὐ γὰρ ἔγωγε
πείσομαι· ὥστε καὶ ἄλλον ἀναστήσεσθαι ἐρύξω.
αὐτός, ὅτις ξυνάγειρε, καὶ ἀρχεύοι ὁμάδοιο.“
ἦ ῥα μέγα φρονέων· ἐπι δ' ἤνεον, ὡς ἐκέλευεν
Ἡρακλέης. ἀνα δ' αὐτὸς ἀρήιος ὦρνυτ' Ἰήσων
γηθόσυνος, καὶ τοῖα λιλαιομένοις ἀγόρευεν
„εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι,
μηκέτ' ἔπειθ', ὡς καὶ πρίν, ἐρητύοιτο κέλευθα.
νῦν γε μὲν ἤδη Φοῖβον ἀρεσσάμενοι θυέεσσιν
δαῖτ' ἐντυνώμεσθα παρασχεδόν. ὄφρα δ' ἴασιν
δμῶες ἐμοὶ σταθμῶν σημάντορες, οἷσι μέμηλεν
δεῦρο βόας ἀγέληθεν ἔυ κρίναντας ἐλάσσαι,
τόφρά κε νῆ' ἐρύσαιμεν ἔσω ἁλός, ὅπλά τε πάντα
ἐνθέμενοι πεπάλαχθε κατα κληῖδας ἐρετμά.
τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον Ἐμβασίοιο
θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
σημανέειν δείξειν τε πόρους ἁλός, εἴ κε θυηλαῖς
οὗ ἕθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆι.“
ἦ ῥα, καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἳ δ' ἐπανέσταν
πειθόμενοι· ἀπο δ' εἵματ' ἐπήτριμα νηήσαντο
λείῳ ἐπι πλαταμῶνι, τὸν οὐκ ἐπέβαλλε θάλασσα
κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.
νῆα δ' ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν
ἔζωσαν πάμπρωτον ἐυστρεφεῖ ἔνδοθεν ὅπλῳ
τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
δούρατα καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
σκάπτον δ' αἶψα κατ' εὖρος ὅσον περιβάλλετο χῶρος
ἠδὲ κατα πρώραν εἴσω ἁλὸς ὁσσάτιόν περ
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.

αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
στείρης, ἐν δ' ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας·
τὴν δὲ κατάντη κλῖναν ἐπι πρώτῃσι φάλαγξιν,
ὥς κεν ὀλισθαίνουσα δι' αὐτάων φορέοιτο.
ὕψι δ' ἄρ ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
πήχυιον προύχοντα περι σκαλμοῖσιν ἔδησαν.
τῶν δ' ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
στέρνά θ' ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. ἐν δ' ἄρα Τῖφυς
βήσαθ', ἵν' ὀτρύνειε νέους κατα καιρὸν ἐρύσσαι·
κεκλόμενος δ' ἤυσε μάλα μέγα· τοὶ δὲ παράσσον
ᾧ κράτεϊ βρίσαντε μιῇ στυφέλιξαν ἐρωῇ
νειόθεν ἐξ ἕδρης, ἐπι δ' ἐρρώσαντο πόδεσσιν
προπροβιαζόμενοι· ἡ δ' ἕσπετο Πηλιὰς Ἀργὼ
ῥίμφα μάλ'· οἱ δ' ἑκάτερθεν ἐπίαχον ἀίσσοντες.
αἱ δ' ἄρ ὑπο τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
τριβόμεναι· περι δέ σφιν ἀιδνὴ κήκιε λιγνὺς
βριθοσύνῃ, κατόλισθε δ' ἔσω ἁλός· οἱ δέ μιν αὖθι
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
σκαλμοῖς δ' ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
λαίφεά τ' εὐποίητα καὶ ἁρμαλιὴν ἐβάλοντο.
  αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
κληῖδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
ἄνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην
ᾕρεον Ἡρακλῆι καὶ ἡρώων ἄτερ ἄλλων
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
τοῖς μέσσην οἴοισιν ἀπο κληῖδα λίποντο
αὔτως, οὔτι πάλῳ· ἐπι δ' ἔτρεπον αἰνήσαντες
Τῖφυν ἐυστείρης οἰήια νηὸς ἔρυσθαι.
  ἔνθεν δ' αὖ λάιγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
νήεον αὐτόθι βωμὸν ἐπάκτιον Ἀπόλλωνος,
Ἀκτίου Ἐμβασίοιό τ' ἐπώνυμον· ὦκα δὲ τοίγε
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.

τείως δ' αὖτ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
βουκόλοι Αἰσονίδαο δύω βόε. τοὺς δ' ἐρύσαντο
κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. οἱ δ' ἄρ ἔπειτα
χέρνιβά τ' οὐλοχύτας τε παρέσχεθον. αὐτὰρ Ἰήσων
εὔχετο κεκλόμενος πατρώιον Ἀπόλλωνα
„κλῦθι, ἄναξ Παγασάς τε πόλιν τ' Αἰσωνίδα ναίων,
ἡμετέροιο τοκῆος ἐπώνυμον, ὅς μοι ὑπέστης
Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πείραθ' ὁδοῖο
σημανέειν. αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων.
αὐτὸς νῦν ἄγε νῆα συν ἀρτεμέεσσιν ἑταίροις
κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα. σοὶ δ' ἂν ὀπίσσω
τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
νῦν δ' ἴθι, καὶ τήνδ' ἡμίν, Ἑκηβόλε, δέξο θυηλήν,
ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ.
πείσματα σὴν δια μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
μείλιχος, ᾧ κ' ἐπι πόντον ἐλευσόμεθ' εὐδιόωντες.“
ἦ καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. τὼ δ' ἐπι βουσὶν
ζωσάσθην, Ἀγκαῖος ὑπέρβιος Ἡρακλέης τε.
ἤτοι ὃ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφι μέτωπα
πλῆξεν, ὃ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·
Ἀγκαῖος δ' ἑτέροιο κατα πλατὺν αὐχένα κόψας
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
ἤριπε δ' ἀμφοτέροισι περιρρηδὴς κεράεσσιν.
τοὺς δ' ἕταροι σφάξάν τε θοῶς, δεῖράν τε βοείας,
κόπτον, δαίτρευόν τε, καὶ ἱερὰ μῆρ' ἐτάμοντο,
καδ δ' ἄμυδις τάγε πάντα καλύψαντες πύκα δημῷ
καῖον ἐπι σχίζῃσιν· ὁ δ' ἀκρήτους χέε λοιβὰς
Αἰσονίδης, γήθει δὲ σέλας θηεύμενος Ἴδμων
πάντοσε λαμπόμενον θυέων ἄπο τοῖό τε λιγνὺν

πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀίσσουσαν·
αἶψα δ᾽ ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο
„ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
ἐνθάδε κῶας ἄγοντας· ἀπειρέσιοι δ᾽ ἐνι μέσσῳ
κεῖσέ τε δεῦρό τ᾽ ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπο δαίμονος αἴσῃ
τηλόθι που πέπρωται ἐπ᾽ Ἀσίδος ἠπείροιο.
ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
πότμον ἐμὸν πάτρης ἐξήιον, ὄφρ᾽ ἐπιβαίην
νηός, ἐυκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.“
ὣς ἄρ ἔφη· κοῦροι δέ θεοπροπίης ἀίοντες
νόστῳ μὲν γήθησαν, ἄχος δ᾽ ἕλεν Ἴδμονος αἴσῃ.
ἦμος δ᾽ ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι,
δειελινὸν κλίνοντος ὑπο ζόφον ἠελίοιο,
τῆμος ἄρ ἤδη πάντες ἐπι ψαμάθοισι βαθεῖαν
φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
κέκλινθ᾽ ἑξείης· παρα δέ σφισι μυρί᾽ ἔκειτο
εἴδατα καὶ μέθυ λαρόν, ἀφυσσαμένων προχόῃσιν
οἰνοχόων· μετέπειτα δ᾽ ἀμοιβαδὶς ἀλλήλοισιν
μυθεῦνθ᾽, οἷά τε πολλὰ νέοι παρα δαιτὶ καὶ οἴνῳ
τερπνῶς ἑψιόωνται, ὅτ᾽ ἄατος ὕβρις ἀπείη.
ἔνθ᾽ αὖτ᾽ Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς.
τὸν δ᾽ ἄρ ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας
„Αἰσονίδη, τίνα τῆνδε μετα φρεσὶ μῆτιν ἑλίσσεις;
αὔδα ἐνι μέσσοισι τεὸν νόον. ἦέ σε δαμνᾷ
τάρβος ἐπιπλόμενον, τό, τ᾽ ἀνάλκιδας ἄνδρας ἀτύζει;
ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
κῦδος ἐνι πτολέμοισιν ἀείρομαι, οὐ δέ μ᾽ ὀφέλλει
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ, μή νύ τι πῆμα
λοίγιον ἔσσεσθαι, μὴ δ᾽ ἀκράαντον ἄεθλον

Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.
τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις."
ἦ, καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν
πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
χείλεα κυάνεαί τε γενειάδες· οἳ δ' ὁμάδησαν
πάντες ὁμῶς, Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσεν
„δαιμόνιε, φρονέεις ὀλοφώια καὶ πάρος αὐτῷ.
ἦέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτίζειν;
ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
θαρσύνοι ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας.
τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν
υἷας Ἀλωιάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀιστοῖς
ἄμφω Λητοΐδαο, καὶ ἴφθιμοί περ ἐόντες."
ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήιος Ἴδας,
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν
„ἄγρει νῦν τόδε σῇσι θεοπροπίῃσιν ἐνίσπες,
εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
οἷον Ἀλωιάδῃσι πατὴρ τεὸς ἐγγυάλιξεν.
φράζεο δ', ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
χρειὼ θεσπίζων μεταμώνιον ἤ κεν ἁλῴης."
χώετ' ἐνιπτάζων· προτέρω δέ κε νεῖκος ἐτύχθη,
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
αὐτός τ' Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεὺς
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὔρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες

αὐτῇσιν νύμφῃσι, καὶ ἑρπετὰ πάντ' ἐγένοντο.
ἤειδεν δ' ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο·
ὥς τε βίῃ καὶ χερσὶν ὃ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἣ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνι κύμασιν ὠκεανοῖο·
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδὼς
Δικταῖον ναίεσκεν ὑπο σπέος, οἱ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διὶ κῦδος ὀπάζει.
ἦ καὶ ὃ μὲν φόρμιγγα συν ἀμβροσίῃ σχέθεν αὐδῇ·
τοὶ δ' ἄμοτον λήξαντος ἔτι προὔχοντο κάρηνα
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
κηληθμῷ· τοῖόν σφιν ἐνέλλιπε θέλκτρον ἀοιδῆς.
οὐ δ' ἐπι δὴν μετέπειτα κερασσάμενοι Διὶ λοιβάς,
ἣ θέμις, εὐαγέως ἐπί τε γλώσσῃσι χέοντο
αἰθομέναις, ὕπνου δὲ δια κνέφας ἐμνώοντο.
αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
βαινέμεναί τ' ἐπι νῆα καὶ ἀρτύνασθαι ἐρετμά.
σμερδαλέον δὲ λιμὴν Παγασήιος ἠδὲ καὶ αὐτὴ
Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνα μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
οἱ δ' ἀνα σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν,
ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν ᾧ ἐνι χώρῳ,
εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
μέσσῳ δ' Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο, καὶ οἱ ἔνερθεν
ποσσὶν ὑπεκλύσθη νηὸς τρόπις. εἵλκετο δ' ἤδη

πείσματα, καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός. αὐτὰρ Ἰήσων
δακρυόεις γαίης ἄπο πατρίδος ὄμματ' ἔνεικεν.
οἱ δ', ὥστ' ἠίθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ
ἤ που ἐν Ὀρτυγίῃ, ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
στησάμενοι φόρμιγγος ὕπαι περὶ βωμὸν ὁμαρτῇ
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
ὣς οἱ ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο·
ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη
δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
τεύχεα· μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
ἀτραπὸς ὣς χλοεροῖο διειδομένη πεδίοιο.
πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
πόντον ἐπιπλώεσκον· ἐπ' ἀκροτάτῃσι δὲ νύμφαι
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
ἔργον Ἀθηναίης Ἰτωνίδος ἠδὲ καὶ αὐτοὺς
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
αὐτὰρ ὅγ' ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
Χείρων Φιλλυρίδης, πολιῇ δ' ἐπὶ κύματος ἀγῇ
τέγγε πόδας, καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων
νόστον ἐπευφήμησεν ἀκηδέα νεισομένοισιν.
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
Πηλείδην Ἀχιλῆα, φίλῳ δειδίσκετο πατρί.
οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν
φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἁγνιάδαο
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν ἐΰξοα τεχνηέντως
πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι,
δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
δῆσαν δὲ προτόνοισι, τανυσσάμενοι ἑκάτερθεν,
καδ δ' αὐτοῦ λίνα χεῦαν, ἐπ' ἠλακάτην ἐρύσαντες.

ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες
Τισαίην εὔκηλοι ὑπερ δολιχὴν θέον ἄκρην.
τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
Οἰάγροιο πάις νηοσσόον εὐπατέρειαν
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν
ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· τοὶ δὲ βαθείης
ἰχθύες ἀίσσοντες ὕπερθ' ἁλός, ἄμμιγα παύροις
ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
εἰς αὖλιν, ὃ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
καλὰ μελιζόμενος νόμιον μέλος· ὣς ἄρα τοίγε
ὡμάρτευν· τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.
αὐτίκα δ' ἠερίη πολυλήιος αἶα Πελασγῶν
δύετο, Πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη,
φαίνετο δ' εἰναλίη Σκίαθος, φαίνοντο δ' ἄπωθεν
Πειρεσιαὶ Μάγνησά θ' ὑπεύδιος ἠπείροιο
ἀκτὴ καὶ τύμβος Δολοπήιος· ἔνθ' ἄρα τοίγε
ἑσπέριοι ἀνέμοιο παλιμπνοίῃσιν ἔκελσαν,
καί μιν κυδαίνοντες ὑπο κνέφας ἔντομα μήλων
κεῖαν ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ' ἀκταῖς
ἤματ' ἐλινύεσκον, ἀτὰρ τριτάτῳ προέηκαν
νῆα, τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
τὴν δ' ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν
ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.
— ἠῶθεν δ' Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
πόντῳ κεκλιμένην παρεμέτρεον· οὐ δ' ἔτι δηρὸν
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
κεῖθεν δ' Εὐρυμενάς τε πολυκλύστους τε φάραγγας

Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον· αὐτὰρ ἔπειτα
κλίτεα Παλλήναια, Καναστραίην ὕπερ ἄκρην,
ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
ἦρι δὲ νεισομένοισιν Ἄθω ἀνέτελλε κολώνη
Θρηικίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
ὅσσον ἐς ἔνδιόν κεν ἐύστολος ὁλκὰς ἀνύσσαι,
ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπι κνέφας οὖρος
πάγχυ μάλ' ἀκραής, τετάνυστο δὲ λαίφεα νηός.
αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
εἰρεσίῃ κραναὴν Σιντηίδα Λῆμνον ἵκοντο.
ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπι ληιάδεσσιν
τρηχὺν ἔρον, ἃς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν
Θρηικίην δῃοῦντες· ἐπεὶ χόλος αἰνὸς ὄπαζεν
Κύπριδος, οὕνεκά μιν γεράων ἐπι δηρὸν ἄτισσαν.
ὦ μέλεαι, ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
οὐκ οἶον συν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
μήτινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατα δῆμον ἄνασσεν·
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθ' ὕστερον αὐδηθεῖσαν
νῆσον, ἐπακτῆρες, Σικίνου ἄπο, τόν ῥα Θόαντι
νηιὰς Οἰνοίη νύμφη τέκεν εὐνηθεῖσα.
ταῖσι δὲ βουκολίαι τε βοῶν χάλκειά τε δύνειν
τεύχεα, πυροφόρους τε διατμήξασθαι ἀρούρας
ῥηίτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,

οἷς αἰεὶ τὸ πάροιθεν ὁμίλεον. ἀλλὰ γὰρ ἔμπης
ἦ θαμὰ δὴ πάπταινον ἐπι πλατὺν ὄμμασι πόντον
δείματι λευγαλέῳ, ὁπότε Θρήικες ἴασιν.
τῶ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργώ,
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
δήια τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν
Θρήικας· ἡ δ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
δῦν' ἐνι τεύχεσι πατρός. ἀμηχανίῃ δ' ἐχέοντο
ἄφθογγοι· τοῖόν σφιν ἐπὶ δέος ᾐωρεῖτο.
  τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Αἰθαλίδην κήρυκα θοόν, τῷπέρ τε μέλεσθαι
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
— σφωιτέροιο τοκῆος, ὅς οἱ μνῆστιν πόρε πάντων
ἄφθιτον· οὐ δ' ἔτι νῦν περ ἐποιχομένου Ἀχέροντος
δίνας ἀπροφάτους ψυχὴν ἐπεδέδρομε λήθη·
ἀλλ' ἥγ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
ἠελίου ζωοῖσι μετ' ἀνδράσιν. ἀλλὰ τί μύθους
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
ὅς ῥα τόθ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
ἤματος ἀνομένοιο δια κνέφας· οὐ δὲ μὲν ἠοῖ
πείσματα νηὸς ἔλυσαν ἐπι πνοιῇ βορέαο.
  Λημνιάδες δὲ γυναῖκες ἀνα πτόλιν ἷζον ἰοῦσαι
εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπύλεια.
καί ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
αὐτίκ' ἄρ ἥγ' ἐνι τῇσιν ἐποτρύνουσ' ἀγόρευεν
„ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
ἀνδράσιν, οἶά τ' ἔοικεν ἄγειν ἐπι νηὸς ἔχοντας,
ἤια καὶ μέθυ λαρόν, ἵν' ἔμπεδον ἔκτοθι πύργων
μίμνοιεν, μὴ δ' ἄμμε κατα χρειὼ μεθέποντες
ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπι πολλὸν ἵκηται

βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὔ δέ τι πάμπαν
θυμηδὲς καὶ τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
ἡμετέρη μὲν νῦν τοίη παρενήνοθε μῆτις.
ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα."
ὣς ἄρ ἔφη, καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
λάινον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξώ,
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
βάκτρῳ ἐρειδομένη· περὶ δέ μενέαιν' ἀγορεῦσαι.
τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
ἀδμῆτες λευκῇσιν ἐπιχνοαούσῃ ἐθείραις.
στῆ δ' ἄρ ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ' ἔσχεθε δειρὴν
ἦκα μόλις κυφοῖο μεταφρένου, ὧδέ τ' ἔειπεν
„δῶρα μέν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
πέμπωμεν ξείνοισιν, ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
ὔμμί γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο,
αἴ κεν ἐπιβρίσῃ Θρήιξ στρατός, ἠέ τις ἄλλος
δυσμενέων, ἅτε πολλὰ μετ' ἀνθρώποισι πέλονται;
ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωίστως ἐφικάνει.
εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέποι, ἄλλα δ' ὀπίσσω
μυρία δηιοτῆτος ὑπέρτερα πήματα μίμνει,
εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθωσι γυναῖκες,
κουρότεραι δ' ἄγονοι στυγερὸν ποτὶ γῆρας ἵκησθε.
πῶς τῆμος βώσεσθε δυσάμμοροι; ἦε βαθείαις
αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις
γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
καὶ πρόκα τελλομένου ἔτεος στάχυν ἀμήσονται;
ἦ μὲν ἐγών, εἰ καί με τὰ νῦν ἔτι πεφρίκασιν
Κῆρες, ἐπερχόμενόν που ὀίομαι εἰς ἔτος ἤδη
γαῖαν ἐφέσσεσθαι, κτερέων ἄπο μοῖραν ἑλοῦσαν
αὔτως, ᾗ θέμις ἐστί, πάρος κακότητα πελάσσαι.
ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.

νῦν γὰρ δὴ παρα ποσσὶν ἐπήβολός ἐστ' ἀλεωρή,
εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληίδα πᾶσαν
ὑμετέρην ξείνοισι καὶ ἀγλαὸν ἄστυ μέλεσθαι.“
ὣς ἔφατ'· ἐν δ' ἀγορὴ πλῆτο θρόου. εὔαδε γάρ σφιν
μῦθος. ἀτὰρ μετα τήνγε παρασχεδὸν αὖθις ἀνῶρτο
Ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα
„εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινή,
ἤδη κεν μετα νῆα καὶ ἄγγελον ὀτρύναιμι.“
ἦ ῥα καὶ Ἰφινόην μετεφώνεεν ἆσσον ἐοῦσαν
„ὄρσό μοι, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
ἡμέτερον δὲ μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλωσιν,
κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας.“
ἦ, καὶ ἔλυσ' ἀγορήν· μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι.
ὣς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ'· οἳ δ' ἐρέεινον,
χρεῖος ὅ τι φρονέουσα μετήλυθεν. ὦκα δὲ τούσγε
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας
„κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν,
Ὑψιπύλη, καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπῃ·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλητε,
κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.“
ὣς ἄρ ἔφη· πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος.
Ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο Θόαντος
τηλυγέτην γεγαυῖαν ἀνασσέμεν· ὦκα δὲ τόνγε
πέμπον ἴμεν, καὶ δ' αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσεν
Παλλάς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
τῆς μὲν ῥηΐτερόν κεν ἐς ἠέλιον ἀνιόντα

ὅσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσα τέτυκτο,
ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν· ἐν δ' ἄρ ἑκάστῳ
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐκέκαστο.
ἐν μὲν ἔσαν Κύκλωπες ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι· ὃς τόσον ἤδη
παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον
ἀκτῖνος, τὴν οἵγε σιδηρείης ἐλάασκον
σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀυτμήν.
ἐν δ' ἔσαν Ἀντιόπης Ἀσωπίδος υἱέε δοιώ,
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ' ἔτι Θήβη
κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
οὔρεος ἠλιβάτοιο κάρη, μογέοντι ἐοικώς·
Ἀμφίων δ' ἐπι οἷ χρυσέῃ φόρμιγγι λιγαίνων
ἤιε, δὶς τόσση δὲ μετ' ἴχνια νείσετο πέτρη.
ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
πῆχυν ἔπι σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
νέρθεν ὑπεκ μαζοῖο· τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφι δὲ βουσὶν
Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος·
οἳ μὲν ἀμυνόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι,
λῃσταὶ Τάφιοι· τῶν δ' αἵματι δεύετο λειμὼν
ἑρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες·
καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων
ἡνία, συν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
τὸν δὲ μεταδρομάδην ἐπι Μυρτίλος ἤλασεν ἵππους,
συν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο

πῖπτεν, ἐπεσσύμενος Πελοπήια νῶτα δαΐξαι.
ἐν καὶ Ἀπόλλων Φοῖβος ὀιστεύων ἐτέτυκτο,
βούπαις οὔπω πολλός, ἑὴν ἐρύοντα καλύπτρης
μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
ἐν καὶ Φρίξος ἔην Μινυήιος ὡς ἐτεόν περ
εἰσαΐων κριοῦ, ὁ δ' ἄρ ἐξενέποντι ἐοικώς.
κείνους κ' εἰσορόων ἀκέοις, ψεύδοιό τε θυμόν,
ἐλπόμενος πυκινήν τιν' ἀπο σφείων ἐσακοῦσαι
βάξιν· ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη
Μαινάλῳ ἐν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν,
πρόφρων ἀντομένη· περὶ γὰρ μενέαινεν ἕπεσθαι
τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην,
δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
βῆ δ' ἴμεναι προτι ἄστυ φαεινῷ ἀστέρι ἶσος,
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα,
καί σφισι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
καλὸν ἐρευθόμενος, γάνυται δέ τε ἠιθέοιο
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες·
τῷ ἴκελος προ πόληος ἀνα στίβον ἤιεν ἥρως.
καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
δημότεραι μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες,
γηθόσυναι ξείνῳ· ὁ δ' ἐπι χθονὸς ὄμματ' ἐρείσας
νεῖσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
Ὑψιπύλης· ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
δικλίδας, εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.
ἔνθά μιν Ἰφινόη κλισμῷ ἔνι παμφανόωντι
ἐσσυμένως καλῆς δια παστάδος εἷσεν ἄγουσα

ἀντία δεσποίνης· ἣ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
παρθενικὰς ἐρύθηνε παρηΐδας· ἔμπα δὲ τόνγε
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισιν.
„ξεῖνε, τί ἢ μίμνοντες ἐπι χρόνον ἔκτοθι πύργων
ἧσθ' αὔτως; ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ,
ἀλλὰ Θρηικίης ἐπινάστιοι ἠπείροιο
πυροφόρους ἀρόωσι γύας. κακότητα δὲ πᾶσαν
ἐξερέω νημερτές, ἵν' εὖ γνοίητε καὶ αὐτοί.
εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
τηνίκα Θρηΐκων, οἵτ' ἀντία ναιετάουσιν,
δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλους
ἐκ νηῶν, αὐτῇσι δ' ἀπείρονα ληΐδα κούραις
δεῦρ' ἄγον. οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
Κύπριδος, ἥτέ σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἐκ δὲ μελάθρων,
ᾗ ματίῃ εἴξαντες, ἀπεσσεύοντο γυναῖκας·
αὐτὰρ ληιάδεσσι δορικτήταις παρίαυον,
σχέτλιοι. ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κέ ποτ' αὖτις
ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
πῆμα κακὸν προύβαινεν. ἀτιμάζοντο δὲ τέκνα
γνήσι' ἐνι μεγάροις, σκοτίη δ' ἀνέτελλε γενέθλη.
αὔτως δ' ἀδμῆτές τε κόραι χῆραί τ' ἐπι τῇσιν
μητέρες ἀμ πτολίεθρον ἀτημελέως ἀλάληντο·
οὐ δὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρός,
εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
μητρυιῆς ὑπο χερσὶν ἀτασθάλου· οὐ δ' ἀπο μητρὸς
λώβην, ὡς τὸ πάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
οὐ δὲ κασιγνήτοισι κασιγνήτη μέλε θυμῷ.
ἀλλ' οἶαι κοῦραι ληΐτιδες ἔν τε δόμοισιν
ἔν τε χοροῖς ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο·
εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος,
ἂψ ἀνερχομένους Θρῃκῶν ἄπο μηκέτι πύργοις

δέχθαι, ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πῃ ἄλλῃ
αὐταῖς ληιάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
οἳ δ' ἄρα θεσσάμενοι παίδων γένος, ὅσσον ἔλειπτο
ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
Θρηϊκίης ἄροσιν χιονώδεα ναιετάουσιν.
τῶ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
ναιετάειν ἐθέλοις, καί τοι ἅδοι, ἦ τ' ἂν ἔπειτα
πατρὸς ἐμοῖο Θόαντος ἔχοις γέρας· οὐ δέ τί σ' οἴω
γαῖαν ὀνόσσεσθαι· περὶ γὰρ βαθυλήιος ἄλλων
νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσιν.
ἀλλ' ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἐνίσπες
μύθους ἡμετέρους, μὴ δ' ἔκτοθι μίμνε πόληος."
ἴσκεν, ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη
ἀνδράσιν· αὐτὰρ ὃ τήνγε παραβλήδην προσέειπεν
„Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
εἶμι δ' ὑπότροπος αὖτις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
ἐξείπω κατὰ κόσμον. ἀνακτορίη δὲ μελέσθω
σοί τ' αὐτῇ καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι."
ἦ, καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ' ὀπίσσω
βῆ ῥ' ἴμεν. ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
μυρίαι εἱλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
ἐξέμολεν. μετέπειτα δ' ἐυτροχάλοισιν ἁμάξαις
ἀκτὴν εἰσανέβαν ξεινήια πολλὰ φέρουσαι,
μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσεν,
τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια.
καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
ῥηιδίως. Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν
Ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
ἔνθ' ὁ μὲν Ὑψιπύλης βασιλήιον ἐς δόμον ὦρτο

Αἰσονίδης· οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
Ἡρακλῆος ἄνευθεν· ὃ γὰρ παρὰ νηὶ λέλειπτο
αὐτὸς ἑκὼν παῦροί τε διακρινθέντες ἑταῖροι.
αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει
καπνῷ κνισήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
ἀθανάτων Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
ναυτιλίης· δηρὸν δ' ἂν ἐλίνυον αὖθι μένοντες,
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
Ἡρακλέης τοίοισιν ἐνιπτάζων μετέειπεν
„δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀποέργει
ἡμέας; ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
κεῖθεν, ὀνοσσάμενοι πολιήτιδας; αὖθι δ' ἕαδεν
ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
ἐσσόμεθ' ὧδ' ἐπὶ δηρὸν ἐελμένοι· οὐ δέ τι κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.
ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις
Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
παισὶν ἐσανδρώσῃ, μεγάλη τέ ἑ βάξις ἵκηται."
ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ' οὔ νύ τις ἔτλη
ὄμματ' ἀνασχεθέειν, οὐ δὲ προτιμυθήσασθαι·
ἀλλ' αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
σπερχόμενοι. ταὶ δέ σφιν ἐπέδραμον, εὖτ' ἐδάησαν.
ὡς δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
πέτρης ἐκχύμεναι σιμβληίδος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις γάνυται, καὶ δὲ γλυκὺν ἄλλοτ' ἐπ' ἄλλον
καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταίγε
ἐνδυκὲς ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο,
χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.

ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος
„νείσεο, καί σε θεοὶ συν ἀπηρέσιν αὖτις ἑταίροις
χρύσειον βασιλῆι δέρος κομίσειαν ἄγοντα
αὔτως, ὡς ἐθέλεις καί τοι φίλον. ἥδε δὲ νῆσος
σκῆπτρά τε πατρὸς ἐμοῖο παρέσσεται, ἢν καὶ ὀπίσσω
δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι·
ῥηιδίως δ' ἂν ἑοῖ καὶ ἀπείρονα λαὸν ἀγείραις
ἄλλων ἐκ πολίων. ἀλλ' οὐ σύγε τῆνδε μενοινὴν
σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι·
μνώεο μὴν ἀπεών περ ὁμῶς καὶ νόστιμος ἤδη
Ὑψιπύλης· λίπε δ' ἧμιν ἔπος, τό κεν ἐξανύσαιμι
πρόφρων, ἢν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.“
τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν
„Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
ἐκ μακάρων. τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
ἴσχαν'· ἐπεὶ πάτρην μοι ἅλις Πελίαο ἕκητι
ναιετάειν· μοῦνόν με θεοὶ λύσειαν ἀέθλων.
εἰ δ' οὔ μοι πέπρωται ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
πέμπέ μιν ἡβήσαντα Πελασγίδος ἔνδον Ἰωλκοῦ
πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος, ἢν ἄρα τούσγε
τέτμῃ ἔτι ζώοντας, ἵν' ἄνδιχα τοῖο ἄνακτος
σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν.“
ἦ, καὶ ἔβαιν' ἐπι νῆα παροίτατος· ὣς δὲ καὶ ἄλλοι
βαῖνον ἀριστῆες· λάζοντο δὲ χερσὶν ἐρετμὰ
ἐνσχερὼ ἑζόμενοι· πρυμνήσια δέ σφισιν Ἄργος
λῦσεν ὕπεκ πέτρης ἁλιμυρέος. ἔνθ' ἄρα τοίγε
κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
ἑσπέριοι δ' Ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν
νῆσον ἐς Ἠλέκτρης Ἀτλαντίδος, ὄφρα δαέντες
ἀρρήτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας

σαώτεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
τῶν μὲν ἔτ' οὐ προτέρω μυθήσομαι· ἀλλὰ καὶ αὐτὴ
νῆσος ὁμῶς κεχάροιτο καὶ οἳ λάχον ὄργια κεῖνα
δαίμονες ἐνναέται, τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.
κεῖθεν δ' εἰρεσίῃ Μέλανος δια βένθεα πόντου
ἱέμενοι τῇ μὲν Θρῃκῶν χθόνα, τῇ δὲ περαίην
Ἴμβρον ἔχον καθύπερθε· νέον γε μὲν ἠελίοιο
δυομένου Χερόνησον ἔπι προύχουσαν ἵκοντο.
ἔνθά σφιν λαιψηρὸς ἄη νότος· ἱστία δ' οὔρῳ
στησάμενοι κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα
εἰσέβαλον· πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο
ἦρι, τὸ δ' ἐννύχιοι Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς
μέτρεον, Ἰδαίην ἔπι δεξιὰ γαῖαν ἔχοντες.
Δαρδανίην δὲ λιπόντες ἐπιπροσέβαλλον Ἀβύδῳ,
Περκώτην δ' ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν
ἠιόνα ζαθέην τε παρήμειβον Πιτύειαν.
καὶ δὴ τῇγ' ἐπι νυκτὶ διάνδιχα νηὸς ἰούσης
δίνῃ πορφύροντα διήνυσαν Ἑλλήσποντον.
ἔστι δέ τις αἰπεῖα Προποντίδος ἔνδοθι νῆσος
τυτθὸν ἀπο Φρυγίης πολυληίου ἠπείροιο
εἰς ἅλα κεκλιμένη, ὅσσον τ' ἐπιμύρεται ἰσθμὸς
χέρσῳ ἐπιπρηνὴς καταειμένος. ἐν δέ οἱ ἀκταὶ
ἀμφίδυμοι, κεῖνται δ' ὑπερ ὕδατος Αἰσήποιο·
Ἄρκτων μιν καλέουσιν ὄρος περιναιετάοντες.
καὶ τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι αἰὲν ἔχουσιν
Γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι·
ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται,
αἱ μὲν ἀπο στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
τέσσαρες αἰνοτάτῃσιν ἐπι πλευρῇς ἀραρυῖαι.
ἰσθμὸν δ' αὖ πεδίον τε Δολίονες ἀμφενέμοντο
ἀνέρες· ἐν δ' ἥρως Αἰνήιος υἱὸς ἄνασσεν
Κύζικος, ὃν κούρη δίου τέκεν Εὐσώροιο

Αἰνήτῃ. τοὺς δ' οὔτι καὶ ἔκπαγλοί περ ἐόντες
Γηγενέες σίνοντο, Ποσειδάωνος ἀρωγῇ·
τοῦ γὰρ ἔσαν τὰ πρῶτα Δολίονες ἐκγεγαῶτες.
ἔνθ' Ἀργὼ προύτυψεν ἐπειγομένη ἀνέμοισιν
Θρηικίοις, καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
Τίφυος ἐννεσίῃσιν ὕπο κρήνῃ ἐλίποντο,
κρήνῃ ὑπ' Ἀρτακίῃ· ἕτερον δ' ἕλον, ὅστις ἀρήρει,
βριθύν· ἀτὰρ κεῖνόν γε θεοπροπίαις Ἑκάτοιο
Νηλεΐδαι μετόπισθεν Ἰάονες ἱδρύσαντο
ἱερόν, ἣ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.
τοὺς δ' ἄμυδις φιλότητι Δολίονες ἠδὲ καὶ αὐτὸς
Κύζικος ἀντήσαντες ὅτε στόλον ἠδὲ γενέθλην
ἔκλυον, οἵτινες εἶεν, ἐυξείνως ἀρέσαντο,
καί σφεας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
ἔνθ' οἵγ' Ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι
εἰσάμενοι παρα θῖνα, θυηπολίης τ' ἐμέλοντο.
δῶκεν δ' αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν
μῆλά θ' ὁμοῦ· δὴ γάρ οἱ ἔην φάτις, εὖτ' ἂν ἵκωνται
ἀνδρῶν ἡρώων θεῖος στόλος, αὐτίκα τόνγε
μείλιχον ἀντιάαν, μὴ δὲ πτολέμοιο μέλεσθαι.
ἶσόν που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι,
οὐ δέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο·
ἀλλ' ἔτι οἱ κατα δώματ' ἀκήρατος ἦεν ἄκοιτις
ὠδίνων, Μέροπος Περκωσίου ἐκγεγαυῖα,
Κλείτη ἐυπλόκαμος, τὴν μὲν νέον ἐξέτι πατρὸς
θεσπεσίοις ἕδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.
ἀλλὰ καὶ ὧς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης
τοῖς μέτα δαῖτ' ἀλέγυνε, βάλεν δ' ἄπο δείματα θυμοῦ.
ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς. ἤτοι ὁ μὲν σφέων
πεύθετο ναυτιλίης ἄνυσιν Πελίαό τ' ἐφετμάς·

Οἰνείδης δ' ἐπὶ τοῖσιν ἕλεν θρασὺν Ἰτυμονῆα
ἠδὲ καὶ Ἀρτακέα, πρόμον ἀνδρῶν· οὓς ἔτι πάντας
ἐνναέται τιμαῖς ἡρωίσι κυδαίνουσιν.
οἱ δ' ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠύτε κίρκους
ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι·
ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι· αἶψα δ' ἀυτῆς
πλῆτο πόλις στονόεντος ὑποτροπίῃ πολέμοιο.
ἠῶθεν δ' ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
ἀμπλακίην ἄμφω· στυγερὸν δ' ἄχος εἷλεν ἰδόντας
ἥρωας Μινύας Αἰνήιον υἷα πάροιθεν
Κύζικον ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
ἤματα δὲ τρία πάντα γόων, τίλλοντό τε χαίτας
αὐτοὶ ὁμῶς λαοί τε Δολίονες. αὐτὰρ ἔπειτα
τρὶς περι χαλκείοις συν τεύχεσι δινηθέντες
τύμβῳ ἐνεκτερέιξαν, ἐπειρήσαντό τ' ἀέθλων,
ἣ θέμις, ἀμ πεδίον λειμώνιον, ἔνθ' ἔτι νῦν περ
ἀγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
οὐ δὲ μὲν οὐδ' ἄλοχος Κλείτη φθιμένοιο λέλειπτο
οὗ πόσιος μετόπισθε· κακῷ δ' ἐπι κύντερον ἄλλο
ἤνυσεν, ἁψαμένη βρόχον αὐχένι. τὴν δὲ καὶ αὐταὶ
νύμφαι ἀποφθιμένην ἀλσηίδες ὠδύραντο·
καί οἱ ἀπο βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε,
πάντα τάγε κρήνην τεῦξαν θεαί, ἣν καλέουσιν
Κλείτην, δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
αἰνότατον δὴ κεῖνο Δολιονίῃσι γυναιξὶν
ἀνδράσι τ' ἐκ Διὸς ἦμαρ ἐπήλυθεν· οὐδὲ γὰρ αὐτῶν
ἔτλη τις πάσσασθαι ἐδητύος, οὐ δ' ἐπι δηρὸν
ἐξ ἀχέων ἔργοιο μυληφάτου ἐμνώοντο·
ἀλλ' αὔτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
ἔνθ' ἔτι νῦν, εὖτ' ἂν σφιν ἐτήσια χύτλα χέωνται
Κύζικον ἐνναίοντες Ἰάονες, ἔμπεδον αἰεὶ
πανδήμοιο μύλης πελανοὺς ἐπαλετρεύουσιν.

ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
ἤμαθ' ὁμοῦ νύκτας τε δυώδεκα, τοὺς δὲ κατ' αὖθι
ναυτίλλεσθαι ἔρυκον. ἐπιπλομένῃ δ' ἐνὶ νυκτὶ
ὧλλοι μέν ῥα πάρος δεδμημένοι εὐνάζοντο
ὕπνῳ ἀριστῆες πύματον λάχος· αὐτὰρ Ἄκαστος
Μόψός τ' Ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυντο.
ἢ δ' ἄρ ὑπὲρ ξανθοῖο καρήατος Αἰσονίδαο
πωτᾶτ' ἀλκυονὶς λιγυρῇ ὀπὶ θεσπίζουσα
λῆξιν ὀρινομένων ἀνέμων· συνέηκε δὲ Μόψος
ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν, ἷζε δ' ὕπερθεν
νηίου ἀφλάστοιο μετήορος ἀίξασα·
τὸν δ' ὅγε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν
κινήσας ἀνέγειρε παρασχεδόν, ὧδέ τ' ἔειπεν
„Αἰσονίδη, χρειώ σε τόδ' ἱερὸν εἰσανιόντα
Δινδύμου ὀκριόεντος ἐύθρονον ἱλάξασθαι
μητέρα συμπάντων μακάρων· λήξουσι δ' ἄελλαι
ζαχρηεῖς. τοίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
ἀλκυόνος ἁλίης, ἥτε κνώσσοντος ὕπερθεν
σεῖο πέριξ τὰ ἕκαστα πιφαυσκομένη πεπότηται.
ἐκ γὰρ τῆς ἄνεμοί τε θάλασσά τε νειόθι τε χθὼν
πᾶσα πεπείρηται νιφόεν θ' ἕδος Οὐλύμποιο·
καί οἱ, ὅτ' ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνῃ,
Ζεὺς αὐτὸς Κρονίδης ὑποχάζεται. ὣς δὲ καὶ ὧλλοι
ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν.“
ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος, ὦρσε δ' ἑταίρους
πάντας ἐπισπέρχων, καί τέ σφισιν ἐγρομένοισιν
Ἀμπυκίδεω Μόψοιο θεοπροπίας ἀγόρευεν.
αἶψα δὲ κουρότεροι μὲν ἄπο σταθμῶν ἐλάσαντες
ἔνθεν ἐς αἰπεινὴν ἄναγον βόας οὔρεος ἄκρην.
οἳ δ' ἄρα λυσάμενοι Ἱερῆς ἐκ πείσματα πέτρης

ἤρεσαν ἐς λιμένα Θρηΐκιον· ἂν δὲ καὶ αὐτοὶ
βαῖνον, παυροτέρους ἑτάρων ἐν νηὶ λιπόντες.
τοῖσι δὲ Μακριάδες σκοπιαὶ καὶ πᾶσα περαίη
Θρηικίης ἐνι χερσὶν ἑαῖς προυφαίνετ' ἰδέσθαι·
φαίνετο δ' ἠερόεν στόμα Βοσπόρου ἠδὲ κολῶναι
Μυσίαι· ἐκ δ' ἑτέρης ποταμοῦ ῥόος Αἰσήποιο
ἄστυ τε καὶ πεδίον Νηπήιον Ἀδρηστείης.
ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλῃ,
πρόχνυ γεράνδρυον· τὸ μὲν ἔκταμον, ὄφρα πέλοιτο
δαίμονος οὐρείης ἱερὸν βρέτας· ἔξεσε δ' Ἄργος
εὐκόσμως, καὶ δή μιν ἐπ' ὀκριόεντι κολωνῷ
ἵδρυσαν φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν,
αἵ ῥά τε πασάων πανυπέρταται ἐρρίζωνται.
βωμὸν δ' αὖ χεράδος παρενήνεον· ἀμφι δὲ φύλλοις
στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο
Μητέρα Δινδυμίην πολυπότνιαν ἀγκαλέοντες,
ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα Κύλληνόν τε,
οἳ μοῦνοι πολέων μοιρηγέται ἠδὲ πάρεδροι
Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασιν
Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε νύμφη
Ἀγχιάλη Δικταῖον ἀνα σπέος ἀμφοτέρῃσιν
δραξαμένη γαίης Οἰαξίδος ἐβλάστησεν.
πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐριώλας
Αἰσονίδης γουνάζετ' ἐπιλλείβων ἱεροῖσιν
αἰθομένοις· ἄμυδις δὲ νέοι Ὀρφῆος ἀνωγῇ
σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο,
καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
δύσφημος πλάζοιτο δι' ἠέρος, ἣν ἔτι λαοὶ
κηδείῃ βασιλῆος ἀνέστενον. ἔνθεν ἐς αἰεὶ
ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.
ἣ δέ που εὐαγέεσσιν ἐπι φρένα θῆκε θυηλαῖς
ἀνταίη δαίμων· τὰ δ' ἐοικότα σήματ' ἔγεντο.

δένδρεα μὲν καρπὸν χέον ἄσπετον, ἀμφι δὲ ποσσὶν
αὐτομάτη φύε γαῖα τερείνης ἄνθεα ποίης.
θῆρες δ' εἰλυούς τε κατα ξυλόχους τε λιπόντες
οὐρῇσιν σαίνοντες ἐπήλυθον. ἡ δὲ καὶ ἄλλο
θῆκε τέρας· ἐπεὶ οὔτι παροίτερον ὕδατι ναῖεν
Δίνδυμον· ἀλλά σφιν τότ' ἀνέβραχε διψάδος αὔτως
ἐκ κορυφῆς ἄλληκτον· Ἰησονίην δ' ἐνέπουσιν
κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
καὶ τότε μὲν δαῖτ' ἀμφι θεᾶς θέσαν οὔρεσιν Ἄρκτων,
μέλποντες Ῥείην πολυπότνιαν· αὐτὰρ ἐς ἠῶ
ληξάντων ἀνέμων νῆσον λίπον εἰρεσίῃσιν.
ἔνθ' ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν,
ὅστις ἀπολλήξειε πανύστατος. ἀμφὶ γὰρ αἰθὴρ
νήνεμος ἐστόρεσεν δίνας, κατα δ' εὔνασε πόντον.
οἳ δὲ γαληναίῃ πίσυνοι ἐλάασκον ἐπιπρὸ
νῆα βίῃ· τὴν δ' οὔ κε διεξ ἁλὸς ἀίσσουσαν
οὐδὲ Ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.
ἔμπης δ' ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις,
αἳ νέον ἐκ ποταμῶν ὕπο δείελον ἠερέθονται,
τειρόμενοι καμάτῳ μετελώφεον· αὐτὰρ ὃ τούςγε
πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
Ἡρακλέης, ἐτίνασσε δ' ἀρηρότα δούρατα νηός.
ἀλλ' ὅτε δὴ Μυσῶν λελιημένοι ἠπείροιο
Ῥυνδακίδας προχοὰς μέγα τ' ἠρίον Αἰγαίωνος
τυτθὸν ὕπεκ Φρυγίης παρεμέτρεον εἰσορόωντες,
δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκοὺς
μεσσόθεν ἆξεν ἐρετμόν. ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
ἄμφω χερσὶν ἔχων πέσε δόχμιος, ἄλλο δὲ πόντος
κλύζε παλιρροθίοισι φέρων. ἀνα δ' ἕζετο σιγῇ
παπταίνων· χεῖρες γὰρ ἀήθεσον ἠρεμέουσαι.
ἦμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος ἤ τις ἀροτρεὺς
ἀσπασίως εἰς αὖλιν ἑήν, δόρποιο χατίζων,

αὐτοῦ δ' ἐν προμολῇ τετρυμένα γούνατ' ἔκαμψεν
αὐσταλέος κονίῃσι, περιτριβέας δέ τε χεῖρας
εἰσορόων κακὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί·
τῆμος ἄρ οἵγ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης
ἀμφ' Ἀργανθώνειον ὄρος προχοάς τε Κίοιο.
τοὺς μὲν ἐυξείνως Μυσοὶ φιλότητι κιόντας
δειδέχατ', ἐνναέται κείνης χθονός, ἤιά τέ σφιν
μῆλά τε δευομένοις μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
ἔνθα δ' ἔπειθ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες,
στόρνυσθαι· τοὶ δ' ἀμφι πυρήια δινεύεσκον·
οἱ δ' οἶνον κρητῆρσι κέρων, πονέοντό τε δαῖτα,
Ἐκβασίῳ ῥέξαντες ὑπο κνέφας Ἀπόλλωνι.
αὐτὰρ ὃ δαῖτα πένεσθαι ἑταίροις εὖ ἐπιτείλας
βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διός, ὥς κεν ἐρετμὸν
οἷ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος οὔτέ τι πολλοῖς
ἀχθομένην ὄζοις, οὐ δὲ μέγα τηλεθόωσαν·
ἀλλ' οἷον ταναῆς ἔρνος πέλει αἰγείροιο,
τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
ῥίμφα δ' ὀιστοδόκην μὲν ἐπι χθονὶ θῆκε φαρέτρην
αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἀπο δέρμα λέοντος.
τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
νειόθεν ἀμφοτέρῃσι περι στύπος ἔλλαβε χερσίν,
ἠνορέῃ πίσυνος· ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
εὖ διαβάς· πεδόθεν δὲ βαθύρριζόν περ ἐοῦσαν
προςφὺς ἐξήειρε συν αὐτοῖς ἔχμασι γαίης.
ὡς δ' ὅτ' ἂν ἀπροφάτως ἱστὸν νεός, εὖτε μάλιστα
χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο κατάιξ
αὐτοῖσιν σφήνεσσιν ὑπεκ προτόνων ἐρύσηται·
ὣς ὅγε τὴν ἤειρεν. ὁμοῦ δ' ἀνα τόξα καὶ ἰοὺς

*δέρμα θ' ἑλὼν ῥόπαλόν τε παλίσσυτος ὦρτο νέεσθαι.*
*τόφρα δ' Ὕλας χαλκέῃ συν κάλπιδι νόσφιν ὁμίλου*
*δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κέ οἱ ὕδωρ*
*φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλά τε πάντα*
*ὀτραλέως κατα κόσμον ἐπαρτίσσειεν ἰόντι.*
*δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβεν*
*νηπίαχον τὰ πρῶτα, δόμων ἐκ πατρὸς ἀπούρας,*
*δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν*
*νηλειῶς, βοὸς ἀμφι γεωμόρου ἀντιόωντα.*
*ἤτοι ὃ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ*
*Θειοδάμας, ἄτῃ βεβολημένος· αὐτὰρ ὃ τόνγε*
*βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.*
*ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι*
*λευγαλέην, ἐπεὶ οὔτι δίκης ἀλέγοντες ἔναιον.*
*ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.*
*αἶψα δ' ὅγε κρήνην μετεκίαθεν, ἣν καλέουσιν*
*Πηγὰς ἀγχίγυοι περιναιέται. οἱ δέ που ἄρτι*
*νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφισι πάσαις*
*ὅσσαι κεῖσ' ἐρατὸν νύμφαι ῥίον ἀμφενέμοντο,*
*Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.*
*αἳ μέν, ὅσαι σκοπιὰς ὀρέων λάχον ἢ καὶ ἐναύλους,*
*αἵ γε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο·*
*ἣ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο*
*νύμφη ἐφυδατίη· τὸν δὲ σχεδὸν εἰσενόησεν*
*κάλλεϊ καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν.*
*προς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα*
*βάλλε σεληναίη. τῆς δὲ φρένας ἐπτοίησεν*
*Κύπρις, ἀμηχανίῃ δὲ μόγις συναγείρατο θυμόν.*
*αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισεν*
*λέχρις ἐπιχριμφθείς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ*
*χαλκὸν ἐς ἠχήεντα φορεύμενον, αὐτίκα δ' ἥγε*
*λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν*

κύσσαι ἐπιθύουσα τέρεν στόμα· δεξιτερῇ δὲ
ἀγκῶν' ἔσπασε χειρί; μέσῃ δ' ἐνικάββαλε δίνῃ.
τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου.
δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
βῆ δὲ μεταΐξας Πηγέων σχεδὸν ἠΰτέ τις θὴρ
ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων,
λιμῷ δ' αἰθόμενος μετανείσεται, οὐ δ' ἐπέκυρσεν
ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνι σταθμοῖσι νομῆες
ἔλσαν· ὃ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν·
ὣς τότ' ἂρ Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφι δὲ χῶρον
φοίτα κεκληγώς· μελέη δέ οἱ ἔπλετο φωνή.
αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο νέεσθαι,
μήπως ἢ θήρεσσιν ἕλωρ πέλοι, ἠέ μιν ἄνδρες
μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληίδ' ἑτοίμην.
ἔνθ' αὐτῷ ξύμβλητο κατα στίβον Ἡρακλῆι
γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
σπερχόμενον μετα νῆα δια κνέφας. αὐτίκα δ' ἄτην
ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν
„δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτος ἐνίψω.
οὐ γὰρ Ὕλας κρήνηνδε κιὼν σόος αὖτις ἱκάνει·
ἀλλά ἑ ληιστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
ἢ θῆρες σίνονται· ἐγὼ δ' ἰάχοντος ἄκουσα.“
ὣς φάτο· τῷ δ' ἀίοντι κατα κροτάφων ἅλις ἱδρὼς
κήκιεν, ἐν δὲ κελαινὸν ὑπο σπλάγχνοις ζέεν αἷμα.
χωόμενος δ' ἐλάτην χαμάδις βάλεν, ἐς δὲ κέλευθον
τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀίσσοντα.
ὡς δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος
πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας, οὐ δὲ νομήων,
οὐ δ' ἀγέλης ὄθεται, πρήσσει δ' ὁδόν, ἄλλοτ' ἄπαυστος,
ἄλλοτε δ' ἱστάμενος, καὶ ανα πλατὺν αὐχέν' ἀείρων

*ἵησιν μύκημα, κακῷ βεβολημένος οἴστρῳ·
ὣς ὅγε μαιμώων ὁτὲ μὲν θοὰ γούνατ' ἔπαλλεν
συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο
τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν ἀυτῇ.
αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
ἠῷος, πνοιαὶ δὲ κατήλυθον· ὦκα δὲ Τῖφυς
ἐςβαίνειν ὀρόθυνεν ἐπαύρεσθαί τ' ἀνέμοιο.
οἳ δ' εἴςβαινον ἄφαρ λελιημένοι· ὕψι δὲ νηὸς
εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
γηθόσυνοι φορέοντο παραὶ Ποσιδήιον ἄκρην.
ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς
ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ' ἀταρποί,
καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ,
τῆμος τούςγ' ἐνόησαν ἀιδρείῃσι λιπόντες.
ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν, ἐν δὲ κολῳὸς
ἄσπετος, εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
σφωιτέρων ἑτάρων. ὃ δ' ἀμηχανίῃσιν ἀτυχθεὶς
οὔτέ τι τοῖον ἔπος μετεφώνεεν, οὔτέ τι τοῖον
Αἰσονίδης· ἀλλ' ἧστο βαρείῃ νειόθεν ἄτῃ
θυμὸν ἔδων· Τελαμῶνα δ' ἕλεν χόλος, ὧδέ τ' ἔειπεν
„ἧσ' αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
Ἡρακλῆα λιπεῖν· σέο δ' ἔκτοθι μῆτις ὄρωρεν,
ὄφρα τὸ κείνου κῦδος ἀν' Ἑλλάδα μή σε καλύψῃ,
αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.
ἀλλὰ τί μύθων ἦδος; ἐπεὶ καὶ νόσφιν ἑταίρων
εἶμι τέων, οἳ τόνγε δόλον συνετεκτήναντο.“
ἦ, καὶ ἐς Ἀγνιάδην Τῖφυν θόρε· τὼ δέ οἱ ὄσσε
ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.
καί νύ κεν ἂψ ὀπίσω Μυσῶν ἐπι γαῖαν ἵκοντο
λαῖτμα βιησάμενοι ἀνέμου τ' ἄλληκτον ἰωήν,
εἰ μὴ Θρηικίοιο δύω υἷες Βορέαο*

Αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν,
σχέτλιοι· ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
χερσὶν ὑφ' Ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον.
ἄθλων γὰρ Πελίαο δεδουπότος ἂψ ἀνιόντας
Τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν, καὶ ἀμήσατο γαῖαν
ἀμφ' αὐτοῖς, στήλας τε δύω καθύπερθεν ἔτευξεν,
ὧν ἑτέρη, θάμβος περιώσιον ἀνδράσι λεύσσειν,
κίνυται ἠχήεντος ὕπο πνοιῇ βορέαο.
καὶ τὰ μὲν ὧς ἤμελλε μετα χρόνον ἐκτελέεσθαι.
τοῖσιν δὲ Γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη,
Νηρῆος θείοιο πολυφράδμων ὑποφήτης·
ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας
νειόθεν ἐκ λαγόνων στιβαρῇ ἐπορέξατο χειρὶ
νηίου ὁλκαίοιο, καὶ ἴαχεν ἐσσυμένοισιν
„τίπτε παρεκ μεγάλοιο Διὸς μενεαίνετε βουλὴν
Αἰήτεω πτολίεθρον ἄγειν θρασὺν Ἡρακλῆα;
Ἄργει οἵ μοῖρ' ἐστὶν ἀτασθάλῳ Εὐρυσθῆι
ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους,
ναίειν δ' ἀθανάτοισι συνέστιον, εἴ κ' ἔτι παύρους
ἐξανύσῃ· τῷ μή τι ποθὴ κείνοιο πελέσθω.
αὕτως δ' αὖ Πολύφημον ἐπι προχοῇσι Κίοιο
πέπρωται Μυσοῖσι περικλεὲς ἄστυ καμόντα
μοῖραν ἀναπλήσειν Χαλύβων ἐν ἀπείρονι γαίῃ.
αὐτὰρ Ὕλαν φιλότητι θεὰ ποιήσατο νύμφη
ὃν πόσιν, οἷό περ οὕνεκ' ἀποπλαγχθέντες ἔλειφθεν."
ἦ, καὶ κῦμ' ἀλίαστον ἐφέσσατο νειόθι δύψας·
ἀμφι δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
πορφύρεον, κοίλην δὲ διεξ ἁλὸς ἔκλυσε νῆα.
γήθησαν δ' ἥρωες· ὃ δ' ἐσσυμένως ἐβεβήκει
Αἰακίδης Τελαμὼν ἐς Ἰήσονα, χεῖρα δὲ χειρὶ
ἄκρην ἀμφιβαλὼν προσπτύξατο, φώνησέν τε
„Αἰσονίδη, μή μοί τι χολώσεαι, ἀφραδίῃσιν

εἴ τί περ ἀασάμην· περὶ γάρ μ' ἄχος ἧκεν ἐνισπεῖν
μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον. ἀλλ' ἀνέμοισιν
δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.“
τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν·
„ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
ἔμμεναι. ἀλλ' οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω
πρίν περ ἀνιηθείς· ἐπεὶ οὐ περι πώεσι μήλων,
οὐ δὲ περι κτεάτεσσι χαλεψάμενος μενέηνας,
ἀλλ' ἑτάρου περι φωτός. ἔολπα δέ τοι σὲ καὶ ἄλλῳ
ἀμφ' ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτέ, δηρίσασθαι.“
ἦ ῥα, καὶ ἀρθμηθέντες, ὅπῃ πάρος, ἑδριόωντο.
τὼ δὲ Διὸς βουλῇσιν, ὃ μὲν Μυσοῖσι βαλέσθαι
μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
Εἰλατίδης Πολύφημος, ὃ δ' Εὐρυσθῆος ἀέθλους
αὖτις ἰὼν πονέεσθαι. ἐπηπείλησε δὲ γαῖαν
Μυσίδ' ἀναστήσειν αὐτοσχεδόν, ὁππότε μή οἱ
ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
τοῖο δὲ ῥύσι' ὄπασσαν ἀποκρίναντες ἀρίστους
υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο,
μήποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
τούνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοί,
κοῦρον Θειοδάμαντος, ἐυκτιμένης τε μέλονται
Τρηχῖνος. δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
οὓς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
νηῦν δὲ πανημερίην ἄνεμος φέρε νυκτί τε πάσῃ
λάβρος ἐπιπνείων· ἀτὰρ οὐδ' ἐπι τυτθὸν ἄητο
ἠοῦς τελλομένης. οἱ δὲ χθονὸς εἰσανέχουσαν
ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν ἐσιδέσθαι
φρασσάμενοι, κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν.

# ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ

## Α Ρ Γ Ο Ν Α Υ Τ Ι Κ Ω Ν Β.

Ἔνθα δ' ἔσαν σταθμοί τε βοῶν αὖλίς τ' Ἀμύκοιο,
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε νύμφη
τίκτε Ποσειδάωνι Γενεθλίῳ εὐνηθεῖσα
Βιθυνὶς Μελίη, ὑπεροπληέστατον ἀνδρῶν·
ὅστ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκεν,
μήτιν' ἀποστείχειν, πρὶν πειρήσασθαι ἑοῖο
πυγμαχίης· πολέας δὲ περικτιόνων ἐδάιξεν.
καὶ δὲ τότε προτὶ νῆα κιών, χρειώ μιν ἐρέσθαι
ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄτισσεν,
τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον
„κέκλυθ', ἁλίπλαγκτοι, τάπερ ἴδμεναι ὔμμιν ἔοικεν.
οὔτινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
ἀνδρῶν ὀθνείων, ὅς κεν Βέβρυξι πελάσσῃ,
πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
τῶ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἶον ὁμίλου
πυγμαχίῃ στήσασθε καταυτόθι δηρινθῆναι.
εἰ δ' ἂν ἀπηλεγέοντες ἐμὰς πατέοιτε θέμιστας,
ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη.“
ἦ ῥα μέγα φρονέων. τοὺς δ' ἄγριος εἰσαΐοντας
εἷλε χόλος. περὶ δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή.
αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο φώνησέν τε
„ἴσχεο νῦν, μὴ δ' ἄμμι κακὴν, ὅτις εὔχεαι εἶναι,
φαῖνε βίην· θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.
αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι.“
ὣς φάτ' ἀπηλεγέως· ὁ δ' ἐσέδρακεν ὄμμαθ' ἑλίξας,
ὥστε λέων ὑπ' ἄκοντι τετυμμένος, ὅντ' ἐν ὄρεσσιν
ἀνέρες ἀμφιπένονται· ὁ δ' ἰλλόμενός περ ὁμίλῳ

τῶν μὲν ἔτ' οὐκ ἀλέγει, ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος
ἄνδρα τόν, ὅς μιν ἔτυψε παροίτατος, οὐ δ' ἐδάμασσεν.
ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐΰστικτον θέτο φᾶρος
λεπταλέον, τό ῥά οἵ τις ἑὸν ξεινήιον εἶναι
ὤπασε Λημνιάδων· ὃ δ' ἐρεμνὴν δίπτυχα λώπην
αὐτῇσιν περόνῃσι καλαύροπά τε τρηχεῖαν
κάββαλε, τὴν φορέεσκεν, ὀριτρεφέος κοτίνοιο.
αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
ἷζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους,
οὐ δέμας, οὐ δὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
ἀλλ' ὃ μὲν ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
Γαίης εἶναι ἔικτο πέλωρ τέκος, οἷα πάροιθεν
χωομένη Διὶ τίκτεν· ὃ δ' οὐρανίῳ ἀτάλαντος
ἀστέρι Τυνδαρίδης, οὗπερ κάλλισται ἔασιν
ἑσπερίην δια νύκτα φαεινομένου ἀμαρυγαί.
τοῖος ἔην Διὸς υἱός, ἔτι χνοάοντας ἰούλους
ἀντέλλων, ἔτι φαιδρὸς ἐν ὄμμασιν. ἀλλά οἱ ἀλκὴ
καὶ μένος ἠύτε θηρὸς ἀέξετο· πῆλε δὲ χεῖρας
πειράζων, εἴθ' ὡς πρὶν ἐυτρόχαλοι φορέονται,
μὴ δ' ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
οὐ μὰν αὖτ' Ἄμυκος πειρήσατο· σῖγα δ' ἄπωθεν
ἑστηὼς εἰς αὐτὸν ἔχ' ὄμματα, καί οἱ ὀρέχθει
θυμὸς ἐελδομένῳ στηθέων ἐξ αἷμα κεδάσσαι.
τοῖσι δὲ μεσσηγὺς θεράπων Ἀμύκοιο Λυκωρεὺς
θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας
ὠμούς, ἀζαλέους, περὶ δ' οἵγ' ἔσαν ἐσκληῶτες.
αὐτὰρ ὃ τόνγ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα·
„τῶνδέ τοι ὅν κ' ἐθέλῃσθα, πάλου ἄτερ ἐγγυαλίξω
αὐτὸς ἑκών, ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν.
ἀλλὰ βάλευ περὶ χειρί· δαεὶς δέ κεν ἄλλῳ ἐνίσποις,
ὅσσον ἐγὼ ῥινούς τε βοῶν περί τ' εἰμὶ ταμέσθαι
ἀζαλέας, ἀνδρῶν τε παρηίδας αἵματι φῦρσαι.“

ὣς ἔφατ᾽. αὐτὰρ ὅγ᾽ οὔτι παραβλήδην ἐρίδηνεν·
ἧκα δὲ μειδήσας, οἵ οἱ παρα ποσσὶν ἔκειντο,
τοὺς ἕλεν ἀπροφάτως· τοῦ δ᾽ ἀντίος ἤλυθε Κάστωρ
ἠδὲ Βιαντιάδης Ταλαὸς μέγας, ὦκα δ᾽ ἱμάντας
ἀμφέδεον, μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν·
τῷ δ᾽ αὖτ᾽ Ἄρητός τε καὶ Ὄρνυτος, οὐ δέ τι ᾔδειν
νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
οἳ δ᾽ ἐπεὶ οὖν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
αὐτίκ᾽ ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
χεῖρας, ἐπ᾽ ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
ἔνθα δὲ Βεβρύκων μὲν ἄναξ, ἅτε κῦμα θαλάσσης
τρηχὺ θοὴν ἐπι νῆα κορύσσεται, ἣ δ᾽ ὑπο τυτθὸν
ἰδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλύσκει,
ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος,
ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ᾽, οὐ δέ μιν εἴα
δηθύνειν. ὃ δ᾽ ἂρ αἰὲν ἀνούτατος ἣν δια μῆτιν
αἴσσοντ᾽ ἀλέεινεν· ἀπηνέα δ᾽ αἶψα νοήσας
πυγμαχίην, ᾗ κάρτος ἀάατος, ᾗ τε χερείων,
στῆ ῥ᾽ ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
ὡς δ᾽ ὅτε νήια δοῦρα θοοῖς ἀντίξοα γόμφοις
ἀνέρες ὑληουργοὶ ἐπιβλήδην ἐλάοντες
θείνωσιν σφύρῃσιν, ἐπ᾽ ἄλλῳ δ᾽ ἄλλος ἄηται
δοῦπος ἄδην· ὣς τοῖσι παρήιά τ᾽ ἀμφοτέρωθεν
καὶ γένυες κτύπεον· βρυχὴ δ᾽ ὑπετέλλετ᾽ ὀδόντων
ἄσπετος, οὐ δ᾽ ἔλληξαν ἐπισταδὸν οὐτάζοντες,
ἐστέ περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασσεν.
στάντε δὲ βαιὸν ἄπωθεν ἀπωμόρξαντο μετώπων
ἱδρῶ ἅλις, καματηρὸν ἀυτμένα φυσιόωντε.
ἂψ δ᾽ αὖθις συνόρουσαν ἐναντίοι, ἠύτε ταύρω
φορβάδος ἀμφι βοὸς κεκοτηότε δηριάασθον.
ἔνθα δ᾽ ἔπειτ᾽ Ἄμυκος μὲν ἐπ᾽ ἀκροτάτοισιν ἀερθείς,
βουτύπος οἷα, πόδεσσι τανύσσατο, καδ δὲ βαρεῖαν

χεῖρ' ἔπι οἷ πελέμιξεν· ὃ δ' ἀΐξαντος ὑπέστη,
κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν
τυτθόν· ὃ δ' ἄγχ' αὐτοῖο παρεκ γόνυ γουνὸς ἀμείβων
κόψε μεταΐγδην ὑπερ οὔατος, ὀστέα δ' εἴσω
ῥῆξεν· ὃ δ' ἀμφ' ὀδύνῃ γνὺξ ἤριπεν· οἱ δ' ἰάχησαν
ἥρωες Μινύαι· τοῦ δ' ἀθρόος ἔκχυτο θυμός.
οὐ δ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος·
ἀλλ' ἄμυδις κορύνας ἀζηχέας ἠδὲ σιγύννους
ἰθὺς ἀνασχόμενοι Πολυδεύκεος ἀντιάασκον.
τοῦ δὲ πάρος κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι
ἔσταν ἐρυσσάμενοι. πρῶτός γε μὲν ἀνέρα Κάστωρ
ἤλασ' ἐπεσσύμενον κεφαλῆς ὕπερ· ἣ δ' ἑκάτερθεν
ἔνθα καὶ ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροισι κεάσθη.
αὐτὸς δ' Ἰτυμονῆα πελώριον ἠδὲ Μίμαντα,
τὸν μὲν ὑπο στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας
πλῆξε, καὶ ἐν κονίῃσι βάλεν· τοῦ δ' ἆσσον ἰόντος
δεξιτερῇ σκαιῆς ὑπερ ὀφρύος ἤλασε χειρί,
δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
Ὠρείδης δ' Ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
οὖτα Βιαντιάδαο κατα λαπάρην Ταλαοῖο,
ἀλλά μιν οὐ κατέπεφνεν, ὅσον δ' ἐπι δέρματι μοῦνον
νηδυίων ἄψαυστος ὑπο ζώνην θόρε χαλκός.
αὔτως δ' Ἄρητος μενεδήιον Εὐρύτου υἷα
Ἴφιτον ἀζαλέῃ κορύνῃ στυφέλιξεν ἐλάσσας,
οὔπω κηρὶ κακῇ πεπρωμένον· ἦ τάχ' ἔμελλεν
αὐτὸς δηώσεσθαι ὑπο ξίφεϊ Κλυτίοιο.
καὶ τότ' ἄρ Ἀγκαῖος Λυκοόργοιο θρασὺς υἱὸς
αἶψα μάλ' ἀντεταγὼν πέλεκυν μέγαν ἠδὲ κελαινὸν
ἄρκτου προσχόμενος σκαιῇ δέρος ἔνθορε μέσσῳ
ἐμμεμαὼς Βέβρυξιν· ὁμοῦ δέ οἱ ἐσσεύοντο
Αἰακίδαι σύν δέ σφιν ἀρήιος ὤρνυτ' Ἰήσων.
ὡς δ' ὅτ' ἐνι σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν

ἤματι χειμερίῳ πολιοὶ λύκοι ὁρμηθέντες
λάθρῃ ἐυρρίνων τε κυνῶν αὐτῶν τε νομήων,
μαίονται δ' ὅ τι πρῶτον ἐπαΐξαντες ἕλωσιν,
πόλλ' ἐπιπαμφαλόωντες ὁμοῦ· τὰ δὲ πάντοθεν αὔτως
στείνονται πίπτοντα περὶ σφίσιν· ὣς ἄρα τοίγε
λευγαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
ὡς δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες
ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
αἳ δ' ἤτοι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
βομβηδὸν κλονέονται, ἐπιπρὸ δὲ λιγνυόεντι
καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀΐσσουσιν·
ὣς οἵγ' οὐκέτι δὴν μένον ἔμπεδον, ἀλλὰ κέδασθεν
εἴσω Βεβρυκίης, Ἀμύκου μόρον ἀγγελέοντες·
νήπιοι, οὐ δ' ἐνόησαν ὃ δή σφισιν ἐγγύθεν ἄλλο
πῆμ' ἀίδηλον ἔην. πέρθοντο γὰρ ἠμὲν ἀλωαὶ
ἠδ' οἶαι τῆμος δῄῳ ὑπὸ δουρὶ Λύκοιο
καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
οἳ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηιάασκον,
ἤδη δ' ἄσπετα μῆλα περιτροπάδην ἐτάμοντο
ἥρωες. καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν
„φράζεσθ' ὅ ττι κεν ᾗσιν ἀναλκείῃσιν ἔρεξαν,
εἴ πως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
ἤτοι μὲν γὰρ ἐγὼ κείνου παρεόντος ἔολπα
οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι· ἀλλ' ὅτε θεσμοὺς
ἤλυθεν ἐξερέων, αὐτοῖς ἄφαρ οἷς ἀγόρευεν
θεσμοῖσιν ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι.
ναὶ μέν ἀκήδεστον γαίῃ ἔνι τόνγε λιπόντες
πόντον ἐπέπλωμεν· μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
εἴσεται οὐλομένην ἄτην, ἀπάνευθεν ἐόντος."
ὣς ἄρ ἔφη· τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο.
καὶ τότε μὲν μένον αὖθι διὰ κνέφας, ἕλκεά τ' ἀνδρῶν

οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
ῥέξαντες μέγα δόρπον ἐφώπλισαν· οὐ δέ τιν' ὕπνος
εἷλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
ξανθὰ δ' ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα
ἀγχιάλῳ, τῇ καί τε περὶ πρυμνήσι' ἀνῆπτο,
Ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
ἐμμελέως· περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ
μελπομένοις· κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα.
ἦμος δ' ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
ἐκ περάτων ἀνιών, ἤγειρε δὲ μηλοβοτῆρας,
δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης,
ληΐδα τ' εἰςβήσαντες ὅσην χρεὼ ἦεν ἄγεσθαι,
πνοιῇ δινήεντ' ἀνὰ Βόσπορον ἰθύνοντο.
ἔνθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
ἀμφέρεται προπάροιθεν ἐπαΐσσοντι ἐοικός,
αἰὲν ὑπὲρ νεφέων ἠερμένον, οὐ δέ κε φαίης
φεύξεσθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
λάβρον ἐπικρέμαται ὑπερηφερές· ἀλλὰ τόγ' ἔμπης
στόρνυται, εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ.
τῶ καὶ Τίφυος οἶδε δαημοσύνῃσι νέοντο
ἀσκηθεῖς μέν, ἀτὰρ πεφοβημένοι. ἤματι δ' ἄλλῳ
ἀντιπέρην γαίῃ Βιθυνίδι πείσματ' ἀνῆψαν.
ἔνθα δ' ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεύς,
ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ' ἀνέτλη
εἵνεκα μαντοσύνης, τήν οἱ πάρος ἐγγυάλιξεν
Λητοΐδης· οὐ δ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ
χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισιν.
τῶ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν,
ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος· οὐ δὲ γάνυσθαι
εἴα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον.
ἀλλὰ διὰ νεφέων ἄφνω πέλας αἴσσουσαι

Ἅρπυιαι στόματος χειρῶν τ' ἄπο γαμφηλῇσιν
συνεχέως ἥρπαζον. ἐλείπετο δ' ἄλλοτε φορβῆς
οὐδ' ὅσον, ἄλλοτε τυτθόν, ἵνα ζώων ἀκάχοιτο.
καὶ δ' ἐπι μυδαλέην ὀδμὴν χέον· οὐ δέ τις ἔτλη
μὴ καὶ λευκανίην δὲ φορεύμενος, ἀλλ' ἄπο τηλοῦ
ἑστηώς· τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου
τούσδ' αὐτοὺς παριόντας ἐπήισεν, ὧν οἱ ἰόντων
θέσφατον ἐκ Διὸς ἦεν ἑῆς ἀπόνασθαι ἐδωδῆς.
ὀρθωθεὶς δ' εὐνῆθεν, ἀκήριον ἠύτ' ὄνειρον,
βάκτρῳ σκηπτόμενος ῥικνοῖς ποσὶν ᾖε θύραζε,
τοίχους ἀμφαφόων· τρέμε δ' ἅψεα νεισομένοιο
ἀδρανίῃ γήρᾳ τε· πίνῳ τέ οἱ αὐσταλέος χρὼς
ἐσκλήκει, ῥινοὶ δὲ συν ὀστέα μοῦνον ἔεργον.
ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο γοῦνα βαρυνθεὶς
οὐδοῦ ἐπ' αὐλείοιο· κάρος δέ μιν ἀμφεκάλυψεν
πορφύρεος, γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι
νειόθεν, ἀβληχρῷ δ' ἐπι κώματι κέκλιτ' ἄναυδος.
οἱ δέ μιν ὡς εἴδοντο, περισταδὸν ἠγερέθοντο
καὶ τάφον. αὐτὰρ ὃ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
στήθεος ἀμπνεύσας μετεφώνεε μαντοσύνῃσιν
„κλῦτε, Πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
Ἀργῴης ἐπι νηὸς ἄγει μετα κῶας Ἰήσων.
ὑμεῖς ἀτρεκέως. ἔτι μοι νόος οἶδεν ἕκαστα
ᾗσι θεοπροπίῃσι. χάριν νύ τοι, ὦ ἄνα, Λητοῦς
υἱέ, καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν.
Ἱκεσίου πρὸς Ζηνός, ὅτις ῥίγιστος ἀλιτροῖς
ἀνδράσι, Φοίβου τ' ἄμφι καὶ αὐτῆς εἵνεκεν Ἥρης
λίσσομαι, ᾗ περίαλλα θεῶν μέμβλεσθε κιόντες,
χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
μὴ δέ μ' ἀκηδείῃσιν ἀφορμηθῆτε λιπόντες

αὔτως. οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν Ἐρινὺς
λὰξ ἐπέβη, καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω·
προς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖσιν.
Ἅρπυιαι στόματός μοι ἀφαρπάζουσιν ἐδωδὴν
ἔκ ποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
ἴσχω δ' οὔτινα μῆτιν ἐπίρροθον. ἀλλά κε ῥεῖα
αὐτὸς ἐμὸν λελάθοιμι νόον δόρποιο μεμηλώς,
ἢ κείνας· ὧδ' αἶψα διηέριαι ποτέονται.
τυτθὸν δ' ἢν ἄρα δήποτ' ἐδητύος ἄμμι λίπωσιν,
πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς·
οὔ κέ τις οὐδὲ μίνυνθα βροτῶν ἄνσχοιτο πελάσσας,
οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλάμενον κέαρ εἴη.
ἀλλά με πικρὴ δῆτα καὶ ἄατος ἴσχει ἀνάγκη
μίμνειν καὶ μίμνοντα κακῇ ἐν γαστέρι θέσθαι.
τὰς μὲν θέσφατόν ἐστιν ἐρητῦσαι Βορέαο
υἱέας. οὐ δ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες,
εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ με γείνατ' Ἀγήνωρ·
τῶν δὲ κασιγνήτην, ὅτ' ἐνὶ Θρῄκεσσιν ἄνασσον,
Κλειοπάτρην ἕδνοισιν ἐμὸν δόμον ἦγον ἄκοιτιν."

ἴσκεν Ἀγηνορίδης· ἀδινὸν δ' ἕλε κῆδος ἕκαστον
ἡρώων, περὶ δ' αὖτε δύω υἷας Βορέαο.
δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἤλυθον, ὧδέ τ' ἔειπεν
Ζήτης, ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος
„ἆ δείλ', οὔτινά φημι σέθεν σμυγερώτερον ἄλλων
ἔμμεναι ἀνθρώπων. τί νύ τοι τόσα κήδε' ἀνῆπται;
ἦρα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσιν
μαντοσύνας δεδαώς; τῷ τοι μέγα μηνιόωσιν;
ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισιν
χραισμεῖν, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
νῶιν. ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
ἀθανάτων. οὐ δ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας

Ἁρπυίας, μάλα περ λελιημένοι, ἔστ' ἂν ὀμόσσῃς,
μὴ μὲν τοιό γ' ἕκητι θεοῖς ἀπο θυμοῦ ἔσεσθαι."
ὣς φάτο· τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχεν
γλήνας ἀμπετάσας, καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσιν
„σίγα· μή μοι ταῦτα νόῳ ἔνι βάλλεο, τέκνον.
ἴστω Λητοῦς υἱός, ὅ με πρόφρων ἐδίδαξεν
μαντοσύνας· ἴστω δὲ δυσώνυμος, ἥ μ' ἔλαχεν, κὴρ
καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος, οἵ θ' ὑπένερθεν
δαίμονες, οἳ μηδ' ὧδε θανόντι περ εὐμενέοιεν,
ὡς οὔ τις θεόθεν χόλος ἔσσεται εἵνεκ' ἀρωγῆς."
τὼ μὲν ἔπειθ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινον.
αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι,
λοίσθιον Ἁρπυίῃσιν ἑλώριον· ἐγγύθι δ' ἄμφω
στῆσαν, ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.
καὶ δὴ τὰ πρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς,
αἳ δ' ἄφαρ ἠύτ' ἄελλαι ἀδευκέες, ἢ στεροπαὶ ὣς
ἀπρόφατοι νεφέων ἐξάλμεναι ἐσσεύοντο
κλαγγῇ μαιμώωσαι ἐδητύος· οἱ δ' ἐσιδόντες
ἥρωες μεσσηγὺς ἀνίαχον· αἳ δ' ἅμ' ἀυτῇ
πάντα καταβρώξασαι ὑπερ πόντοιο φέροντο
τῆλε παρέξ· ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
τάων δ' αὖ κατόπισθε δύω υἷες Βορέαο
φάσγαν' ἐπισχόμενοι ὀπίσω θέον. ἐν γὰρ ἕηκεν
Ζεὺς μένος ἀκάματόν σφιν· ἀτὰρ Διὸς οὔ κεν ἑπέσθην
νόσφιν, ἐπεὶ ζεφύροιο παραΐσσεσκον ἀέλλας
αἰέν, ὅτ' ἐς Φινῆα καὶ ἐκ Φινῆος ἴοιεν.
ὡς δ' ὅτ' ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης
ἢ αἶγας κεραοὺς ἠὲ πρόκας ἰχνεύοντες
θείωσιν, τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
ἄκρῃς ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας·
ὣς Ζήτης Κάλαΐς τε μάλα σχεδὸν ἀΐσσοντες
τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσίν.

καί νύ κε δή σφ' ἀέκητι θεῶν διεδηλήσαντο
πολλὸν ἑκὰς νήσοισιν ἔπι Πλωτῇσι κιχόντες,
εἰ μὴ ἄρ ὠκέα Ἶρις ἴδεν, κατα δ' αἰθέρος ἆλτο
οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν
„οὐ θέμις, ὦ υἱεῖς Βορέω, ξιφέεσσιν ἐλάσσαι
Ἁρπυίας, μεγάλοιο Διὸς κύνας· ὅρκια δ' αὐτὴ
δώσω ἐγών, ὡς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι.“
ὣς φαμένη λοιβὴν Στυγὸς ὤμοσεν, ἥτε θεοῖσιν
ῥιγίστη πάντεσσιν ὀπιδνοτάτη τε τέτυκται,
μὴ μὲν Ἀγηνορίδαο δόμοις ἔτι τᾶσδε πελάσσαι
εἰσαῦτις Φινῆος, ἐπεὶ καὶ μόρσιμον ἦεν.
οἱ δ' ὅρκῳ εἴξαντες ὑπέστρεφον ἂψ ἐπι νῆα
σεύεσθαι. Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι
νήσους τοῖό γ' ἕκητι, πάρος Πλωτὰς καλέοντες.
Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγον. αἳ μὲν ἔδυσαν
κευθμῶνα Κρήτης Μινωίδος· ἣ δ' ἀνόρουσεν
οὔλυμπον δὲ, θοῇσι μεταχθονίη πτερύγεσσιν.
τόφρα δ' ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
πάντη φοιβήσαντες ἐπικριδὸν ἱρεύσαντο
μῆλα, τάτ' ἐξ Ἀμύκοιο λεηλασίης ἐκόμισσαν.
αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνι μεγάροισιν ἔθεντο,
δαίνυνθ' ἑζόμενοι· συν δέ σφισι δαίνυτο Φινεὺς
ἁρπαλέως, οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.
ἔνθα δ' ἐπεὶ δόρποιο κορέσσαντ' ἠδὲ ποτῆτος,
παννύχιοι Βορέω μένον υἱέας ἐγρήσσοντες.
αὐτὸς δ' ἐν μέσσοισι παρ' ἐσχάρῃ ἧστο γεραιὸς
πείρατα ναυτιλίης ἐνέπων ἄνυσίν τε κελεύθου
„κλῦτέ νυν. οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι
ἀτρεκές· ὅσσα δ' ὄρωρε θεοῖς φίλον, οὐκ ἐπικεύσω.
ἀασάμην καὶ πρόσθε Διὸς νόον ἀφραδίῃσιν
χρείων ἑξείης τε καὶ ἐς τέλος. ὧδε γὰρ αὐτὸς
βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν

μαντοσύνης, ἵνα καί τι θεῶν χατέωσι νόοιο.
πέτρας μὲν πάμπρωτον, ἀφορμηθέντες ἐμεῖο,
Κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσιν.
τάων οὔτινά φημι διαμπερὲς ἐξαλέασθαι.
οὐ γάρ τε ῥίζῃσιν ἐρήρεινται νεάτῃσιν,
ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν
εἰς ἕν, ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύνεται ὕδωρ
βρασσόμενον, στρηνὲς δὲ περι στυφελῇ βρέμει ἀκτῇ.
τῶ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε,
εἰ ἐτεὸν πυκινῷ τε νόῳ μακάρων τ᾽ ἀλέγοντες
πείρετε· μὴ δ᾽ αὔτως αὐτάγρετον οἶτον ὄλησθε
ἀφραδέως, ἢ θύνετ᾽ ἐπισπόμενοι νεότητι.
οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθαι
νηὸς ἀποπρομεθέντες ἐφιέμεν. ἢν δὲ δι᾽ αὐτῶν
πετράων πόντον δὲ σόη πτερύγεσσι δίηται,
μηκέτι δὴν μηδ᾽ αὐτοὶ ἐρητύεσθε κελεύθου,
ἀλλ᾽ εὖ καρτύναντες ἑαῖς ἐνι χερσὶν ἐρετμὰ
τέμνεθ᾽ ἁλὸς στεινωπόν· ἐπεὶ φάος οὔ νύ τι τόσσον
ἔσσετ᾽ ἐν εὐχωλῇσιν, ὅσον τ᾽ ἐνι κάρτεϊ χειρῶν.
τῶ καὶ τἆλλα μεθέντες ὀνήϊστον πονέεσθε
θαρσαλέως· πρὶν δ᾽ οὔτι θεοὺς λίσσεσθαι ἐρύκω.
εἰ δέ κεν ἀντικρὺ πταμένη μεσσηγὺς ὄληται,
ἄψορροι στέλλεσθε· ἐπεὶ πολὺ βέλτερον εἶξαι
ἀθανάτοις. οὐ γάρ κε κακὸν μόρον ἐξαλέαισθε
πετράων, οὐδ᾽ εἴ κε σιδηρείη πέλοι Ἀργώ.
ὦ μέλεοι, μὴ τλῆτε πάρεξ ἐμὰ θέσφατα βῆναι,
εἴ καί με τρὶς τόσσον ὀΐεσθ᾽ οὐρανίδῃσιν,
ὅσσον ἀνάρσιός εἰμι, καὶ εἰ πλεῖον στυγέεσθαι·
μὴ τλῆτ᾽ οἰωνοῖο παρεξ ἔτι νηὶ περῆσαι.
καὶ τὰ μὲν ὥς κε πέλῃ, τὼς ἔσσεται. ἢν δὲ φύγητε
σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι Πόντου,
αὐτίκα Βιθυνῶν ἐπι δεξιὰ γαῖαν ἔχοντες

πλώετε ῥηγμῖνας πεφυλαγμένοι, εἰσόκεν αὖτε
Ῥήβαν ὠκυρόην ποταμὸν ἀκτήν τε Μέλαιναν
γνάμψαντες νήσου Θυνηίδος ὅρμον ἵκησθε.
κεῖθεν δ' οὐ μάλα πουλὺ διεξ ἁλὸς ἀντιπέραιαν
γῆν Μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
ἔνθα μὲν εἰς Ἀίδαο καταιβάτις ἐστὶ κέλευθος,
ἄκρη τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει,
δινήεις τ' Ἀχέρων αὐτὴν δια νειόθι τέμνων
ἄκρην ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.
ἀγχίμολον δ' ἔπι τῇ πολέας παρανεῖσθε κολωνοὺς
Παφλαγόνων, τοῖσιν Ἐνετήιος ἐμβασίλευσεν
πρῶτα Πέλοψ, τοῦ καί περ ἀφ' αἵματος εὐχετόωνται.
ἔστι δέ τις ἄκρη Ἑλίκης κατεναντίον ἄρκτου,
πάντοθεν ἠλίβατος, καί μιν καλέουσι Κάραμβιν,
τῆς καὶ ὕπερ βορέαο περισχίζονται ἄελλαι·
ὧδε μάλ' ἀμ πέλαγος τετραμμένη αἰθέρι κύρει.
τὴν δὲ περιγνάμψαντι πολὺς παρακέκλιται ἤδη
αἰγιαλός· πολέος δ' ἔπι πείρασιν αἰγιαλοῖο
ἀκτῇ ἔπι προβλῆτι ῥοαὶ Ἅλυος ποταμοῖο
δεινὸν ἐρεύγονται· μετα τὸν δ' ἀγχίρροος Ἶρις
μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
ἐξανέχει γαίης· ἐπὶ δὲ στόμα Θερμώδοντος
κόλπῳ ἐν εὐδιόωντι Θεμισκύρειον ἐπ' ἄκρην
μύρεται, εὐρείης διαειμένος ἠπείροιο.
ἔνθα δὲ Δοίαντος πεδίον, σχεδόθεν δὲ πόληες
τρισσαὶ Ἀμαζονίδων, μετά τε σμυγερώτατοι ἀνδρῶν
τρηχείην Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν,
ἐργατίναι· τοὶ δ' ἀμφι σιδήρεα ἔργα μέλονται.
ἄγχι δὲ ναιετάουσι πολύρρηνες Τιβαρηνοὶ
Ζηνὸς Εὐξείνοιο Γενηταίην ὑπερ ἄκρην.
τῇ δ' ἔπι Μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν

ἑξείης ἤπειρον ὑπωρείας τε νέμονται,
δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
κάλινα καὶ θαλάμους εὐπηγέας, οὓς καλέουσιν
μόσσυνας· καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
τοὺς παραμειβόμενοι λισσῇ ἐπικέλσετε νήσῳ,
μήτι παντοίῃ μέγ' ἀναιδέας ἐξελάσαντες
οἰωνούς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσιν
νῆσον ἐρημαίην. τῇ μέν τ' ἔνι νηὸν Ἄρηος
λάϊνεον ποίησαν Ἀμαζονίδων βασίλειαι
Ὀτρηρή τε καὶ Ἀντιόπη, ὁπότε στρατόωντο.
ἔνθα γὰρ ὔμμιν ὄνειαρ ἀδευκέος ἐξ ἁλὸς εἶσιν
ἄρρητον· τῶ καί τε φίλα φρονέων ἀγορεύω
ἰσχέμεν. ἀλλὰ τί ἦ με πάλιν χρειὼ ἀλιτέσθαι
μαντοσύνῃ τὰ ἕκαστα διηνεκὲς ἐξενέποντι;
νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
φέρβονται Φίλυρες· Φιλύρων δ' ἐφύπερθεν ἔασιν
Μάκρωνες· μετὰ δ' αὖ περιώσια φῦλα Βεχείρων.
ἑξείης δὲ Σάπειρες ἐπι σφίσι ναιετάουσιν·
Βύζηρες δ' ἐπι τοῖσιν ὁμώλακες, ὧν ὕπερ ἤδη
αὐτοὶ Κόλχοι ἔχονται ἀρήιοι. ἀλλ' ἐνι νηὶ
πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
ἔνθα δ' ἐπ' ἠπείροιο Κυταιίδος ἠδ' Ἀμαραντῶν
τηλόθεν ἐξ ὀρέων πεδίοιό τε Κιρκαίοιο
Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
κείνου νῆ' ἐλάοντες ἐπι προχοὰς ποταμοῖο
πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο
ἄλσός τε σκιόειν Ἄρεος, τόθι κῶας ἐπ' ἄκρης
πεπτάμενον φηγοῖο δράκων, τέρας αἰνὸν ἰδέσθαι,
ἀμφὶς ὀπιπτεύει δεδοκημένος· οὐ δέ οἱ ἦμαρ,
οὐ κνέφας ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε."
ὣς ἄρ ἔφη· τοὺς δ' εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
δὴν δ' ἔσαν ἀμφασίῃ βεβολημένοι· ὀψὲ δ' ἔειπεν

ἥρως Αἴσονος υἱὸς ἀμηχανέων κακότητι
„ὦ γέρον, ἤδη μέν τε διίκεο πείρατ' ἀέθλων
ναυτιλίης καὶ τέκμαρ, ὅτῳ στυγερὰς δια πέτρας
πειθόμενοι Πόντον δὲ περήσομεν· εἰ δέ κεν αὖτις
τᾶσδ' ἡμῖν προφυγοῦσιν ἐς Ἑλλάδα νόστος ὀπίσσω
ἔσσεται, ἀσπαστῶς κε παρα σέο καὶ τὸ δαείην.
πῶς ἔρδω, πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον,
νῆις ἐὼν ἑτάροις ἅμα νήισιν; Αἶα δὲ Κολχὶς
Πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν.“
ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν
„ὦ τέκος, εὖτ' ἂν πρῶτα φύγῃς ὀλοὰς δια πέτρας,
θάρσει· ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει
ἐξ Αἴης· μετα δ' Αἶαν ἅλις πομπῆες ἔσονται.
ἀλλά, φίλοι, φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
Κύπριδος. ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
καὶ δέ με μηκέτι τῶνδε παροιτέρω ἐξερέεσθε.“
ὣς φάτ' Ἀγηνορίδης· ἐπι δὲ σχεδὸν υἱέε δοιὼ
Θρηικίου Βορέαο κατ' αἰθέρος ἀίξαντε
οὐδῷ ἔπι κραιπνοὺς ἔβαλον πόδας· οἱ δ' ἀνόρουσαν
ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
Ζήτης δ' ἱεμένοισιν, ἔτ' ἄσπετον ἐκ καμάτοιο
ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν, ὅσσον ἄπωθεν
ἤλασαν, ἠδ' ὡς Ἶρις ἐρύκακε τάσδε δαΐξαι,
ὅρκιά τ' εὐμενέουσα θεὰ πόρεν, αἳ δ' ὑπέδυσαν
δείματι Δικταίης περιώσιον ἄντρον ἐρίπνης.
γηθόσυνοι δ' ἤπειτα δόμοις ἔνι πάντες ἑταῖροι
αὐτός τ' ἀγγελίῃ Φινεὺς πέλεν. ὦκα δὲ τόνγε
Αἰσονίδης περιπολλὸν ἐυφρονέων προσέειπεν
„ἦ ἄρα δή τις ἔην, Φινεῦ, θεός, ὃς σέθεν ἄτης
κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὖθι πέλασσεν
τηλόθεν, ὄφρά τοι υἷες ἀμύνειαν Βορέαο·
εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι, ἦ τ' ἂν ὀίω

γηθήσειν, ὅσον εἴπερ ὑπότροπος οἴκαδ' ἱκοίμην."
ὣς ἔφατ'· αὐτὰρ ὅ τόνγε κατηφήσας προσέειπεν
„Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐ δέ τι μῆχος
ἔστ' ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.
ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ θεὸς ἐγγυαλίξαι,
καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν."
ὣς τώγ' ἀλλήλοισι παραβλήδην ἀγόρευον.
αὐτίκα δ' οὐ μετα δηρὸν ἀμειβομένων ἐφαάνθη
Ἠριγενής· τὸν δ' ἀμφι περικτίται ἠγερέθοντο
ἀνέρες, οἳ καὶ πρόσθεν ἐπ' ἤματι κεῖσε θάμιζον,
αἰὲν ὁμῶς φορέοντες ἑῆς ἀπο μοῖραν ἐδωδῆς.
τοῖς ὁ γέρων πάντεσσιν, ὅτις καὶ ἀφαυρὸς ἵκοιτο,
ἔχραεν ἐνδυκέως, πολέων δ' ἄπο πήματ' ἔλυσεν
μαντοσύνῃ· τῶ καί μιν ἐποιχόμενοι κομέεσκον.
συν τοῖσιν δ' ἵκανε Παραίβιος, ὅς ῥά οἱ ἦεν
φίλτατος· ἀσπάσιος δὲ δόμοις ἔνι τούςγ' ἐνόησεν.
πρὶν γὰρ δή νύ ποτ' αὐτὸς ἀριστήων στόλον ἀνδρῶν
Ἑλλάδος ἐξανιόντα μετα πτόλιν Αἰήταο
πείσματ' ἀνάψασθαι μυθήσατο Θυνίδι γαίῃ,
οἵτέ οἱ Ἁρπυίας Διόθεν σχήσουσιν ἰούσας.
τοὺς μὲν ἔπειτ' ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσιν
πέμφ' ὁ γέρων· οἶον δὲ Παραίβιον αὐτόθι μίμνειν
κέκλετ' ἀριστήεσσι συν ἀνδράσιν· αἶψα δὲ τόνγε
σφωιτέρων ὀίων ὅτις ἔξοχος, εἰς ἓ κομίσσαι
ἧκεν ἐποτρύνας. τοῦ δ' ἐκ μεγάροιο κιόντος
μειλιχίως ἐρέτῃσιν ὁμηγερέεσσι μετηύδα
„ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἄνδρες ἔασιν,
οὐ δ' εὐεργεσίης ἀμνήμονες. ὡς καὶ ὅδ' ἀνὴρ
τοῖος ἐὼν δεῦρ' ἦλθεν, ἑὸν μόρον ὄφρα δαείη.
εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογήσαι,
δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
χρησμοσύνη τρύχεσκεν· ἐπ' ἤματι δ' ἦμαρ ὀρώρει

κύντερον, οὐ δέ τις ἦεν ἀνάπνευσις μογέοντι.
ἀλλ' ὅγε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
ἀμπλακίης. ὃ γὰρ οἶος ἐν οὔρεσι δένδρεα τέμνων
δή ποθ' ἁμαδρυάδος νύμφης ἀθέριξε λιτάων,
ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος, ᾗ ἔπι πουλὺν
αἰῶνα τρίβεσκε διηνεκές· αὐτὰρ ὃ τήνγε
ἀφραδέως ἔτμηξεν ἀγηνορίῃ νεότητος.
τῷ δ' ἄρα νηκερδῆ νύμφη πόρεν οἶτον ὀπίσσω
αὐτῷ καὶ τεκέεσσιν. ἔγωγε μέν, εὖτ' ἀφίκανεν,
ἀμπλακίην ἔγνων· βωμὸν δ' ἐκέλευσα καμόντα
Θυνιάδος νύμφης, λωφήια ῥέξαι ἐπ' αὐτῷ
ἱερά, πατρῴην αἰτεύμενον αἶσαν ἀλύξαι.
ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θεήλατον, οὔποτ' ἐμεῖο
ἐκλάθετ', οὐ δ' ἀθέρισσε· μόλις δ' ἀέκοντα θύραζε
πέμπω, ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι."
ὣς φάτ' Ἀγηνορίδης· ὃ δ' ἐπισχεδὸν αὐτίκα δοιὼ
ἤλυθ' ἄγων ποίμνηθεν ὄις. ἀνὰ δ' ἵστατ' Ἰήσων,
ἂν δὲ Βορήιοι υἷες ἐφημοσύνῃσι γέροντος.
ὦκα δὲ κεκλόμενοι μαντήιον Ἀπόλλωνα
ῥέζον ἐπ' ἐσχαρόφιν νέον ἤματος ἀνομένοιο.
κουρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.
ἔνθ' εὖ δαισάμενοι, τοὶ μὲν παρα πείσμασι νηός,
τοὶ δ' αὐτοῦ κατα δώματ' ἀολλέες εὐνάζοντο.
ἦρι δ' ἐτήσιαι αὖραι ἐπέχραον, αἵτ' ἀνα πᾶσαν
γαῖαν ὁμῶς τοιῇδε Διὸς πνείουσιν ἀνωγῇ.
Κυρήνη πέφαταί τις ἕλος πάρα Πηνειοῖο
μῆλα νέμειν προτέροισι παρ' ἀνδράσιν· εὔαδε γάρ οἱ
παρθενίη καὶ λέκτρον ἀκήρατον. αὐτὰρ Ἀπόλλων
τήνγ' ἀνερειψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν
τηλόθεν Αἱμονίης, χθονίῃς παρακάτθετο νύμφαις,
αἳ Λιβύην ἐνέμοντο παραὶ Μυρτώσιον αἶπος.

ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, ὃν καλέουσιν
Ἀγρέα καὶ Νόμιον πολυλήιοι Αἱμονιῆες.
τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο νύμφην
αὐτοῦ μακραίωνα καὶ ἀγρότιν· υἷα δ' ἔνεικεν
νηπίαχον Χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
Μοῦσαι, ἀκεστορίην τε θεοπροπίας τ' ἐδίδαξαν·
καί μιν ἑῶν μήλων θέσαν ἤρανον, ὅσσ' ἐνέμοντο
ἀμ πεδίον Φθίης Ἀθαμάντιον ἀμφί τ' ἐρυμνὴν
Ὄθρυν καὶ ποταμοῦ ἱερὸν ῥόον Ἀπιδανοῖο.
ἦμος δ' οὐρανόθεν Μινωίδας ἔφλεγε νήσους
Σείριος, οὐ δ' ἐπι δηρὸν ἔην ἄκος ἐνναέτῃσιν,
τῆμος τόνγ' ἐκάλεσσαν ἐφημοσύνῃς Ἑκάτοιο
λοιμοῦ ἀλεξητῆρα. λίπεν δ' ὅγε πατρὸς ἐφετμῇ
Φθίην, ἐν δὲ Κέῳ κατενάσσατο, λαὸν ἀγείρας
Παρράσιον, τοίπέρ τε Λυκάονός εἰσι γενέθλης·
καὶ βωμὸν ποίησε μέγαν Διὸς Ἰκμαίοιο,
ἱερά τ' εὖ ἔρρεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
Σειρίῳ, αὐτῷ τε Κρονίδῃ Διί. τοῖο δ' ἕκητι
γαῖαν ἐπιψύχουσιν ἐτήσιαι ἐκ Διὸς αὖραι
ἤματα τεσσαράκοντα· Κέῳ δ' ἔτι νῦν ἱερῆες
ἀντολέων προπάροιθε Κυνὸς ῥέζουσι θυηλάς.
καὶ τὰ μὲν ὣς ὑδέονται· ἀριστῆες δὲ κατ' αὖθι
μίμνον ἐρυκόμενοι· ξεινήια δ' ἄσπετα Θυνοὶ
πᾶν δ' ἦμαρ Φινῆι χαριζόμενοι προΐαλλον.
ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
βωμὸν ἁλὸς ῥηγμῖνι πέρην καὶ ἐφ' ἱερὰ θέντες,
νῆα θοὴν εἴςβαινον ἐρεσσέμεν, οὐ δὲ πελείης
τρήρωνος λήθοντο μετα σφίσιν· ἀλλ' ἄρα τήνγε
δείματι πεπτηυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
Εὔφημος, γαίης δ' ἄπο διπλόα πείσματ' ἔλυσαν.
οὐ δ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες·

*αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσιν*
*κούφης, ἥ κε φέροι μιν ἄφαρ βριαρήν περ ἐοῦσαν,*
*σεύατ' ἴμεν πόντον δέ, φίλα φρονέουσ' ἐρέτῃσιν.*
*ὡς δ' ὅτε τις πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ*
*πλαζόμεθ' ἄνθρωποι τετληότες, οὐ δέ τις αἶα*
*τηλουρός, πᾶσαι δὲ κατόψιοί εἰσι κέλευθοι,*
*σφωιτέρους δ' ἐνόησε δόμους, ἄμυδις δὲ κέλευθος*
*ὑγρή τε τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλῃ*
*ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν·*
*ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀίξασα*
*θῆκεν ἐπ' ἀξείνοιο πόδας Θυνηίδος ἀκτῆς.*
*οἳ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο*
*τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,*
*δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν*
*νῆα ῥόος, πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο,*
*ἤδη δέ σφισι δοῦπος ἀρασσομένων πετράων*
*νωλεμὲς οὔατ' ἔβαλλε, βόων δ' ἁλιμυρέες ἀκταί,*
*δὴ τότ' ἔπειθ' ὃ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς*
*Εὔφημος πρῴρης ἐπιβήμεναι· οἳ δ' ὑπ' ἀνωγῇ*
*Τίφυος Ἁγνιάδαο θελήμονα ποιήσαντο*
*εἰρεσίην, ἵν' ἔπειτα διεκ πέτρας ἐλάσειαν,*
*κάρτεϊ ᾧ πίσυνοι. τὰς δ' αὐτίκα λοίσθιον ἄλλων*
*οἰγομένας ἀγκῶνα περιγνάμψαντες ἴδοντο.*
*συν δέ σφιν χύτο θυμός· ὃ δ' ἀῖξαι πτερύγεσσιν*
*Εὔφημος προέηκε πελειάδα· τοὶ δ' ἅμα πάντες*
*ἤειραν κεφαλὰς ἐσορώμενοι· ἣ δὲ δι' αὐτῶν*
*ἔπτατο· ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν*
*ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον. ὦρτο δὲ πολλὴ*
*ἅλμη ἀναβρασθεῖσα, νέφος ὥς· αὖε δὲ πόντος*
*σμερδαλέον· πάντῃ δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.*
*κοῖλαι δὲ σπήλυγγες ὕπο σπιλάδας τρηχείας*
*κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον· ὑψόθι δ' ὄχθης*

*λευκὴ καχλάζοντος ἀνέπτυε κύματος ἄχνη.*
*νῆα δ' ἔπειτα πέριξ εἴλει ῥόος. ἄκρα δ' ἔκοψαν*
*οὐραῖα πτερὰ ταίγε πελειάδος· ἣ δ' ἀπόρουσεν*
*ἀσκηθής. ἐρέται δὲ μέγ' ἴαχον· ἔβραχε δ' αὐτὸς*
*Τῖφυς ἐρεσσέμεναι κρατερῶς. οἴγοντο γὰρ αὖθις*
*ἄνδιχα. τοὺς δ' ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὖτις*
*πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν*
*εἴσω πετράων. τότε δ' αἰνότατον δέος εἷλεν*
*πάντας· ὕπερ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.*
*ἤδη δ' ἔνθα καὶ ἔνθα δια πλατὺς εἴδετο Πόντος,*
*καί σφισιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν*
*κυρτόν, ἀποτμῆγι σκοπιῇ ἴσον· οἳ δ' ἐσιδόντες*
*ἤμυσαν λοξοῖσι καρήασιν. εἴσατο γάρ ῥα*
*νηὸς ὕπερ πάσης κατεπάλμενον ἀμφικαλύψειν.*
*ἀλλά μιν ἔφθη Τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν*
*ἀγχαλάσας· τὸ δὲ πολλὸν ὕπο τρόπιν ἐξεκυλίσθη,*
*ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα*
*πετράων· ὑψοῦ δὲ μεταχθονίη πεφόρητο.*
*Εὔφημος δ' ἀνα πάντας ἰὼν βοάασκεν ἑταίρους,*
*ἐμβαλέειν κώπῃσιν ὅσον σθένος· οἳ δ' ἀλαλητῷ*
*κόπτον ὕδωρ. ὅσσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσιν,*
*δὶς τόσον ἂψ ἀπόρουσεν· ἐπεγνάμπτοντο δὲ κῶπαι*
*ἠύτε καμπύλα τόξα, βιαζομένων ἡρώων.*
*ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα,*
*ἣ δ' ἄφαρ ὥστε κύλινδρος ἐπέτρεχε κύματι λάβρῳ*
*προπροκαταΐγδην κοίλης ἁλός. ἐν δ' ἄρα μέσσαις*
*Πληγάσι δινήεις εἶχεν ῥόος· αἳ δ' ἑκάτερθεν*
*σειόμεναι βρόμεον· πεπέδητο δὲ νήια δοῦρα.*
*καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης*
*σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι·*
*ἣ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀιστῷ.*
*ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα*

νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. αὐτὰρ Ἀθήνη
οὔλυμπον δ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσιν
νωλεμὲς ἐρρίζωθεν· ὃ δὴ καὶ μόρσιμον ἦεν
ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν δια νηὶ περήσῃ.
οἳ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο
ἠέρα παπταίνοντες ὁμοῦ πέλαγός τε θαλάσσης
τῆλ' ἀναπεπτάμενον. δὴ γὰρ φάσαν ἐξ Ἀίδαο
σώεσθαι· Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων
„ἔλπομαι αὐτῇ νηὶ τόγ' ἔμπεδον ἐξαλέασθαι
ἡμέας· οὐ δέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
γόμφοισιν συνάρασσε· θέμις δ' οὐκ ἔστιν ἁλῶναι.
Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμήν,
εὖτε διεκ πέτρας φυγέειν θεὸς ἧμιν ὄπασσεν,
μηκέτι δείδιθι τοῖον· ἐπεὶ μετόπισθεν ἀέθλους
εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς."
ἦ ῥ' ἅμα καὶ προτέρωσε παραι Βιθυνίδα γαῖαν
νῆα διεκ πέλαγος σεῦεν μέσον. αὐτὰρ ὃ τόνγε
μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν
„Τῖφυ, τί ἦ μοι ταῦτα παρηγορέεις ἀχέοντι;
ἤμβροτον ἀασάμην τε κακὴν καὶ ἀμήχανον ἄτην.
χρῆν γὰρ ἐφιεμένοιο κατ' ἀντικρὺ Πελίαο
αὐτίκ' ἀνήνασθαι τόνδε στόλον, εἰ καὶ ἔμελλον
νηλειῶς μελεϊστὶ κεδαιόμενος θανέεσθαι·
νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
ἄγκειμαι, στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
νηὶ διαπλώειν, στυγέων δ', ὅτ' ἐπ' ἠπείροιο
βαίνωμεν. πάντῃ γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω,
ἐξότε τὸ πρώτιστον ἐμὴν χάριν ἠγερέεσθε,
φραζόμενος τὰ ἕκαστα· σὺ δ' εὐμαρέως ἀγορεύεις

οἷον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε
εἷο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι· ἀμφι δὲ τοῖο
καὶ τοῦ ὁμῶς, καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων,
εἰ μὴ ἐς Ἑλλάδα γαῖαν ἀπήμονας ἄμμε κομίσσω.“
ὥς φάτ' ἀριστήων πειρώμενος· οἳ δ' ὁμάδησαν
θαρσαλέοις ἐπέεσσιν. ὃ δὲ φρένας ἔνδον ἰάνθη
κεκλομένων, καί ῥ' αὖθις ἐπιρρήδην μετέειπεν
„ὦ φίλοι, ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
τούνεκα νῦν οὐδ' εἴ κε διεξ Ἀίδαο βερέθρων
στελλοίμην, ἔτι τάρβος ἀνάψομαι, εὖτε πέλεσθε
ἔμπεδοι ἀργαλέοις ἐνι δείμασιν. ἀλλ' ὅτε πέτρας
Πληγάδας ἐξέπλωμεν, ὀίομαι οὐκέτ' ὀπίσσω
ἔσσεσθαι τοιόνδ' ἕτερον φόβον, εἰ ἐτεόν γε
φραδμοσύνῃ Φινῆος ἐπισπόμενοι νεόμεσθα.“
ὥς φάτο, καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων,
εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον· αἶψα δὲ τοίγε
Ῥήβαν ὠκυρόην ποταμὸν σκόπελόν τε Κολώνης,
ἄκρην δ' οὐ μετα δηθὰ παρεξενέοντο Μέλαιναν,
τῇ δ' ἄρ ἐπι προχοὰς Φυλληίδας, ἔνθα πάροιθεν
Διψακὸς υἷ' Ἀθάμαντος ἑοῖς ὑπέδεκτο δόμοισιν,
ὁππόθ' ἅμα κριῷ φεῦγε πτόλιν Ὀρχομενοῖο·
τίκτε δέ μιν νύμφη λειμωνιάς· οὐ δέ οἱ ὕβρις
ἥνδανεν, ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
μητέρι συνναίεσκεν ἐπάκτια πώεα φέρβων.
τοῦ μέν θ' ἱερὸν αἶψα καὶ εὐρείας ποταμοῖο
ἠιόνας πεδίον τε, βαθυρρείοντά τε Κάλπην
δερκόμενοι παράμειβον, ὁμῶς δ' ἐπι ἤματι νύκτα
νήνεμον ἀκαμάτῃσιν ἐπερρώοντ' ἐλάτῃσιν.
οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
ἐργατίναι μογέουσι βόες, περὶ δ' ἄσπετος ἱδρὼς
εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος· ὄμματα δέ σφιν
λοξὰ παραστρωφῶνται ὑπο ζυγοῦ· αὐτὰρ ἀυτμὴ

*αὐαλέῃ στομάτων ἄμοτον βρέμει· οἱ δ᾽ ἐνὶ γαίῃ*
*χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται·*
*τοῖς ἴκελοι ἥρωες ὑπὲξ ἁλὸς εἷλκον ἐρετμά.*
*ἦμος δ᾽ οὔτ᾽ ἄρ πω φάος ἄμβροτον, οὔτ᾽ ἔτι λίην*
*ὀρφναίη πέλεται, λεπτὸν δ᾽ ἐπιδέδρομε νυκτὶ*
*φέγγος, ὅτ᾽ ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσιν,*
*τῆμος ἐρημαίης νήσου λιμέν᾽ εἰσελάσαντες*
*Θυνιάδος καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.*
*τοῖσι δὲ Λητοῦς υἱός, ἀνερχόμενος Λυκίηθεν*
*τῆλ᾽ ἐπ᾽ ἀπείρονα δῆμον Ὑπερβορέων ἀνθρώπων,*
*ἐξεφάνη· χρύσεοι δὲ παρειάων ἑκάτερθεν*
*πλοχμοὶ βοτρυόεντες ἐπερρώοντο κιόντι·*
*λαιῇ δ᾽ ἀργύρεον νώμα βιόν, ἀμφὶ δὲ νώτοις*
*ἰοδόκη τετάνυστο κατωμαδόν· ἡ δ᾽ ὑπὸ ποσσὶν*
*σείετο νῆσος ὅλη, κλύζεν δ᾽ ἐπὶ κύματα χέρσῳ.*
*τοὺς δ᾽ ἕλε θάμβος ἰδόντας ἀμήχανον· οὐ δέ τις ἔτλη*
*ἀντίον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο.*
*στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός· αὐτὰρ ὃ τηλοῦ*
*βῆ ῥ᾽ ἴμεναι πόντον δὲ δι᾽ ἠέρος· ὀψὲ δὲ τοῖον*
*Ὀρφεὺς ἔκφατο μῦθον, ἀριστήεσσι πιφαύσκων*
*„εἰ δ᾽ ἄγε δὴ νῆσον μὲν Ἑωΐου Ἀπόλλωνος*
*τῆνδ᾽ ἱερὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη*
*ἠῷος μετιών· τὰ δὲ ῥέξομεν, οἷα πάρεστιν,*
*βωμὸν ἀναστήσαντες ἐπάκτιον· εἰ δ᾽ ἂν ὀπίσσω*
*γαῖαν ἐς Αἱμονίην ἀσκηθέα νόστον ὀπάσσῃ,*
*δὴ τότε οἱ κεραῶν ἐπὶ μηρία θήσομεν αἰγῶν.*
*νῦν δ᾽ αὕτως κνίσῃ λοιβῇσί τε μειλίξασθαι*
*κέκλομαι. ἀλλ᾽ ἵληθι, ἄναξ, ἵληθι φαανθείς.“*
*ὣς ἄρ ἔφη· καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο*
*χερμάσιν· οἱ δ᾽ ἀνὰ νῆσον ἐδίνεον ἐξερέοντες,*
*εἴ κέ τιν᾽ ἢ κεμάδων, ἢ ἀγροτέρων ἐσίδοιεν*
*αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.*

τοῖσι δὲ Λητοΐδης ἄγρην πόρεν· ἐκ δέ νυ πάντων
εὐαγέως ἱερῷ ἀνα δικλόα μηρία βωμῷ
καῖον, ἐπικλείοντες Ἑώιον Ἀπόλλωνα.
ἀμφι δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο,
καλὸν Ἰηπαιήον᾽ Ἰηπαιήονα Φοῖβον
μελπόμενοι· συν δέ σφιν ἐὺς πάις Οἰάγροιο
Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς·
ὥς ποτε πετραίῃ ὑπο δειράδι Παρνησσοῖο
Δελφύνην τόξοισι πελώριον ἐξενάριξεν,
κοῦρος ἐὼν ἔτι γυμνός, ἔτι πλοκάμοισι γεγηθώς.
ἱλήκοις· αἰεί τοι, ἄναξ, ἄτμητοι ἔθειραι,
αἰέν ἀδήλητοι· τὼς γὰρ θέμις. οἰόθι δ᾽ αὐτὴ
Λητὼ Κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
πολλὰ δὲ Κωρύκιαι νύμφαι, Πλείστοιο θύγατρες,
θαρσύνεσκον ἔπεσσιν, Ἰήιε κεκληγυῖαι·
ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ.
αὐτὰρ ἐπειδὴ τόνγε χορείῃ μέλψαν ἀοιδῇ,
λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἦ μὲν ἀρήξειν
ἀλλήλοις εἰς αἰὲν ὁμοφροσύνῃσι νόοιο,
ἁπτόμενοι θυέων· καί τ᾽ εἰσέτι νῦν γε τέτυκται
κεῖσ᾽ Ὁμονοῖης ἱρὸν ἐύφρονος, ὅ ῥ᾽ ἐκάμοντο
αὐτοὶ κυδίστην τότε δαίμονα πορσαίνοντες.
ἦμος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ᾽ ἔπειτα
ἀκραεῖ ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
ἔνθεν δ᾽ ἀντιπέρην ποταμοῦ στόμα Σαγγαρίοιο
καὶ Μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν
ἠδὲ Λύκοιο ῥέεθρα καὶ Ἀνθεμοεισίδα λίμνην
δερκόμενοι παράμειβον· ὑπο πνοιῇ δὲ κάλωες
ὅπλά τε νήια πάντα τινάσσετο νεισομένοισιν.
ἠῶθεν δ᾽ ἀνέμοιο δια κνέφας εὐνηθέντος
ἀσπασίως ἄκρης Ἀχερουσίδος ὅρμον ἵκοντο,
ἣ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν,

εἰς ἅλα δερκομένη Βιθυνίδα· τῇ δ' ὑπο πέτραι
λισσάδες ἐρρίζωνται ἁλίβροχοι· ἀμφι δὲ τῇσιν
κῦμα κυλινδόμενον μεγάλα βρέμει· αὐτὰρ ὕπερθεν
ἀμφιλαφεῖς πλατάνιστοι ἐπ' ἀκροτάτῃ πεφύασιν.
ἐκ δ' αὐτῆς εἴσω κατακέκλιται ἤπειρον δὲ
κοίλη ὕπαιθα νάπη, ἵνα τε σπέος ἔστ' Ἀίδαο
ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφές, ἔνθεν ἀυτμὴ
πηγυλίς, ὀκριόεντος ἀναπνείουσα μυχοῖο
συνεχές, ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην,
ἥτε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
σιγὴ δ' οὔποτε τήνγε κατα βλοσυρὴν ἔχει ἄκρην,
ἀλλ' ἄμυδις πόντοιό θ' ὑπο στένει ἠχήεντος,
φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσιν.
ἔνθα δὲ καὶ προχοαὶ ποταμοῦ Ἀχέροντος ἔασιν,
ὅστε διεξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων
ἠοίην· κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
τὸν μὲν ἐν ὀψιγόνοισι Σοωναύτην ὀνόμηναν
Νισαῖοι Μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον
γῆν Μαριανδυνῶν. δὴ γάρ σφεας ἐξεσάωσεν
αὐτῇσιν νήεσσι, κακῇ χρίμψαντας ἀέλλῃ.
τῇ ῥ' οἵγ' αὐτίκα νηὶ διὲξ Ἀχερουσίδος ἄκρης
εἰσωποὶ ἀνέμοιο νέον λήγοντος ἔκελσαν.
οὐ δ' ἄρα δηθὰ Λύκον, κείνης πρόμον ἠπείροιο,
καὶ Μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
αὐθένται Ἀμύκοιο κατα κλέος, ὃ πρὶν ἄκουον·
ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετα σφίσι τοῖο ἕκητι.
αὐτὸν δ' ὥστε θεὸν Πολυδεύκεα δεξιόωντο
πάντοθεν ἀγρόμενοι· ἐπεὶ ἦ μάλα τοίγ' ἐπι δηρὸν
ἀντιβίην Βέβρυξιν ὑπερφιάλοις πολέμιζον.
καὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε Λύκοιο
κεῖν' ἦμαρ φιλότητι, μετα πτολίεθρον ἰόντες,
δαίτην ἀμφίεπον, τέρποντό τε θυμὸν ἔπεσσιν.

Αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου
σφωιτέρων μυθεῖθ' ἑτάρων, Πελίαό τ' ἐφετμάς,
ἠδ' ὡς Λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξίν,
ὅσσα τε Κύζικον ἀμφι Δολιονίην ἐτέλεσσαν,
Μυσίδα θ' ὡς ἀφίκοντο Κίον θ', ὅθι κάλλιπον ἥρω
Ἡρακλέην ἀέκοντι νόῳ, Γλαύκοιό τε βάξιν
πέφραδε, καὶ Βέβρυκας ὅπως Ἄμυκόν τ' ἐδάιξαν,
καὶ Φινῆος ἔειπε θεοπροπίας τε δύην τε,
ἠδ' ὡς Κυανέας πέτρας φύγον, ὥς τ' ἀβόλησαν
Λητοΐδη κατα νῆσον. ὃ δ' ἑξείης ἐνέποντος
θέλγετ' ἀκουῇ θυμόν· ἄχος δ' ἕλεν Ἡρακλῆι
λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα
„ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς
πείρετ' ἐς Αἰήτην τόσσον πλόον. εὖ γὰρ ἐγώ μιν
Δασκύλου ἐν μεγάροισι κατ' αὐτόθι πατρὸς ἐμοῖο
οἶδ' ἐσιδών, ὅτε δεῦρο δι' Ἀσίδος ἠπείροιο
πεζὸς ἔβη ζωστῆρα φιλοπτολέμοιο κομίζων
Ἱππολύτης· ἐμὲ δ' εὗρε νέον χνοάοντα ἰούλους.
ἔνθα δ' ἐπι Πριόλαο κασιγνήτοιο θανόντος
ἡμετέρου Μυσοῖσιν ὑπ' ἀνδράσιν, ὅντινα λαὸς
οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξέτι κείνου,
ἀθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
καρτερόν, ὃς πάντεσσι μετέπρεπεν ἠιθέοισιν
εἶδός τ' ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ' ὀδόντας.
αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπο πατρὶ δάμασσεν
καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἧμιν ἀρούρας,
φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
ἔςτ' ἐπι Ῥηβαίου προχοὰς σκόπελόν τε Κολώνης·
Παφλαγόνες δ' ἐπι τοῖς Πελοπήιοι εἴκαθον αὔτως,
ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
ἀλλά με νῦν Βέβρυκες ὑπερβασίῃ τ' Ἀμύκοιο
τηλόθι ναιετάοντος ἐνόσφισαν Ἡρακλῆος,

δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ' ἐβάλοντο
οὖρα βαθυρρείοντος ὑφ' εἱαμεναῖς Ὑπίοιο.
ἔμπης δ' ἐξ ὑμέων ἔδοσαν τίσιν· οὐ δέ ἑ φημὶ
ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα,
Τυνδαρίδην Βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνεν.
τῶ νῦν ἥντιν' ἐγὼ τῖσαι χάριν ἄρκιός εἰμι,
τίσω προφρονέως. ἡ γὰρ θέμις ἠπεδανοῖσιν
ἀνδράσιν, εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν·
ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
Δάσκυλον ὀτρυνέω, ἐμὸν υἱέα· τοῖο δ' ἰόντος,
ἦ τ' ἂν ἐυξείνοισι διεξ ἁλὸς ἀντιάοιτε
ἀνδράσιν, ὄφρ' αὐτοῖο ποτι στόμα Θερμώδοντος.
νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἄκρης
εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
ναυτίλοι ἀμ πέλαγος θηεύμενοι ἱλάξονται·
καί κέ σφιν μετέπειτα προ ἄστεος, οἷα θεοῖσιν,
πίονας εὐαρότοιο γύας πεδίοιο ταμοίμην."
ὣς τότε μὲν δαῖτ' ἀμφι πανήμεροι ἐψιόωντο.
ἠρί γε μὴν ἐπι νῆα κατήισαν ἐγκονέοντες·
καὶ δ' αὐτὸς συν τοῖσι Λύκος κίε, μυρί' ὀπάσσας
δῶρα φέρειν· ἅμα δ' υἷα δόμων ἐκ πέμπε νέεσθαι.
ἔνθα δ' Ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
Ἴδμονα, μαντοσύνῃσι κεκασμένον· ἀλλά μιν οὔτι
μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρεὼ ἦγε δαμῆναι.
κεῖτο γὰρ εἱαμενῇ δονακώδεος ἐν ποταμοῖο
ψυχόμενος λαγόνας τε καὶ ἄσπετον ἰλύϊ νηδὺν
κάπριος ἀργιόδων, ὀλοὸν τέρας, ὅν ῥα καὶ αὐταὶ
νύμφαι ἑλειονόμοι ὑπεδείδισαν· οὐ δέ τις ἀνδρῶν
ἠείδει· οἶος δὲ κατα πλατὺ βόσκετο τῖφος.
αὐτὰρ ὅγ' ἰλυόεντος ἀνα θρωσμοὺς ποταμοῖο
νεῖσετ' Ἀβαντιάδης· ὁ δ' ἄρ ἔκ ποθεν ἀφράστοιο
ὕψι μάλ' ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν

αἴγδην, μέσσας δὲ συν ὀστέῳ ἶνας ἔκερσεν.
ὀξὺ δ' ὅγε κλάγξας οὖδει πέσεν· οἳ δὲ τυπέντος
ἀθρόοι ἀντιάχησαν. ὀρέξατο δ' αἶψ' ὀλοοῖο
Πηλεὺς αἰγανέῃ φυγάδ' εἰς ἕλος ὁρμηθέντος
καπρίου· ἔσσυτο δ' αὖτις ἐναντίος· ἀλλά μιν Ἴδας
οὔτασε, βεβρυχὼς δὲ θοῷ περι κάππεσε δουρί.
καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα·
τὸν δ' ἕταροι ἐπι νῆα φέρον ψυχορραγέοντα
ἀχνύμενοι, χείρεσσι δ' ἑῶν ἐνικάτθαν' ἑταίρων.
ἔνθα δὲ ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι,
ἀμφι δὲ κηδείῃ νέκυος μένον ἀσχαλόωντες.
ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν ἤδη
τάρχυον μεγαλωστί· συνεκτερέιξε δὲ λαὸς
αὐτῷ ὁμοῦ βασιλῆι Λύκῳ· παρὰ δ' ἄσπετα μῆλα,
ἣ θέμις οἰχομένοισι, ταφήια λαιμοτόμησαν.
καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
τύμβος· σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι,
νήιος ἐκ κοτίνοιο φάλαγξ· θαλέθει δέ τε φύλλοις
ἄκρης τυτθὸν ἔνερθ' Ἀχερουσίδος. εἰ δέ με καὶ τὸ
χρειὼ ἀπηλεγέως Μουσέων ὕπο γηρύσασθαι,
τόνδε πολισσοῦχον διεπέφραδε Βοιωτοῖσιν
Νισαίοισί τε Φοῖβος ἐπιρρήδην ἱλάεσθαι,
ἀμφὶ δὲ τήνγε φάλαγγα παλαιγενέος κοτίνοιο
ἄστυ βαλεῖν· οἳ δ' ἀντι θεουδέος Αἰολίδαο
Ἴδμονος εἰσέτι νῦν Ἀγαμήστορα κυδαίνουσιν.
τίς γὰρ δὴ θάνεν ἄλλος; ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν
ἥρωες τότε τύμβον ἀποφθιμένου ἑτάροιο.
δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν.
Ἁγνιάδην Τῖφυν θανέειν φάτις· οὐ δέ οἱ ἦεν
μοῖρ' ἔτι ναυτίλλεσθαι ἑκαστέρω. ἀλλά νυ καὶ τὸν
αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὔνασε νοῦσος,
εἰσότ' Ἀβαντιάδαο νέκυν κτερέιξεν ὅμιλος.

ἄτλητον δ' ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.
δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐκτερέιξαν
αὐτοῦ, ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες,
ἐντυπὰς εὐκήλως εἰλυμένοι οὔτέ τι σίτου
μνώοντ' οὔτε ποτοῖο· κατήμυσαν δ' ἀχέεσσιν
θυμόν, ἐπεὶ μάλα πολλὸν ἀπ' ἐλπίδος ἔπλετο νόστος.
καί νύ κ' ἔτι προτέρω τετιημένοι ἰσχανόωντο,
εἰ μὴ ἄρ' Ἀγκαίῳ περιώσιον ἔμβαλεν Ἥρη
θάρσος, ὃν Ἰμβρασίοισι παρ' ὕδασιν Ἀστυπάλαια
τίκτε Ποσειδάωνι· περιπρὸ γὰρ εὖ ἐκέκαστο
ἰθύνειν. Πηλῆα δ' ἐπεσσύμενος προσέειπεν
„Αἰακίδη, πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι; οὐ μὲν ἄρηος
ἴδριν ἐόντα με τόσσον ἄγει μετὰ κῶας Ἰήσων
Παρθενίης ἀπάνευθεν, ὅσον τ' ἐπιίστορα νηῶν.
τῶ μή μοι τυτθόν γε δέος περὶ νηὶ πελέσθω.
ὣς δὲ καὶ ἄλλοι δεῦρο δαήμονες ἄνδρες ἔασιν,
τῶν ὅτινα πρύμνης ἐπιβήσομεν, οὔτις ἰάψει
ναυτιλίην. ἀλλ' ὦκα, παραιφάμενος τάδε πάντα,
θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου.“
ὣς φάτο· τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν,
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοις ἀγόρευσεν
„δαιμόνιοι, τί νυ πένθος ἐτώσιον ἴσχομεν αὔτως;
οἳ μὲν γάρ ποθι τοῦτον, ὃν ἔλλαχον, οἶτον ὄλοντο·
ἡμῖν μέν τ' ἄρ ἔασι κυβερνητῆρες ὁμίλῳ
καὶ πολέες. τῶ μή τι διατριβώμεθα πείρης·
ἀλλ' ἔγρεσθ' εἰς ἔργον, ἀπορρίψαντες ἀνίας.“
τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν
„Αἰακίδη, πῇ δ' οἵδε κυβερνητῆρες ἔασιν;
οὓς μὲν γὰρ τὸ πάροιθε δαήμονας εὐχόμεθ' εἶναι,
οἵδε κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσιν.
τῶ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην,

εἰ δὴ μήτ' ὀλοοῖο μετα πτόλιν Αἰήταο
ἔσσεται, ἠὲ καὶ αὖτις ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
πετράων ἔκτοσθε, κατ' αὐτόθι δ' ἄμμε καλύψει
ἀκλειῶς κακὸς οἶτος, ἐτώσια γηράσκοντας."
ὣς ἔφατ'. Ἀγκαῖος δὲ μάλ' ἐσσυμένως ὑπέδεκτο
νῆα θοὴν ἄξειν· δὴ γὰρ θεοῦ ἐτράπεθ' ὁρμῇ.
τὸν δὲ μετ' Ἐργῖνος καὶ Ναύπλιος Εὔφημός τε
ὤρνυντ', ἰθύνειν λελιημένοι. ἀλλ' ἄρα τούςγε
ἔσχεθον· Ἀγκαίῳ δὲ πολεῖς ἤνησαν ἑταίρων.
ἠῷοι δ' ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
ἤματι· δὴ γάρ σφιν ζεφύρου μέγας οὖρος ἄητο.
καρπαλίμως δ' Ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς,
ἐκ δ' ἔχεαν πίσυνοι ἀνέμῳ λίνα, πουλὺ δ' ἐπιπρὸ
λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
ὦκα δὲ Καλλιχόροιο παρα προχοὰς ποταμοῖο
ἤλυθον, ἔνθ' ἐνέπουσι Διὸς Νυσήιον υἷα,
Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας,
ὀργιάσαι, στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν,
ᾧ ἐν ἀμειδήτους ἁγίας εὐνάζετο νύκτας,
ἐξ οὗ Καλλίχορον ποταμὸν περιναιετάοντες
ἠδὲ καὶ Αὐλίον ἄντρον ἐπωνυμίην καλέουσιν.
ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο,
ὅς ῥά τ' Ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
ἂψ ἀνιών — δὴ γὰρ συνανήλυθεν Ἡρακλῆι —
βλήμενος ἰῷ κεῖθεν ἐπ' ἀγχιάλου θάνεν ἀκτῆς.
οὐ μέν θην προτέρω ἔτ' ἐμέτρεον. ἧκε γὰρ αὐτὴ
Φερσεφόνη ψυχὴν πολυδάκρυον Ἀκτορίδαο
λισσομένην τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα
τοῖος ἐών, οἷος πόλεμον δ' ἴεν· ἀμφι δὲ καλὴ
τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
καί ῥ' ὃ μὲν αὖτις ἔδυνε μέγαν ζόφον· οἳ δ' ἐσιδόντες

θάμβησαν· τοὺς δ' ὦρσε θεοπροπέων ἐπικέλσαι
Ἀμπυκίδης Μόψος λοιβῇσί τε μειλίξασθαι.
οἱ δ' ἄνα μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόντες
πείσματ' ἐν αἰγιαλῷ Σθενέλου τάφον ἀμφεπένοντο,
χύτλα τέ οἱ χεύοντο, καὶ ἥγνισαν ἔντομα μήλων.
ἄνδιχα δ' αὖ χύτλων νηοσσόῳ Ἀπόλλωνι
βωμὸν δειμάμενοι μῆλ' ἔφλεγον· ἂν δὲ καὶ Ὀρφεὺς
θῆκε λύρην· ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.
αὐτίκα δ' οἵγ' ἀνέμοιο κατασπέρχοντος ἔβησαν
νῆ' ἔπι· κὰδ δ' ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
ἐς πόδας ἀμφοτέρους· ἣ δ' ἐς πέλαγος πεφόρητο
ἐντενές, ἠύτε τίς τε δι' ἠέρος ὑψόθι κίρκος
ταρσὸν ἐφεὶς πνοιῇ φέρεται ταχύς, οὐδὲ τινάσσει
ῥιπήν, εὐκήλοισιν ἐνευδιόων πτερύγεσσιν.
καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντος,
πρηΰτάτου ποταμοῦ, παρεμέτρεον, ᾧ ἔνι κούρη
Λητωίς, ἄγρηθεν ὅτ' οὐρανὸν εἰσαναβαίνῃ,
ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.
νυκτί τ' ἔπειτ' ἄλληκτον ἐπι προτέρωσε θέοντες
Σήσαμον αἰπεινούς τε παρεξενέοντ' Ἐρυθίνους,
Κρωβίαλον, Κρῶμναν τε καὶ ὑλήεντα Κύτωρον.
ἔνθεν δ' αὖτε Κάραμβιν ἅμ' ἠελίοιο βολῇσιν
γνάμψαντες παρα πουλὺν ἔπειτ' ἤλαυνον ἐρετμοῖς
αἰγιαλὸν πρόπαν ἦμαρ ὁμῶς καὶ ἐπ' ἤματι νύκτα.
αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονός, ἔνθα Σινώπην,
θυγατέρ' Ἀσωποῖο, καθίσσατο καί οἱ ὄπασσεν
παρθενίην Ζεὺς αὐτός, ὑποσχεσίῃσι δολωθείς.
δὴ γὰρ ὃ μὲν φιλότητος ἐέλδετο· νεῦσε δ' ὅγ' αὐτῇ
δωσέμεναι, ὅ κεν ᾗσι μετα φρεσὶν ἰθύσειεν.
ἣ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
ὣς δὲ καὶ Ἀπόλλωνα παρήπαφεν εὐνηθῆναι
ἱέμενον, ποταμόν τ' ἐπι τοῖς Ἅλυν· οὐδὲ μὲν ἀνδρῶν

τήνγέ τις ἱμερτῇσιν ἐν ἀγκοίνῃσι δάμασσεν.
ἔνθα δὲ Τρικκαίοιο ἀγαυοῦ Δηιμάχοιο
υἷες, Δηιλέων τε καὶ Αὐτόλυκος Φλογίος τε
τῆμος ἔθ', Ἡρακλῆος ἀποπλαγχθέντες, ἔναιον·
οἵ ῥα τόθ', ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν,
σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες·
οὐ δ' ἔτι μιμνάζειν θέλον ἔμπεδον, ἀλλ' ἐνὶ νηί,
ἀργεστᾶο παράσσον ἐπιπνείοντος, ἔβησαν.
τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
λεῖπον Ἅλυν ποταμόν, λεῖπον δ' ἀγχίρροον Ἶριν
ἠδὲ καὶ Ἀσσυρίης πρόχυσιν χθονός· ἤματι δ' αὐτῷ
γνάμψαν Ἀμαζονίδων ἕκαθεν λιμενήοχον ἄκρην.
ἔνθά ποτε προμολοῦσαν Ἀρητιάδα Μελανίππην
ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
ἀμφὶ κασιγνήτης· ὃ δ' ἀπήμονα πέμψεν ὀπίσσω.
τῆς οἵγ' ἐν κόλπῳ, προχοαῖς ἔπι Θερμώδοντος,
κέλσαν, ἐπεὶ καὶ πόντος ὀρίνετο νεισομένοισιν.
τῷ δ' οὔτις ποταμῶν ἐναλίγκιος, οὐ δὲ ῥέεθρα
τόσσ' ἐπὶ γαῖαν ἵησι παρὲξ ἕθεν ἄνδιχα βάλλων.
τετράδος εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
πεμπάζοι· μία δ' οἴη ἐτήτυμος ἔπλετο πηγή.
ἣ μέν τ' ἐξ ὀρέων κατανείσεται ἤπειρον δὲ
ὑψηλῶν, ἅτε φασὶν Ἀμαζόνια κλείεσθαι.
ἔνθεν δ' αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
ἀντικρύ· τῷ καί οἱ ἐπίστροφοί εἰσι κέλευθοι·
αἰεὶ δ' ἄλλυδις ἄλλη, ὅπῃ κύρσειε μάλιστα
ἠπείρου χθαμαλῆς, εἱλίσσεται· ἣ μὲν ἄπωθεν,
ἣ δὲ πέλας· πολέες δὲ πόροι νώνυμνοι ἔασιν,
ὅππῃ ὑπεξαφύονται· ὃ δ' ἀμφαδὸν ἄμμιγα παύροις
Πόντον ἐς Ἄξεινον κυρτὴν ὑπερεύγεται ἄχνην.
καί νύ κε δηθύνοντες Ἀμαζονίδεσσιν ἔμιξαν

ὑσμίνην, καὶ δ' οὔ κεν ἀναιμωτί γ' ἐρίδηναν, —
οὐ γὰρ Ἀμαζονίδες μάλ' ἐπητέες, οὐ δὲ θέμιστας
τίουσαι πεδίον Δοιάντιον ἀμφενέμοντο·
ἀλλ' ὕβρις στονόεσσα καὶ Ἄρεος ἔργα μεμήλει·
δὴ γὰρ καὶ γενεὴν ἔσαν Ἄρεος Ἁρμονίης τε
νύμφης, ἥτ' Ἄρηι φιλοπτολέμους τέκε κούρας,
ἄλσεος Ἀκμονίοιο κατα πτύχας εὐνηθεῖσα —
εἰ μὴ ἄρ ἐκ Διόθεν πνοιαὶ πάλιν ἀργεστᾶο
ἤλυθον. ἣ δ' ἀνέμῳ περιηγέα κάλλιπεν ἄκρην,
ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.
οὐ γὰρ ὁμηγερέες μίαν ἀμ πόλιν, ἀλλ' ἀνα γαῖαν
κεκριμέναι κατα φῦλα διάτριχα ναιετάασκον·
νόσφι μὲν αἵδ' αὐταί, τῇσιν τότε κοιρανέεσκεν
Ἱππολύτη, νόσφιν δὲ Λυκάστιαι ἀμφενέμοντο,
νόσφι δ' ἀκοντοβόλοι Χαδήσιαι. ἤματι δ' ἄλλῳ
νυκτί τ' ἐπιπλομένη Χαλύβων παρα γαῖαν ἵκοντο.
τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει, οὔτέ τις ἄλλη
φυταλιὴ καρποῖο μελίφρονος· οὐ δὲ μὲν οἵγε
ποίμνας ἑρσήεντι νομῷ ἔνι ποιμαίνουσιν.
ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες
ὦνον ἀμείβονται βιοτήσιον· οὐ δέ ποτέ σφιν
ἠὼς ἀντέλλει καμάτων ἄτερ, ἀλλὰ κελαινῇ
λιγνύϊ καὶ καπνῷ κάματον βαρὺν ὀτλεύουσιν.
Τοὺς δὲ μετ' αὐτίκ' ἔπειτα Γενηταίου Διὸς ἄκρην
γνάμψαντες σώοντο παρεξ Τιβαρηνίδα γαῖαν.
ἔνθ' ἐπεὶ ἄρ κε τέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖκες,
αὐτοὶ μὲν στενάχουσιν ἐνι λεχέεσσι πεσόντες,
κράατα δησάμενοι· ταὶ δ' εὖ κομέουσιν ἐδωδῇ
ἀνέρας, ἠδὲ λοετρὰ λεχώια τοῖσι πένονται.
Ἱερὸν αὖτ' ἐπι τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον,
ᾗ ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσιν
μόσσυνας, καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.

ἀλλοίη δὲ δίκη καὶ θέσμια τοῖσι τέτυκται.
ὅσσα μὲν ἀμφαδίῃ ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,
ἢ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται·
ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε
ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
οὐ δ' εὐνῆς αἰδὼς ἐπιδήμιος, ἀλλὰ σύες ὣς
φορβάδες, οὐδ' ἠβαιὸν ἀτυζόμενοι παρεόντας,
μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
ἰθείας πολέεσσι δίκας λαοῖσι δικάζει,
σχέτλιος. ἢν γάρ που τι θεμιστεύων ἀλίτηται,
λιμῷ μιν κεῖν' ἦμαρ ἐνικλείσαντες ἔχουσιν.

τοὺς παρανεισόμενοι καὶ δὴ σχεδὸν ἀντιπέρηθεν
νήσου Ἀρητιάδος τέμνον πλόον εἰρεσίῃσιν
ἠμάτιοι· λιαρὴ γὰρ ὑπο κνέφας ἔλλιπεν αὔρη.
ἤδη καί τιν' ὕπερθεν Ἀρήιον ἀίσσοντα
ἐνναέτην νήσοιο δι' ἠέρος ὄρνιν ἴδοντο,
ὅς ῥα τιναξάμενος πτέρυγας κατα νῆα θέουσαν
ἧκ' ἔπι οἱ πτερὸν ὀξύ· τὸ δ' ἐν λαιῷ πέσεν ὤμῳ
δίου Ὀιλῆος· μεθέηκε δὲ χερσὶν ἐρετμὸν
βλήμενος· οἳ δὲ τάφον πτερόεν βέλος εἰσορόωντες.
καὶ τὸ μὲν ἐξείρυσσε παρεδριόων Ἐριβώτης,
ἕλκος δὲ ξυνέδησεν, ἀπο σφετέρου κολεοῖο
λυσάμενος τελαμῶνα κατήορον· ἐκ δ' ἐφαάνθη
ἄλλος ἔπι προτέρῳ πεποτημένος· ἀλλά μιν ἥρως
Εὐρυτίδης Κλύτιος — πρὸ γὰρ ἀγκύλα τείνατο τόξα,
ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος, εὖτ' ἂρ ἐπέπτη —
πλῆξεν· δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.
τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο, παῖς Ἀλεοῖο
„νῆσος μὲν πέλας ἧμιν Ἀρητιάς· ἴστε καὶ αὐτοὶ
τοῦσδ' ὄρνιθας ἰδόντες. ἐγὼ δ' οὐκ ἔλπομαι ἰοὺς
τόσσον ἐπαρκέσσειν εἰς ἔκβασιν. ἀλλά τιν' ἄλλην

μῆτιν πορσύνωμεν ἐπίρροθον, εἴ κ' ἐπικέλσαι
μέλλετε, Φινῆος μεμνημένοι, ὡς ἐπέτελλεν.
ουδὲ γὰρ Ἡρακλέης, ὁπότ' ἤλυθεν Ἀρκαδίην δέ,
πλωΐδας ὄρνιθας Στυμφαλίδας ἔσθενε λίμνης
ὤσασθαι τόξοισι· τὸ μέν τ' ἐγὼ αὐτὸς ὄπωπα.
ἀλλ' ὅγε χαλκείην πλατάγην ἐνὶ χερσὶ τινάσσων
δούπει ἐπὶ σκοπιῆς περιμήκεος· αἱ δὲ φέβοντο
τηλοῦ, ἀτυζηλῷ ὑπο δείματι κεκληγυῖαι.
τῷ καὶ νῦν τοίην τιν' ἐπιφραζώμεθα μῆτιν·
αὐτὸς δ' ἂν τὸ πάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι.
ἀνθέμενοι κεφαλῇσιν ἀερσιλόφους τρυφαλείας,
ἡμίσεες μὲν ἐρέσσετ' ἀμοιβαδίς, ἡμίσεες δὲ
δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
αὐτὰρ πασσυδίῃ περιώσιον ὄρνυτ' ἀυτὴν
ἀθρόοι, ὄφρα κολῳὸν ἀηθείῃ φοβέωνται
νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ' ὕπερθεν.
εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ' ἔπειτα
συν κελάδῳ σακέεσσι πελώριον ὄρσετε δοῦπον."
ὣς ἄρ ἔφη· πάντεσσι δ' ἐπίρροθος ἥνδανε μῆτις.
ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο
δεινὸν λαμπομένας, ἐπὶ δὲ λόφοι ἐσσείοντο
φοινίκεοι. καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον,
τοὶ δ' αὖτ' ἐγχείῃσι καὶ ἀσπίσι νῆ' ἐκάλυψαν.
ὡς δ' ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνήρ,
δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
ἄλλῳ δ' ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν·
ὣς οἵγ' ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν.
οἵη δὲ κλαγγὴ δήου πέλει ἐξ ὁμάδοιο
ἀνδρῶν κινυμένων, ὁπότε ξυνίωσι φάλαγγες,
τοίη ἄρ ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ' ἀυτή.
οὐ δέ τιν' οἰωνῶν ἔτ' ἐσέδρακον, ἀλλ' ὅτε νήσῳ
χρίμψαντες σακέεσσιν ἐπέκτυπον, αὐτίκ' ἄρ οἵγε

*μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.*
*ὡς δ' ὁπότε Κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν*
*ἐκ νεφέων ἀνά τ' ἄστυ καὶ οἰκία, τοὶ δ' ὑπὸ τοῖσιν*
*ἐνναέται κόναβον τεγέων ὕπερ εἰσαΐοντες*
*ἧνται ἀκήν, ἐπεὶ οὔ σφε κατέλλαβε χείματος ὥρη*
*ἀπροφάτως, ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρον·*
*ὣς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀίσσοντες*
*ὕψι μάλ' ἂμ πέλαγος περάτης εἰς οὔρεα γαίης.*
*τίς γὰρ δὴ Φινῆος ἔην νόος, ἐνθάδε κέλσαι*
*ἀνδρῶν ἡρώων θεῖον στόλον; ἢ καὶ ἔπειτα*
*ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι;*
*υἱῆες Φρίξοιο μετα πτόλιν Ὀρχομενοῖο*
*ἐξ Αἴης ἐνέοντο παρ' Αἰήταο Κυταίου*
*Κολχίδα νῆ' ἐπιβάντες, ἵν' ἄσπετον ὄλβον ἄρωνται*
*πατρός· ὃ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον.*
*καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.*
*Ζεὺς δ' ἀνέμου βορέαο μένος κίνησεν ἀῆναι,*
*ὕδατι σημαίνων διερὴν ὁδὸν Ἀρκτούροιο·*
*αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν*
*τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν·*
*νυκτὶ δ' ἔβη πόντον δὲ πελώριος, ὦρσε δὲ κῦμα*
*κεκληγὼς πνοιῇσι· κελαινὴ δ' οὐρανὸν ἀχλὺς*
*ἄμπεχεν, οὐ δέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι*
*ἐκ νεφέων, σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.*
*οἳ δ' ἄρα μυδαλέοι, στυγερὸν τρομέοντες ὄλεθρον,*
*υἱῆες Φρίξοιο φέρονθ' ὑπὸ κύμασιν αὔτως.*
*ἱστία δ' ἐξήρπαξ' ἀνέμου μένος, ἠδὲ καὶ αὐτὴν*
*νῆα διάνδιχ' ἔαξε τινασσομένην ῥοθίοισιν.*
*ἔνθα δ' ὑπ' ἐννεσίῃσι θεῶν πίσυρές περ ἐόντες*
*δούρατος ὠρέξαντο πελωρίου, οἷά τε πολλὰ*
*ῥαισθείσης κεκέδαστο θοοῖς συναρηρότα γόμφοις:*
*καὶ τοὺς μὲν νῆσον δέ, παρεξ ὀλίγον θανάτοιο,*

κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.
αὐτίκα δ' ἐρράγη ὄμβρος ἀθέσφατος, ὗε δὲ πόντον
καὶ νῆσον καὶ πᾶσαν ὅσην κατεναντία νήσου
χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
τοὺς δ' ἄμυδις κρατερῷ συν δούρατι κύματος ὁρμὴ
υἱῆας Φρίξοιο μετ' ἠιόνας βάλε νήσου
νύχθ' ὕπο λυγαίην· τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
λῆξεν ἅμ' ἠελίῳ· τάχα δ' ἐγγύθεν ἀντεβόλησαν
ἀλλήλοις, Ἄργος δὲ παροίτατος ἔκφατο μῦθον
„ἀντόμεθα πρὸς Ζηνὸς Ἐποψίου, οἵτινές ἐστε
ἀνδρῶν, εὐμενέειν τε καὶ ἀρκέσσαι χατέουσιν.
πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
νηὸς ἀεικελίης δια δούρατα πάντ' ἐκέδασσαν,
ᾗ ἔνι πείρομεν οἶμον ἐπι χρέος ἐμβεβαῶτες.
τοὔνεκα νῦν ὑμέας γουναζόμεθ', αἴ κε πίθησθε,
δοῦναι ὅσον θ' εἷλυμα περι χροός, ἠδὲ κομίσσαι
ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσσασθε
Ξεινίου Ἱκεσίου τε. Διὸς δ' ἄμφω ἱκέται τε
καὶ ξεῖνοι. ὃ δέ που καὶ ἐπόψιος ἄμμι τέτυκται.“
τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινεν,
μαντοσύνας Φινῆος ὀισσάμενος τελέεσθαι·
„ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὁππόθι γαίης
ναίετε, καὶ χρέος οἷον ὑπειρ ἅλα νεῖσθαι ἀνώγει,
αὐτῶν θ' ὑμείων ὄνομα κλυτὸν ἠδὲ γενέθλην.
τὸν δ' Ἄργος προσέειπεν ἀμηχανέων κακότητι
„Αἰολίδην Φρίξόν τιν' ἀφ' Ἑλλάδος Αἶαν ἱκέσθαι
ἀτρεκέως, δοκέω, που ἀκούετε καὶ πάρος αὐτοί,
Φρίξον, ὅτις πτολίεθρον ἀνήλυθεν Αἰήταο,
κριοῦ ἐπεμβεβαώς, τόν ῥα χρύσειον ἔθηκεν
Ἑρμείας· κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε

πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
τὸν μὲν ἔπειτ᾽ ἔρρεξεν ἑῆς ὑποθημοσύνῃσιν
Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διί. καί μιν ἔδεκτο
Αἰήτης μεγάρῳ, κούρην τέ οἱ ἐγγυάλιξεν
Χαλκιόπην ἀνάεδνον ἐυφροσύνῃσι νόοιο.
τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος. ἀλλ᾽ ὃ μὲν ἤδη
γηραιὸς θάνε Φρίξος ἐν Αἰήταο δόμοισιν·
ἡμεῖς δ᾽ αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες
νεύμεθ᾽ ἐς Ὀρχομενὸν κτεάνων Ἀθάμαντος ἕκητι.
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις δεδαῆσθαι,
τῷδε Κυτίσωρος πέλει οὔνομα, τῷδέ τε Φρόντις,
τῷ δὲ Μέλας· ἐμὲ δ᾽ αὐτὸν ἐπικλείοιτέ κεν Ἄργον.“
ὣς φάτ᾽· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο,
καί σφεας ἀμφίεπον περιθαμβέες. αὐτὰρ Ἰήσων
ἐξαῦτις κατα μοῖραν ἀμείψατο τοῖσδ᾽ ἐπέεσσιν
„ἦ ἄρα δὴ γνωτοὶ πατρώιοι ἄμμιν ἰόντες
λίσσεσθ᾽ εὐμενέοντας ἐπαρκέσσαι κακότητα.
Κρηθεὺς γάρ ῥ᾽ Ἀθάμας τε κασίγνητοι γεγάασιν.
Κρηθῆος δ᾽ υἱωνὸς ἐγὼ συν τοισίδ᾽ ἑταίροις
Ἑλλάδος ἐξ αὐτῆς νέομ᾽ ἐς πόλιν Αἰήταο.
ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισιν·
νῦν δ᾽ ἕσσασθε πάροιθεν. ὑπ᾽ ἐννεσίῃσιν ὀίω
ἀθανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσθαι.“
ἦ ῥα, καὶ ἐκ νηὸς δῶκέ σφισιν εἵματα δῦναι.
πασσυδίῃ δ᾽ ἤπειτα κίον μετα νηὸν Ἄρηος,
μῆλ᾽ ἱερευσόμενοι· περι δ᾽ ἐσχάρῃ ἐστήσαντο
ἐσσυμένως, ἥτ᾽ ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
στιάων· εἴσω δὲ μέλας λίθος ἠρήρειστο
ἱερός, ᾧ ποτε πᾶσαι Ἀμαζόνες εὐχετόωντο.
οὐ δέ σφιν θέμις ἦεν, ὅτ᾽ ἀντιπέρηθεν ἵκοντο,
μήλων τ᾽ ἠδὲ βοῶν τῇδ᾽ ἐσχάρῃ ἱερὰ καίειν·
ἀλλ᾽ ἵππους δαίτρευον, ἐπηετανὸν κομέουσαι.

*αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτα πάσαντο,*
*δὴ τότ' ἄρ Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων*
*„Ζεὺς ἔτι που τὰ ἕκαστ' ἐπιδέρκεται· οὐδέ μιν ἄνδρες*
*λήθομεν, ἔμπεδον οἵ τε θεουδέες, οὐδὲ δίκαιοι·*
*ὣς μὲν γὰρ πατέρ' ὑμὸν ὑπεξείρυτο φόνοιο*
*μητρυιῆς, καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον,*
*ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσεν*
*χείματος οὐλομένοιο. πάρεστι δὲ τῆσδ' ἐπι νηὸς*
*ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπῃ φίλον, εἴτε μετ' Αἶαν,*
*εἴτε μετ' ἀφνειὴν θείου πόλιν Ὀρχομενοῖο.*
*τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ*
*δούρατα Πηλιάδος κορυφῆς πέρι· συν δέ οἱ Ἄργος*
*τεῦξεν. ἀτὰρ κείνην γε κακὸν δια κῦμ' ἐκέδασσεν,*
*πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵτ' ἐνι πόντου*
*στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.*
*ἀλλ' ἄγεθ' ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισιν*
*κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε*
*καὶ πλόου ἡγεμονῆες, ἐπεὶ Φρίξοιο θυηλὰς*
*στέλλομαι ἀμπλήσων, Ζηνὸς χόλον Αἰολίδῃσιν.“*
*ἴσκε παρηγορέων· οἳ δ' ἔστυγον εἰσαΐοντες.*
*οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο*
*κῶας ἄγειν κριοῖο μεμαότας. ὧδέ τ' ἔειπεν*
*Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι*
*„ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς*
*σχήσεται, οὐδ' ἠβαιόν, ὅτε χρειώ τις ἵκηται.*
*ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν*
*Αἰήτης. τῶ καὶ περιδείδια ναυτίλλεσθαι.*
*στεῦται δ' Ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων*
*ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει*
*σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζοι.*
*οὐ μὰν οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο*
*ῥηίδιον· τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται*

Γαίῃ τ' ἐνναέταις τε θεοῖς ψυχαῖς τε καμόντων
ἡρώων· γουνοῦτο δ' ἀπήμονας εἶναι ἀρωγοὺς
εὐμενέως, καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
αὐτίκα δ' Ἀγκαῖος τοῖον μετα μῦθον ἔειπεν
„Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν ἠδὲ ῥέεθρα
Φάσιδος· ὥρη δ' ἧμιν ἐνι σφίσι μητιάασθαι,
εἴτ' οὖν μειλιχίῃ πειρησόμεθ' Αἰήταο,
εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσεται ὁρμή.“
ὣς ἔφατ'· Ἄργου δ' αὖτε παρηγορίῃσιν Ἰήσων
ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσσαι
δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ' ἐπισχεδὸν ἦεν
νεισομένων, ἔνθ' οἵγε δια κνέφας ηὐλίζοντο.
ἠὼς δ' οὐ μετα δηρὸν ἐελδομένοισι φαάνθη.

---

## ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ
## ΑΡΓΟΝΑΥΤΙΚΩΝ Γ.

---

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο καί μοι ἐνίσπες,
ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
Μηδείης ὑπ' ἔρωτι. σὺ γὰρ καὶ Κύπριδος αἶσαν
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
παρθενικάς· τῶ καί τοι ἐπήρατον οὔνομ' ἀνῆπται.
ὣς οἳ μὲν πυκινοῖσιν ἀνωίστως δονάκεσσιν
μίμνον ἀριστῆες λελοχημένοι. αἳ δ' ἐνόησαν
Ἥρη Ἀθηναίη τε· Διὸς δ' αὐτοῖο καὶ ἄλλων
ἀθανάτων ἀπονόσφι θεῶν θάλαμον δὲ κιοῦσαι
βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη
„αὐτὴ νῦν προτέρη, θύγατερ Διός, ἄρχεο βουλῆς.

τί χρέος; ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο,
ἦ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
μειλιχίοις; ἦ γὰρ ὅγ' ὑπερφίαλος πέλει αἰνῶς.
ἔμπης δ' οὔτινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν."
ὣς φάτο· τὴν δὲ παράσσον Ἀθηναίη προσέειπεν
„καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετα φρεσὶν ὁρμαίνουσαν,
Ἥρη, ἀπηλεγέως ἐξείρεαι. ἀλλά τοι οὔπω
φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς."
ἦ, καὶ ἐπ' οὔδεος αἶγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν. αὐτίκα δ' Ἥρη
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον
„δεῦρ' ἴομεν μετα Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται
κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσιν
θέλξαι ὀιστεύσας ἐπ' Ἰήσονι. τὸν δ' ἂν ὀίω
κείνης ἐννεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν."
ὣς ἄρ ἔφη. πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ,
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν
„Ἥρη, νήιδα μέν με πατὴρ τέκε τοῖο βολάων,
οὐ δέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
εἰ δὲ σοὶ αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
ἑσποίμην· σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα."
ἦ, καὶ ἀναΐξασαι ἐπι μέγα δῶμα νέοντο
Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
ὁππότε μιν τὰ πρῶτα παραι Διὸς ἦγεν ἄκοιτιν.
ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
ἔσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
ἀλλ' ὃ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
νήσοιο πλαγκτῆς εὐρὺν μυχόν, ᾧ ἔνι πάντα
δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἣ δ' ἄρα μούνη

ἧστο δόμῳ δινωτὸν ἀνα θρόνον, ἄντα θυράων·
λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
κόσμει χρυσείῃ δια κερκίδι, μέλλε δὲ μακροὺς
πλέξασθαι πλοκάμους. τὰς δὲ προπάροιθεν ἰδοῦσα
ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπο θρόνου ὦρτο,
εἷσέ τ' ἐνι κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν
„ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔτι πάρος γε
λίην φοιτίζουσαι; ἐπεὶ περίεστε θεάων."
τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν
„κερτομέεις· νῶιν δὲ κέαρ συνορίνεται ἄτῃ.
ἤδη γὰρ ποταμῷ ἐνι Φάσιδι νῆα κατίσχει
Αἰσονίδης ἠδ' ἄλλοι ὅσοι μετα κῶας ἕπονται.
τῶν ἤτοι πάντων μέν, ἐπεὶ πέλας ἔργον ὄρωρεν,
δείδιμεν ἐκπάγλως, περι δ' Αἰσονίδαο μάλιστα.
τὸν μὲν ἐγών, εἰ καί περ ἐς Ἅιδα ναυτίλληται
λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνι σθένος ἔπλετο γυίοις,
ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων
ἐξότ' ἐπι προχοῇσιν ἄλις πλήθοντος Ἀναύρου
ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν
θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα
οὔρεα καὶ σκοπιαὶ περιμήκεες, οἱ δὲ κατ' αὐτῶν
χείμαρροι καναχηδὰ κυλινδόμενοι φορέοντο.
γρηὶ δέ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
αὐτὸς ἑοῖς ὤμοισι διεκ προαλὲς φέρεν ὕδωρ.
τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐ δέ κε λώβην
τίσειεν Πελίης, εἰ μὴ σύγε νόστον ὀπάσσοις."

ὣς ηὔδα· Κύπριν δ' ἐνεοστασίη λάβε μύθων.
ἅζετο δ' ἀντομένην Ἥρην ἕθεν εἰσορόωσα,
καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἤγ' ἐπέεσσιν
„πότνα θεά, μή τοι τι κακώτερον ἄλλο πέλοιτο
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
ἢ ἔπος ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν
ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω."
ὣς ἔφαθ'· Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν
„οὔτι βίης χατέουσαι ἱκάνομεν οὐ δέ τι χειρῶν.
ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ
παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
ῥηιδίως μιν ἑλόντα δέρος χρύσειον ὀίω
νοστήσειν ἐς Ἰωλκόν· ἐπεὶ δολόεσσα τέτυκται."
ὣς ἄρ ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν
„Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
ἢ ἐμοί. ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,
αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀιστοὺς
ἀμφαδίην. τοῖον γὰρ ἐπηπείλησε χαλεφθείς,
εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
ἕξω ἐμάς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ."
ὣς φάτο· μείδησαν δὲ θεαί, καὶ ἐσέδρακον ἄντην
ἀλλήλαις. ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν
„ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐ δέ τί με χρὴ
μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
πειρήσω, καί μιν μειλίξομαι· οὐ δ' ἀπιθήσει."
ὣς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός,
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν

„οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μὴ δ' ἐρίδαινε
χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.“
ἦ ῥα, καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι, ἡδὲ καὶ αὐτὴ
βῆ ῥ' ἴμεν Οὐλύμποιο κατα πτύχας, εἴ μιν ἐφεύροι.
εὗρε δὲ τόνγ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
οὐκ οἶον, μετὰ καὶ Γανυμήδεα, τόν ῥά ποτε Ζεὺς
οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
κάλλεος ἱμερθείς. ἀμφ' ἀστραγάλοισι δὲ τώγε
χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
καί ῥ' ὃ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπο μαζῷ
μάργος Ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστόν,
ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφι παρειὰς
χροιῇ θάλλεν ἔρευθος. ὃ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
σῖγα κατηφιόων· δοιὼ δ' ἔχεν, ἄλλον ἔτ' αὔτως
ἄλλῳ ἐπιπροϊείς· κεχόλωτο δὲ καγχαλόωντι.
καὶ μὴν τούσγε παράσσον ἐπι προτέροισιν ὀλέσσας
βῆ κενεαῖς συν χερσὶν ἀμήχανος, οὐ δ' ἐνόησεν
Κύπριν ἐπιπλομένην. ἣ δ' ἀντίη ἵστατο παιδός,
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπεν
„τίπτ' ἐπιμειδιάᾳς, ἄφατον κακόν; ἦέ μιν αὔτως
ἤπαφες, οὐ δὲ δίκῃ περιέπλεο, νῆιν ἐόντα;
εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος, ὅ ττι κεν εἴπω·
καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα
κεῖνο, τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
σφαῖραν ἐυτρόχαλον, τῆς οὐ σύγε μείλιον ἄλλο
χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.
χρύσεα μέν οἱ κύκλα τετεύχαται· ἀμφι δ' ἑκάστῳ
διπλόαι ἀψῖδες περιηγέες εἱλίσσονται·
κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις

κυανέῃ. ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
ἀστὴρ ὥς, φλεγέθοντα δι᾽ ἠέρος ὁλκὸν ἵησιν.
τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο
θέλξον ὀιστεύσας ἐπ᾽ Ἰήσονι· μὴ δέ τις ἔστω
ἀμβολίη. δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη."
ὣς φάτο· τῷ δ᾽ ἀσπαστὸν ἔπος γένετ᾽ εἰσαΐοντι.
μείλια δ᾽ ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
λίσσετο δ᾽ αἶψα πορεῖν αὐτοσχεδόν· ἣ δ᾽ ἀγανοῖσιν
ἀντομένη μύθοισιν, ἐπειρύσσασα παρειάς,
κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα
„ἴστω νῦν τόδε σεῖο φίλον κάρη ἠδ᾽ ἐμὸν αὐτῆς,
ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐ δ᾽ ἀπατήσω,
εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο."
φῆ· ὃ δ᾽ ἄρ ἀστραγάλους συναμήσατο, καδ δὲ φαεινῷ
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
αὐτίκα δ᾽ ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ
πρέμνῳ κεκλιμένην· ἀνα δ᾽ ἀγκύλον εἵλετο τόξον.
βῆ δὲ διεκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν οὐλύμποιο
αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός, ἧχί τ᾽ ἀερθεὶς
ἠέλιος πρώτῃσιν ἐρείδεται ἀκτίνεσσιν.
νειόθι δ᾽ ἄλλοτε γαῖα φερέσβιος ἄστεά τ᾽ ἀνδρῶν
φαίνετο καὶ ποταμῶν ἱεροὶ ῥόοι, ἄλλοτε δ᾽ αὖτε
ἄκριες, ἀμφὶ δὲ πόντος ἀν᾽ αἰθέρα πολλὸν ἰόντι.
ἥρωες δ᾽ ἀπάνευθεν ἑῆς ἐπι σέλμασι νηὸς
ἐν ποταμῷ καθ᾽ ἕλος λελοχημένοι ἠγορόωντο.
αὐτὸς δ᾽ Αἰσονίδης μετεφώνεεν· οἳ δ᾽ ὑπάκουον
ἠρέμας ᾗ ἐνι χώρῃ ἐπισχερὼ ἑδριόωντες.
„ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ

ἐξερέω· τοῦ δ' ὔμμι τέλος κρηῆναι ἔοικεν.
ξυνὴ γὰρ χρειώ, ξυνοὶ δέ τε μῦθοι ἔασιν
πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων
ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
ὦλλοι μὲν κατα νῆα συν ἔντεσι μίμνεθ' ἕκηλοι·
αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο,
υἷας ἑλὼν Φρίξοιο δύω δ' ἐπι τοῖσιν ἑταίρους.
πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
ἦε καὶ οὔ, πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες
φρασσόμεθ', εἴτ' Ἄρηι συνοισόμεθ', εἴτέ τις ἄλλη
μῆτις ἐπίρροθος ἔσται ἐεργομένοισιν ἀυτῆς.
μὴ δ' αὔτως ἀλκῇ, πρὶν ἔπεσσί γε πειρηθῆναι,
τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας. ἀλλὰ πάροιθεν
λωίτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
πολλάκι τοι ῥέα μῦθος, ὅ κεν μόλις ἐξανύσειεν
ἠνορέη, τόδ' ἔρεξε κατα χρέος, ᾗπερ ἐῴκει
πρηΰνας. ὃ δὲ καί ποτ' ἀμύμονα Φρίξον ἔδεκτο
μητρυιῆς φεύγοντα δόλον πατρός τε θυηλάς.
πάντες ἐπεὶ πάντῃ καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν ἠδ' ἀλεγίζει."
ὧς φάτ'· ἐπῄνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
πασσυδίῃ, οὐ δ' ἔσκε παρὲξ ὅτις ἄλλο κελεύοι.
καὶ τότ' ἄρ υἱῆας Φρίξου Τελαμῶνά θ' ἕπεσθαι
ὦρσε καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
σκῆπτρον· ἄφαρ δ' ἄρα νηὸς ὑπερ δόνακάς τε καὶ ὕδωρ
χέρσον δ' ἐξαπέβησαν ἐπι θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ
ἐξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν,
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται

δέσμιοι. εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐ δ' ἔνι γαίῃ
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι·
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. ἠέρι δ' ἴσην
καὶ χθὼν ἔμμορεν αἶσαν, ἐπεὶ χθονὶ ταρχύουσιν
θηλυτέρας· ἣ γάρ τε δίκη θεσμοῖο τέτυκται.
τοῖσι δὲ νεισομένοις Ἥρη φίλα μητιόωσα
ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν
Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες·
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος
εὐρείας τε πύλας καὶ κίονας, οἳ περὶ τοίχους
ἑξείης ἄνεχον· θριγκὸς δ' ἐφύπερθε δόμοιο
λαΐνεος χαλκέῃσιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν. ἄγχι δὲ τοῖο
ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον. αἳ δ' ὑπὸ τῇσιν
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος. καί ῥ' ἣ μὲν ἀναβλύεσκε γάλακτι,
ἣ δ' οἴνῳ, τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·
ἣ δ' ἄρ ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
θέρμετο Πληιάδεσσιν, ἀμοιβηδὶς δ' ἀνιούσαις
κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
τοῖ' ἄρ ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
καί οἱ χαλκόποδας ταύρους κάμε, χάλκεα δέ σφεων
ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον·
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
ἤλασεν, Ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
δέξατο, Φλεγραίῃ κεκμηότα δηιοτῆτι.

ἔνθα δὲ καὶ μέσσαυλος ἐλήλατο· τῇ δ' ἔπι πολλαὶ
δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα·
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν·
τῶν ἤτοι ἄλλῳ μέν, ὅτις καὶ ὑπείροχος ἦεν,
κρείων Αἰήτης συν ἑῇ ναίεσκε δάμαρτι·
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάις Αἰήταο·
τὸν μὲν Καυκασίη νύμφη τέκεν Ἀστερόδεια
πρίν περ κουριδίην θέσθαι Εἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν·
καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠιθέοισιν.
τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
ἄμφω, Χαλκιόπη, Μήδειά τε. τέτμον ἄρ οἵγε
ἐκ θαλάμου θάλαμον δὲ κασιγνήτην μετιοῦσαν.
Ἥρη γάρ μιν ἔρυκε δόμῳ· πρὶν δ' οὔτι θάμιζεν
ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
νηόν, ἐπεί ῥα θεᾶς αὐτὴ πέλεν ἀρήτειρα.
καί σφεας ὡς ἴδεν ἄσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσεν
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
νήματα καὶ κλωστῆρας ἀολλέες ἔκτοθι πᾶσαι
ἔδραμον. ἣ δ' ἅμα τοῖσιν ἑοὺς υἱῆας ἰδοῦσα
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ
μητέρα δεξιόωντο, καὶ ἀμφαγάπαζον ἰδόντες
γηθόσυνοι. τοῖον δὲ κινυρομένη φάτο μῦθον
„ἔμπης οὐκ ἄρ ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
τηλόθι πλάγξασθαι· μετα δ' ὑμέας ἔτραπεν αἶσα.
δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
λευγαλέης Φρίξοιο ἐφημοσύνῃσιν ἕλεσθε
πατρός. ὃ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
ἡμετέρῃ κραδίῃ. τί δέ κεν πόλιν Ὀρχομενοῖο,
ὅστις ὅδ' Ὀρχομενός, κτεάνων Ἀθάμαντος ἕκητι

μητέρ' ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;"
ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,
ἐκ δ' αὐτὴ Εἰδυῖα δάμαρ κίεν Αἰήταο,
Χαλκιόπης ἀίουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
ἕρκος ἐπεπλήθει. τοὶ μὲν μέγαν ἀμφεπένοντο
ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐ δέ τις ἦεν,
ὃς καμάτου μεθίεσκεν, ὑποδρήσσων βασιλῆι.
τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
τετρηχώς, οἷόν τε νέαις ἐπι φορβάσιν οἶστρος
τέλλεται, ὅντε μύωπα βοῶν κλείουσι νομῆες.
ὦκα δ' ὑπο φλιὴν προδόμῳ ἔνι τόξα τανύσσας
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν
ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπο βαιὸς ἐλυσθεὶς
Αἰσονίδῃ γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ,
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
ἧκ' ἐπι Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤιξε. βέλος δ' ἐνεδαίετο κούρῃ
νέρθεν ὑπο κραδίῃ, φλογὶ εἴκελον· ἀντία δ' αἰεὶ
βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα, καί οἱ ἄηντο
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
μνῆστιν ἔχεν, γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
ὡς δὲ γυνὴ μαλερῷ περι κάρφεα χεύατο δαλῷ
χερνῆτις, τῇπερ ταλασήια ἔργα μέμηλεν,
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο,
πάγχυ μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει·
τοῖος ὑπο κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
οὖλος ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.

δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδήν,
αὐτοί τε λιαροῖσιν ἐφαιδρύναντο λοετροῖς,
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
υἷῆας τοίοισι παρηγορέων ἐπέεσσιν
„παιδὸς ἐμῆς κοῦροι Φρίξοιό τε, τὸν περι πάντων
ξείνων ἡμετέροισιν ἐνι μεγάροισιν ἔτισα,
πῶς Αἶαν δὲ νέεσθε παλίσσυτοι; ἤέ τις ἄτη
σωομένοις μεσσηγὺς ἐνέκλασεν; οὐ μὲν ἐμεῖο
πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
ᾔδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν Ἠελίοιο
δινεύσας, ὅτ' ἐμεῖο κασιγνήτην ἐκόμιζεν
Κίρκην ἑσπερίης εἴσω χθονός, ἐκ δ' ἱκόμεσθα
ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ' ἔτι νῦν περ
ναιετάει, μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
ἀλλὰ τί μύθων ἦδος; ἃ δ' ἐν ποσὶν ὔμιν ὄρωρεν,
εἴπατ' ἀριφραδέως, ἠδ' οἵτινες οἵδ' ἐφέπονται
ἀνέρες, ὅππῃ τε γλαφυρῆς ἐκ νηὸς ἔβητε.“
τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
Ἄργος ὑποδδείσας ἀμφι στόλῳ Αἰσονίδαο
μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν.
„Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
ζαχρηεῖς· αὐτοὺς δ' ὑπο δούρασι πεπτηῶτας
νήσου Ἐνυαλίοιο ποτι ξερὸν ἔκβαλε κῦμα
λυγαίῃ ὑπο νυκτί· θεὸς δέ τις ἄμμ' ἐσάωσεν.
οὐδὲ γὰρ αἳ τὸ πάροιθεν ἐρημαίην κατα νῆσον
ηὐλίζοντ' ὄρνιθες Ἀρήιαι, οὐδ' ἔτι κείνας
εὕρομεν. ἀλλ' οἵγ' ἄνδρες ἀπήλασαν, ἐξαποβάντες
νηὸς ἑῆς προτέρῳ ἐνι ἤματι· καί σφ' ἀπέρυκεν
ἡμέας οἰκτείρων Ζηνὸς νόος, ἠέ τις αἶσα·
αὐτίκ' ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ' ἔδωκαν,
οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες

ἠδ' αὐτοῖο σέθεν· μετα γὰρ τεὸν ἄστυ νέονται.
χρειὼ δ' ἥν ἐθέλῃς ἐξίδμεναι, οὔ σ' ἐπικεύσω.
τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
καὶ κτεάνων βασιλεύς, περιώσιον οὕνεκεν ἀλκῇ
σφωιτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐ δ' ὑπαλύξειν
στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
καὶ χόλον, οὐ δ' ἄτλητον ἄγος Φρίξοιό τε ποινὰς
Αἰολιδέων γενεήν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
νῆα δ' Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
οἷαί περ Κόλχοισι μετ' ἀνδράσι νῆες ἔασιν,
τάων αἰνοτάτης ἐπεκύρσαμεν· ἤλιθα γάρ μιν
λάβρον ὕδωρ πνοιή τε διέτμαγεν. ἡ δ' ἐνὶ γόμφοις
ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
ἶσον δ' ἐξ ἀνέμοιο θέει καὶ ὅτ' ἀνέρες αὐτοὶ
νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμοῖς.
τῇ δ' ἐναγειράμενος Παναχαιίδος εἴ τι φέριστον
ἡρώων, τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
ἄστεα καὶ πελάγη στυγερῆς ἁλός, εἴ οἱ ὀπάσσαις.
αὐτῷ δ' ὥς κεν ἅδῃ, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
χερσὶ βιησόμενος· μέμονεν δέ τοι ἄξια τίσειν
δωτίνης, ἀίων ἐμέθεν μέγα δυσμενέοντας
Σαυρομάτας, τοὺς σοῖσιν ὑπο σκήπτροισι δαμάσσει.
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
ἴδμεναι, οἵτινές εἰσιν, ἕκαστά γε μυθησαίμην.
τόνδε μέν, οἷό περ οὕνεκ' ἀφ' Ἑλλάδος ὧλλοι ἄγερθεν,
κλείουσ' Αἴσονος υἱὸν Ἰήσονα Κρηθεΐδαο.
εἰ δ' αὐτοῦ Κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
οὕτω κεν γνωτὸς πατρώιος ἄμμι πέλοιτο.
ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες·
Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην πάις Αἰολίδαο.
τόνδε δ' ἄρ, Ἠελίου γόνον ἔμμεναι εἴ τιν' ἀκούεις,

δέρκεαι Αὐγείην· Τελαμὼν δ' ὅγε, κυδίστοιο
Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ' Αἰακὸν αὐτὸς ἔτικτεν.
ὣς δὲ καὶ ὧλλοι πάντες, ὅσοι συνέπονται ἑταῖροι,
ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν."
τοῖα παρέννεπεν Ἄργος. ἄναξ δ' ἐπεχώσατο μύθοις
εἰσαΐων· ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
φῆ δ' ἐπαλαστήσας — μενέαινε δὲ παισὶ μάλιστα
Χαλκιόπης· τῶν γάρ σφε μετελθέμεν οὕνεκ' ἐώλπει·
ἐκ δέ οἱ ὄμματ' ἔλαμψεν ὑπ' ὀφρύσιν ἱεμένοιο —
„οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,
πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι;
αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος, οὐ δ' ἐπι κῶας,
σκῆπτρα δὲ καὶ τιμὴν βασιληίδα δεῦρο νέεσθαι.
εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
ἦτ' ἂν ἀπο γλώσσας τε ταμὼν καὶ χεῖρε κεάσσας
ἀμφοτέρας, οἴοισιν ἐπιπροέηκα πόδεσσιν,
ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι·
οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσιν."
φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
ἀντιβίην ὀλοὸν φάσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν
„Αἰήτη, σχέο μοι τῷδε στόλῳ. οὔτι γὰρ αὔτως
ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας,
οὐδὲ μὲν ἱέμενοι. τίς δ' ἂν τόσον οἶδμα περῆσαι
τλαίη ἑκὼν ὀθνεῖον ἐπι κτέρας; ἀλλά με δαίμων
καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
πρόφρονές εἰμεν Ἄρηι θοὴν ἀποτῖσαι ἀμοιβήν,
εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτέ τιν' ἄλλον

δῆμον σφωιτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι."
ἴσκεν ὑποσσαίνων ἀγανῇ ὀπί. τοῖο δὲ θυμὸς
διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινήν,
ἤ σφέας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίζοι,
ἤ ὅγε πειρήσαιτο βίης. τό οἱ εἴσατ' ἄρειον
φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπεν
„ξεῖνε, τί κεν τὰ ἕκαστα διηνεκέως ἀγορεύοις;
εἰ γὰρ ἐτήτυμον ἔστε θεῶν γένος, ἠὲ καὶ ἄλλως
οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
δώσω τοι χρύσειον ἄγειν δέρος, ἤν κ' ἐθέλησθα,
πειρηθείς. ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.
πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
τόν ῥ' αὐτὸς περίειμι χεροῖν, ὀλοόν περ ἐόντα.
δοιώ μοι πεδίον τὸ Ἀρήιον ἀμφινέμονται
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντες·
τοὺς ἐλάω ζεύξας στυφελὴν κατα νειὸν Ἄρηος
τετράγυον, τὴν αἶψα ταμὼν ἐπι τέλσον ἀρότρῳ
οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτήν,
ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
ἀνδράσι τευχηστῇσι δέμας. τοὺς δ' αὖθι δαΐζων
κείρω ἐμῷ ὑπο δουρὶ περισταδὸν ἀντιόωντας.
ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
παύομαι ἀμήτοιο. σὺ δ', εἰ τάδε τοῖα τελέσσεις,
αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος.
πρὶν δέ κεν οὐ δοίην, μὴ δ' ἔλπεο. δὴ γὰρ ἀεικὲς
ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι."
ὣς ἄρ ἔφη· ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας
ἧστ' αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
βουλὴν δ' ἀμφι πολὺν στρώφα χρόνον, οὐ δέ πῃ εἶχεν
θαρσαλέως ὑποδέχθαι, ἐπεὶ μέγα φαίνετο ἔργον·
ὀψὲ δ' ἀμειβόμενος προσελέξατο κερδαλέοισιν

„Αἰήτη, μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
τῶ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα
τλήσομαι, εἰ καί μοι θανέειν μόρος. οὐ γὰρ ἔτ' ἄλλο
ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης·
ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος."
ὣς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα
„ἔρχεο νῦν μεθ' ὅμιλον, ἐπεὶ μέμονάς γε πόνοιο·
εἰ δὲ σύγε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι, ὄφρα καὶ ἄλλος
ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν."
ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπο θρόνου ὤρνυτ' Ἰήσων,
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος
οἶος, ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
αὐτοκασιγνήτοις. οἳ δ' ἤεσαν ἐκ μεγάροιο.
θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
λοξὰ παρα λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ ἠΰτ' ὄνειρος
ἑρπύζων πεπότητο μετ' ἴχνια νεισομένοιο.
καί ῥ' οἳ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες.
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
καρπαλίμως θάλαμον δὲ συν υἱάσιν οἷσι βεβήκει.
αὔτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
ὥρμαιν', ὅσσα τ' Ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
προπρὸ δ' ἄρ ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα,
αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἕστο,
οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπι θρόνου, ὥς τε θύραζε
ἤιεν· οὐ δέ τιν' ἄλλον ὀίσσατο πορφύρουσα
ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσεν.

τάρβει δ' ἀμφ' αὐτῷ, μή μιν βόες ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠύτε πάμπαν
ἤδη τεθνειῶτα, τέρεν δέ οἱ ἀμφὶ παρειὰς
δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν·
ἦκα δὲ μυρομένη λιγέως ἀνενείκατο μῦθον
„τίπτ' ἐμὲ δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων
φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
ἐρρέτω. ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
ναὶ δὴ τοῦτό γε, πότνα θεὰ Περσηί, πέλοιτο,
οἴκαδε νοστήσειε φυγὼν μόρον. εἰ δέ μιν αἶσα
δμηθῆναι ὑπο βουσί, τόδε προπάροιθε δαείη,
οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.“
ἣ μὲν ἄρ ὣς ἐόλητο νόον μελεδήμασι κούρη.
οἳ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
τὴν ὁδόν, ἣν τὸ πάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
δὴ τότ' Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσιν
„Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥντιν' ἐνίψω·
πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
φαρμάσσειν Ἑκάτης Περσηίδος ἐννεσίῃσιν·
τὴν εἴ κεν πεπίθοιμεν, ὀίομαι, οὐκέτι τάρβος
ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων,
ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἧμιν ὄλεθρος.“
ἴσκεν ἐυφρονέων· ὃ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν
„ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω.
βάσκ' ἴθι καὶ πυκινοῖσι τεὴν παρα μητέρα μύθοις
ὄρνυθι λισσόμενος. μελέη γε μὲν ἧμιν ὄρωρεν
ἐλπωρή, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.“
ὣς ἔφατ'. ὦκα δ' ἕλος μετεκίαθον. αὐτὰρ ἑταῖροι
γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο.

*τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον*
*„ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ*
*ἀντικρὺ κεχόλωται. ἕκαστα γὰρ οὐ νύ τι τέκμωρ*
*οὔτ' ἐμοί, οὔτέ κεν ὔμμι διειρομένοισι πέλοιτο.*
*φῆ δὲ δύω πεδίον τὸ Ἀρήιον ἀμφινέμεσθαι*
*ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντας.*
*τετράγυον δ' ἐπι τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι·*
*δώσειν δ' ἐξ ὄφιος γενύων σπόρον, ὅς ῥ' ἀνίῃσιν*
*Γηγενέας χαλκέοις συν τεύχεσιν· ἤματι δ' αὐτῷ*
*χρειὼ τούσγε δαΐξαι. ὃ δή νύ οἱ — οὔτι γὰρ ἄλλο*
*βέλτερον ἦν φράσσασθαι — ἀπηλεγέως ὑποέστην."*
*ὣς ἄρ ἔφη· πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος,*
*δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο,*
*ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς*
*θαρσαλέως μετα πᾶσιν ἀριστήεσσιν ἔειπεν·*
*„ὥρη μητιάασθαι ὅ κ' ἕρξομεν. οὐ μὲν ἔολπα*
*βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἔπι κάρτεϊ χειρῶν.*
*εἰ μὲν νῦν τύνη ζεῦξαι βόας Αἰήταο,*
*ἥρως Αἰσονίδη, φρονέεις, μέμονάς τε πόνοιο,*
*ἦ τ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο·*
*εἰ δ' οὔ τοι μάλα θυμὸς ἑῇ ἐπι πάγχυ πέποιθεν*
*ἠνορέῃ, μήτ' αὐτὸς ἐπείγεο, μήτέ τιν' ἄλλον*
*τῶνδ' ἀνδρῶν πάπταινε παρήμενος. οὐ γὰρ ἔγωγε*
*σχήσομ'· ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος."*
*ὣς ἔφατ' Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·*
*σπερχόμενος δ' ἀνόρουσε θοῶς· ἐπι δὲ τρίτος Ἴδας*
*ὦρτο μέγα φρονέων, ἐπι δ' υἷέε Τυνδαρέοιο·*
*σὺν δὲ καὶ Οἰνείδης ἐναρίθμιος αἰζηοῖσιν*
*ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπανθιόωντας ἰούλους*
*ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.*
*οἱ δ' ἄλλοι εἴξαντες ἀκὴν ἔχον. αὐτίκα δ' Ἄργος*
*τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου*

„ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον. ἀλλά τιν᾽ οἴω
μητρὸς ἐμῆς ἔσσεσθαι ἐναίσιμον ὔμμιν ἀρωγήν.
τῶ καί περ μεμαῶτες, ἐρητύοισθ᾽ ἐνὶ νηὶ
τυτθὸν ἔθ᾽, ὡς τὸ πάροιθεν, ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
λώιον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
κούρη τις μεγάροισιν ἐνιτρέφετ᾽ Αἰήταο,
τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
φάρμαχ᾽, ὅσ᾽ ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ.
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ᾽ ἀυτμή,
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,
ἄστρα τε καὶ μήνης ἱερῆς ἐπέδησε κελεύθους.
τῆς μὲν ἀπο μεγάροιο κατα στίβον ἐνθάδ᾽ ἰόντες
μνησάμεθ᾽, εἴ κε δύναιτο, κασιγνήτη γεγαυῖα,
μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
εἰ δὲ καὶ αὐτοῖσιν τόδ᾽ ἐφανδάνει, ἦ τ᾽ ἂν ἱκοίμην
ἤματι τῷδ᾽ αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
πειρήσων· τάχα δ᾽ ἂν συν δαίμονι πειρηθείην."
ὣς φάτο. τοῖσι δὲ σῆμα θεοὶ δόσαν εὐμενέοντες.
τρήρων μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
κίρκος δ᾽ ἀφλάστῳ περικάππεσεν. ὦκα δὲ Μόψος
τοῖον ἔπος μετα πᾶσι θεοπροπέων ἀγόρευσεν
„ὔμμι, φίλοι, τόδε σῆμα θεῶν ἰότητι τέτυκται,
οὐ δέ πῃ ἄλλως ἐστὶν ὑποκρίνασθαι ἄρειον,
παρθενικὴν δ᾽ ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
μήτι παντοίῃ. δοκέω δέ μιν οὐκ ἀθερίζειν,
εἰ ἐτεὸν Φινεύς γε θεῇ ἐνὶ Κύπριδι νόστον
πέφραδεν ἔσσεσθαι. κείνης δ᾽ ὅγε μείλιχος ὄρνις
πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
τόνδε κατ᾽ οἰωνὸν προτιόσσεται, ὣς δὲ πέλοιτο.
ἀλλά, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν,
ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε."

ἴσκεν· ἐπήνησαν δὲ νέοι, Φινῆος ἐφετμὰς
μνησάμενοι· μοῦνος δ' Ἀφαρήιος ἄνθορεν Ἴδας,
δείν' ἐπαλαστήσας μεγάλῃ ὀπί, φώνησέν τε
„ὢ πόποι, ἦρα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν,
οἳ Κύπριν καλέουσιν ἐπίρροθον ἄμμι πέλεσθαι,
οὐκέτ' Ἐνυαλίοιο μέγα σθένος; ἐς δὲ πελείας
καὶ κίρκους λεύσσοντες ἐρητύεσθε ἀέθλων;
ἔρρετε, μὴ δ' ὔμμιν πολεμήια ἔργα μέλοιτο,
παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν.“
ὣς ηὔδα μεμαώς· πολέες δ' ὁμάδησαν ἑταῖροι
ἦκα μάλ', οὐ δ' ἄρα τίς οἱ ἐναντίον ἔκφατο μῦθον.
χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο· τοῖσι δ' Ἰήσων
αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευεν
„Ἄργος μὲν παρα νηός, ἐπεὶ τόδε πᾶσιν ἕαδεν,
στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπι χθονὸς ἐκ ποταμοῖο
ἀμφαδὸν ἤδη πείσματ' ἀνάψομεν. ἦ γὰρ ἔοικεν
μηκέτι δὴν κρύπτεσθαι ὑποπτήσσοντας ἀυτήν.“
ὣς ἄρ ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
καρπαλίμως ἐξαῦτις ἀνα πτόλιν· οἳ δ' ἐπι νηὸς
εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο
τυτθὸν ὑπὲξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
αὐτίκα δ' Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων
νόσφιν ἑοῖο δόμου, τόθι περ καὶ πρόσθε κάθιζον,
ἀτλήτους Μινύαισι δόλους καὶ κήδεα τεύχων.
στεῦτο δ', ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
ἄνδρα τόν, ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
δρυμὸν ἀναρρήξας λασίης καθύπερθε κολώνης
αὔτανδρον φλέξειν δόρυ νήιον, ὄφρ' ἀλεγεινὴν
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
οὐδὲ γὰρ Αἰολίδην Φρίξον μάλα περ χατέοντα
δέχθαι ἐνι μεγάροισιν ἐφέστιον, ὃς περι πάντων
ξείνων μειλιχίῃ τε θεουδείῃ τ' ἐκέκαστο,

εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν
Ἑρμείαν, ὥς κεν προςκηδέος ἀντιάσειεν.
μὴ καὶ ληιστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν,
κρυπταδίους τε δόλους τεκταινέμεν, ἠδὲ βοτήρων
αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
νόσφι δὲ οἷ αὐτῷ φάτ' ἐοικότα μείλια τίσειν
υἷῆας Φρίξοιο, κακορρέκτῃσιν ὀπηδοὺς
ἀνδράσι νοστήσαντας ὁμιλαδόν, ὄφρά ἑ τιμῆς
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες· ὥς ποτε βάξιν
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν Ἠελίοιο,
χρειώ μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης
σφωιτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι.
τῶ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιίδα γαῖαν
πατρὸς ἐφημοσύνῃ, δολιχὴν ὁδόν. οὐ δὲ θυγατρῶν
εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
φράσσωνται στυγερήν, οὐ δ' υἱέος Ἀψύρτοιο·
ἀλλ' ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
καί ῥ' ὃ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν
χωόμενος· μέγα δέ σφιν ἀπείλεε νῆά τ' ἐρύσθαι
ἠδ' αὐτούς, ἵνα μή τις ὕπεκ κακότητος ἀλύξῃ.
τόφρα δὲ μητέρ' ἑήν, μετιὼν δόμον Αἰήταο,
Ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν,
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἣ δὲ καὶ αὐτὴ
πρόσθεν μητιάασκε. δέος δέ μιν ἴσχανε θυμόν,
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίξαιτο
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
λέκτρῳ ἀνακλινθεῖσαν. ἄφαρ δέ μιν ἠπεροπῆες,
οἷά τ' ἀκηχεμένην, ὀλοοὶ ἐρέθεσκον ὄνειροι.

τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
οὔτι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
οὐ δέ τι τοῖο ἕκητι μετα πτόλιν Αἰήταο
ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο
κουριδίην παράκοιτιν· ὀίετο δ' ἀμφι βόεσσιν
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι·
σφωιτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας, ἀλλά οἱ αὐτῷ
προύθεσαν. ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετα φρεσὶν ἰθύσειεν.
ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκεν.
παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν
ὡς πάρος ἐν στέρνοις, ἀδινὴν δ' ἀνενείκατο φωνήν
„δειλὴ ἐγών, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
δείδια, μὴ μέγα δή τι φέρῃ κακὸν ἥδε κέλευθος
ἡρώων. περί μοι ξείνῳ φρένες ἠερέθονται.
μνάσθω ἑὸν κατα δῆμον Ἀχαιίδα τηλόθι κούρην·
ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
ἔμπά γε μὴν θεμένη κύνεον κέαρ, οὐκέτ' ἄνευθεν
αὐτοκασιγνήτης πειρήσομαι, εἴ κέ μ' ἀέθλῳ
χραισμεῖν ἀντιάσῃσιν, ἐπι σφετέροις ἀχέουσα
παισί· τό κέν μοι λυγρὸν ἐνι κραδίῃ σβέσοι ἄλγος.“
ἦ ῥα, καὶ ὀρθωθεῖσα θύρας ὤιξε δόμοιο,
νηλίπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
αὐτοκασιγνήτην δέ, καὶ ἕρκεος οὐδὸν ἄμειψεν.
δὴν δὲ κατ' αὐτόθι μίμνεν ἐνι προδόμῳ θαλάμοιο,
αἰδοῖ ἐεργομένη· μετα δ' ἐτράπετ' αὖτις ὀπίσσω
στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν, ἄψ τ' ἀλέεινεν

εἴσω· τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα·
ἤτοι ὅτ' ἰθύσειεν, ἔρυκέ μιν ἔνδοθεν αἰδώς·
αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο· τέτρατον αὖτις
λέκτροισι πρηνὴς ἐνικάππεσεν εἱλιχθεῖσα.
ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισιν
μύρεται, ᾧ μιν ὄπασσαν ἀδελφεοὶ ἠδὲ τοκῆες,
οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν
αἰδοῖ ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀχέουσα θαάσσει·
τὸν δέ τις ὤλεσε μοῖρα, πάρος ταρπήμεναι ἄμφω
δήνεσιν ἀλλήλων· ἣ δ' ἔνδοθι δαιομένη περ
σῖγα μάλα κλαίει χῆρον λέχος εἰσορόωσα,
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
τῇ ἰκέλη Μήδεια κινύρετο. τὴν δέ τις ἄφνω
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
δμωάων, ἥ οἱ ἑπέτις πέλε κουρίζουσα·
Χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν· ἣ δ' ἐνὶ παισὶν
ἧστ' ἐπιμητιόωσα κασιγνήτην ἀρέσασθαι.
ἀλλ' οὐδ' ὣς ἀπίθησεν, ὅτ' ἔκλυεν ἀμφιπόλοιο
μῦθον ἀνώιστον· δια δ' ἔσσυτο θαμβήσασα
ἐκ θαλάμου θάλαμον δὲ διαμπερές, ᾧ ἔνι κούρη
κέκλιτ' ἀκηχεμένη, δρύψεν δ' ἑκάτερθε παρειάς·
ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν
„ὤ μοι ἐγώ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
τίπτ' ἔπαθες; τί τοι αἰνὸν ὑπο φρένας ἵκετο πένθος;
ἤ νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος,
ἠέ τιν' οὐλομένην ἐδάης ἐκ πατρὸς ἐνιπὴν
ἀμφί τ' ἐμοὶ καὶ παισίν; ὄφελλέ με μήτε τοκήων
δῶμα τόδ' εἰσοράαν, μὴ δὲ πτόλιν, ἀλλ' ἐπι γαίης
πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.“
ὣς φάτο· τῆς δ' ἐρύθηνε παρήια· δὴν δέ μιν αἰδὼς
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.

ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
μητέρα τεθνεώτων ἀδινὸν περι κῶμ' ἐκάλυπτεν·
οὐ δὲ κυνῶν ὑλακὴ ἔτ' ἀνα πτόλιν, οὐ θρόος ἦεν
ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπι γλυκερὸς λάβεν ὕπνος.
πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
φθίσθαι ἀεικελίῃ μοίρῃ κατα νειὸν Ἄρηος.
πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυιεν,
ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι,
ἠέ που ἐν γαυλῷ κέχυται· ἣ δ' ἔνθα καὶ ἔνθα
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀΐσσουσα·
ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης.
δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
τεῖρ' ὀδύνη σμύχουσα δια χροός, ἀμφί τ' ἀραιὰς
ἶνας καὶ κεφαλῆς ὑπο νείατον ἰνίον ἄχρις,
ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
ἀκάματοι πραπίδεσσιν ἐνισκίμψωσιν Ἔρωτες.
φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθίσθαι δὲ καὶ αὐτή·
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
ἑζομένη δ' ἤπειτα δοάσσατο, φώνησέν τε
„δειλὴ ἐγώ, νῦν ἔνθα κακῶν ἢ ἔνθα γένωμαι;
πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· οὐ δέ τις ἀλκὴ
πήματος· ἀλλ' αὔτως φλέγει ἔμπεδον. ὡς ὄφελόν γε
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
πρὶν τόνγ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
Χαλκιόπης υἷας· τοὺς μὲν θεὸς ἤ τις Ἐρινὺς
ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
φθίσθω ἀεθλεύων, εἴ οἱ κατα νειὸν ὀλέσθαι

μοῖρα πέλει. πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
τίς δὲ δόλος, τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα;
δύσμορος· οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
λωφήσειν ἀχέων. τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,
κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. ἐρρέτω αἰδώς,
ἐρρέτω ἀγλαΐη· ὃ δ' ἐμῇ ἰότητι σαωθεὶς
ἀσκηθής, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρῳ,
ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
ἀλλὰ καὶ ὧς φθιμένῃ μοι ἐπιλλίξουσιν ὀπίσσω
κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
πότμον ἐμόν· καί κέν με δια στόματος φορέουσαι
Κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται·
ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας,
μαργοσύνῃ εἴξασα. τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος;
ὤ μοι ἐμῆς ἄτης. ἦ τ' ἂν πολὺ κέρδιον εἴη
τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
πότμῳ ἀνωΐστῳ, κάκ' ἐλέγχεα πάντα φυγοῦσαν,
πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.“
ἦ, καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ
φάρμακά οἱ, τὰ μὲν ἐσθλά, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο. δεῦε δὲ κόλπους
ἄλληκτον δακρύοισι, τὰ δ' ἔρρεεν ἀσταγὲς αὔτως,
αἶν' ὀλοφυρομένης τὸν ἑὸν μόρον. ἵετο δ' ἥγε
φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
ἐξελέειν μεμαυῖα, δυσάμμορος. ἀλλά οἱ ἄφνω
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.

ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
μνήσατο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
μνήσαθ' ὁμηλικίης περιγηθέος, οἷά τε κούρη·
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι,
ἢ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀποκάτθετο γούνων,
Ἥρης ἐννεσίῃσι μετάτροπος, οὐ δ' ἔτι βουλὰς
ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
φάρμακα συνθεσίῃσι, καὶ ἀντήσειεν ἐς ὠπήν.
πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,
αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
Ἠριγενής, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·
αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.
ἡ δ' ἐπεὶ οὖν τὰ πρῶτα φαεινομένην ἴδεν ἠῶ
παρθενική, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,
αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο,
αὐσταλέας δ' ἔψησε παρηίδας· αὐτὰρ ἀλοιφῇ
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
καλόν, ἐυγνάμπτοισιν ἀρηρέμενον περόνῃσιν·
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ἀργυφέην. αὐτοῦ δὲ δόμοις ἐνιδινεύουσα
στεῖβε πέδον λήθῃ ἀχέων, τά οἱ ἐν ποσὶν ἦεν
θεσπέσι', ἄλλά τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
κέκλετο δ' ἀμφιπόλοις, αἵ οἱ δυοκαίδεκα πᾶσαι
ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο
ἥλικες, οὔπω λέκτρα συν ἀνδράσι πορσύνουσαι,
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.

ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
ἣ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
φάρμακον, ὅ ῥά τε φασὶ Προμήθειον καλέεσθαι.
τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσιν
Κούρην μουνογένειαν ἑὸν δέμας ἰκμαίνοιτο,
ἦ τ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
οὔτέ κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ
λωίτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
πρωτοφυὲς τόγ' ἀνέσχε, καταστάξαντος ἔραζε
αἰετοῦ ὠμηστέω κνημοῖς ἔνι Καυκασίοισιν
αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.
τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πήχυιον ὕπερθεν
χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,
καυλοῖσιν διδύμοισιν ἐπήορον· ἣ δ' ἐνὶ γαίῃ
σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,
ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
λυγαίῃ ἐνὶ νυκτί, σὺν ὀρφναίοισι φάρεσσιν.
μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα
ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς
Ἰαπετοῖο πάις ὀδύνῃ πέρι θυμὸν ἀλύων.
τό ῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
ἥτέ οἱ ἀμβροσίοισι περι στήθεσσιν ἔερτο.
ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης·
συν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν·
αὐτὴ δ' ἡνί' ἔδεκτο καὶ εὐποίητον ἱμάσθλην
δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
ἀμφίπολοι, πείρινθος ἐφαπτόμεναι μετόπισθεν,
τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας

λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο,
ἠὲ καὶ Ἀμνισοῖο λοεσσαμένη ποταμοῖο
χρυσείοις Λητωὶς ἐφ' ἅρμασιν ἑστηυῖα
ὠκείαις κεμάδεσσι διεξελάσῃσι κολώνας,
τηλόθεν ἀντιόωσα πολυκνίσου ἑκατόμβης·
τῇ δ' ἅμα νύμφαι ἕπονται ἀμορβάδες, αἱ μὲν ἐπ' αὐτῆς
ἀγρόμεναι πηγῆς Ἀμνισίδος, αἱ δὲ δὴ ἀμφι
ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
ὣς αἵγ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
εἶκον, ἀλευάμενοι βασιληίδος ὄμματα κούρης.
αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐυδμήτους λίπ' ἀγυιάς,
νηὸν δ' εἰσαφίκανε διεκ πεδίων ἐλάουσα,
δὴ τότ' ἐυτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
ἱεμένη, καὶ τοῖα μετα δμωῇσιν ἔειπεν
„ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον, οὐ δ' ἐνόησα
μήνιμ' ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵτ' ἐπι γαῖαν
ἡμετέρην στρωφῶσιν. ἀμηχανίῃ βεβόληται
πᾶσα πόλις· τὸ καὶ οὔτις ἀνήλυθε δεῦρο γυναικῶν
τάων, αἳ τὸ πάροιθεν ἐπημάτιαι ἀγέρονται.
ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα, καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
εἰ δ' ἄγε μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
μειλιχίῃ, τὰ δὲ καλὰ τερείνης ἄνθεα ποίης
λεξάμεναι, τότ' ἔπειτ' αὐτὴν ἀπονεισόμεθ' ὥρην.
καὶ δέ κε συν πολέεσσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
ἤματι τῷ, εἴ μοι συναρέσσετε τῆνδε μενοινήν.
Ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει, ὣς δὲ καὶ αὐτὴ
Χαλκιόπη· — τάδε σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται —
τὸν ξεῖνόν με κέλονται, ὅτις περι βουσὶν ὑπέστη,
δῶρ' ἀποδεξαμένην ὀλοῶν ῥύσασθαι ἀέθλων.

αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπήνεον, ἠδὲ καὶ αὐτὸν
κέκλομαι εἰς ὠπὴν ἑτάρων ἄπο μοῦνον ἱκέσθαι,
ὄφρα τὰ μὲν δασόμεσθα μετα σφίσιν, εἴ κεν ὀπάσσῃ
δῶρα φέρων, τῷ δ᾽ αὖτε κακώτερον ἄλλο πόρωμεν
φάρμακον. ἀλλ᾽ ἀπονόσφι πέλεσθέ μοι, εὖτ᾽ ἂν ἵκηται.“
ὣς ηὔδα· πάσῃσι δ᾽ ἐπίκλοπος ἥνδανε μῆτις.
αὐτίκα δ᾽ Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
Ἄργος, ὅτ᾽ ἤδη τῆνδε κασιγνήτων ἐσάκουσεν
ἠερίην Ἑκάτης ἱερὸν μετα νηὸν ἰοῦσαν,
ἦγε διεκ πεδίου· ἅμα δέ σφισιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
οἰωνούς, ἐσθλὸς δὲ συνευφράσσασθαι ἰοῦσιν.
ἔνθ᾽ οὔπω τις τοῖος ἐπι προτέρων γένετ᾽ ἀνδρῶν,
οὔθ᾽ ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ᾽ ὅσοι ἄλλων
ἀθανάτων ἥρωες ἀφ᾽ αἵματος ἐβλάστησαν,
οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ
ἠμὲν ἐσάντα ἰδεῖν ἠδὲ προτιμυθήσασθαι.
τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀισσάμενος τὰ ἕκαστα.
ἔστι δέ τις πεδίοιο κατα στίβον ἐγγύθι νηοῦ
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
τάων τις μεσσηγὺς ἀνα πτερὰ κινήσασα
ὑψοῦ ἐπ᾽ ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς
„ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ᾽ ὅσα παῖδες ἴσασιν
οἶδε νόῳ φράσσασθαι, ὁθούνεκεν οὔτε τι λαρὸν
οὔτ᾽ ἐρατὸν κούρῃ κεν ἔπος προτιμυθήσαιτο
ἠιθέῳ, εὖτ᾽ ἂν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
ἔρροις, ὦ κακόμαντι, κακοφραδές· οὐ δέ σε Κύπρις
οὔτ᾽ ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν Ἔρωτες.“

ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
ὀμφὴν οἰωνοῖο θεήλατον, ὧδέ τ' ἔειπεν
„τύνη μὲν νηὸν δὲ θεᾶς ἴθι, τῷ ἔνι κούρην
δήεις, Αἰσονίδη· μάλα δ' ἠπίῃ ἀντιβολήσεις
Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
ἔσσεται, ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
νῶι δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι εὖτ' ἂν ἵκηαι,
τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν."
ἦ ῥα περιφραδέως, ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
οὐ δ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλο νοῆσαι,
μελπομένης περ ὁμῶς· πᾶσαι δέ οἱ, ἥντιν' ἀθύροι
μολπήν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.
ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος, οὐ δέ ποτ' ὄσσε
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας· ἐς δὲ κελεύθους
τηλόσε παπταίνεσκε, παρακλίνουσα παρειάς.
ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
αὐτὰρ ὅγ' οὐ μετα δηρὸν ἐελδομένῃ ἐφαάνθη
ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος ὠκεανοῖο,
ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ' ἐσιδέσθαι
ἀντέλλει, μήλοισι δ' ἐν ἄσπετον ἧκεν ὀιζύν·
ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ' αὔτως
ἤχλυσαν· θερμὸν δὲ παρηίδας εἷλεν ἔρευθος.
γούνατα δ' οὔτ' ὀπίσω, οὔτε προπάροιθεν ἀεῖραι
ἔσθενεν, ἀλλ' ὑπένερθε πάγη πόδας. αἱ δ' ἄρα τείως
ἀμφίπολοι μάλα πᾶσαι ἀπο σφείων ἐλίασθεν.
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,
ἢ δρυσίν, ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν,
αἵτε παράσσον ἕκηλοι ἐν οὔρεσιν ἐρρίζωνται,

νηνεμίῃ· μετὰ δ' αὖτις ὑπὸ ῥιπῆς ἀνέμοιο
κινύμεναι ὡμάδησαν ἀπείριτον· ὣς ἄρα τώγε
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν Ἔρωτος.
γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
θευμορίῃ, καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον
„τίπτέ με, παρθενική, τόσον ἅζεαι, οἶον ἐόντα;
οὔ τοι ἐγών, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
ἀνέρες, οὐδ' ὅτε περ πάτρῃ ἔνι ναιετάασκον,
ἦα πάρος. τῶ μή με λίην ὑπεραίδεο, κούρη,
ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον, ἠέ τι φάσθαι.
ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν εὐμενέοντες
χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μὴ δέ με τερπνοῖς
φηλώσῃς ἐπέεσσιν, ἐπεὶ τὸ πρῶτον ὑπέστης
αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων
καὶ Διός, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει.
ἀμφότερον, ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω,
χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς,
ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ὧλλοι
ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες
ἡρώων τ' ἄλοχοι καὶ μητέρες, αἵ νύ που ἤδη
ἡμέας ἠιόνεσσιν ἐφεζόμεναι γοάουσιν·
τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
παρθενικὴ Μινωὶς ἐυφρονέουσ' Ἀριάδνη,
ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
ἀλλ' ἣ μὲν καὶ νηός, ἐπεὶ χόλον εὔνασε Μίνως,
συν τῷ ἐφεζομένη πάτρην λίπεν· οἱ δὲ καὶ αὐτοὶ

ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
ἀστερόεις στέφανος, τόντε κλείουσ' Ἀριάδνης,
πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴ κε σαώσῃς
τόσσον ἀριστήων ἀνδρῶν στόλον. ἦ γὰρ ἔοικας
ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι."
ὣς φάτο κυδαίνων· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
νεκτάρεον μείδησ'· ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
αἴνῳ ἀειρομένης. καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
οὐ δ' ἔχεν ὅ ττι πάροιθεν ἔπος προτιμυθήσαιτο,
ἀλλ' ἄμυδις μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
προπρὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
φάρμακον· αὐτὰρ ὅγ' αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς
καί νύ κέ οἱ καὶ πᾶσαν ἀπο στηθέων ἀρύσασα
ψυχὴν ἐγγυάλιξεν ἀγαιομένη χατέοντι·
τοῖος ἀπο ξανθοῖο καρήατος Αἰσονίδαο
στράπτεν Ἔρως ἡδεῖαν ἀπο φλόγα· τῆς δ' ἀμαρυγὰς
ὀφθαλμῶν ἥρπαζεν· ἰαίνετο δὲ φρένας εἴσω
τηκομένη, οἷόν τε περι ῥοδέῃσιν ἐέρση
τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.
ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
αἰδόμενοι, ὁτὲ δ' αὖτις ἐπι σφίσι βάλλον ὀπωπάς,
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
ὀψὲ δὲ δὴ τοίοισι μόλις προςπτύξατο κούρη
„φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
οἶος ἄνευθ' ἄλλων ἐνι φάρεσι κυανέοισιν
βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἐνι θῆλυν
ἀρνειὸν σφάζειν, καὶ ἀδαίετον ὠμοθετῆσαι,

αὐτῷ πυρκαϊὴν εὖ νηήσας ἐπι βόθρῳ.
μουνογενῆ δ' Ἑκάτην Περσηίδα μειλίσσοιο,
λείβων ἐκ δέπαος σιμβλήια ἔργα μελισσῶν.
ἔνθα δ' ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
ἂψ ἀπο πυρκαϊῆς αναχάζεο· μὴ δέ σε δοῦπος
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,
ἠὲ κυνῶν ὑλακή· μήπως τὰ ἕκαστα κολούσας
οὐδ' αὐτὸς κατα κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠύτ' ἀλοιφῇ
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκη
ἔσσετ' ἀπειρεσίη μέγα τε σθένος, οὐ δέ κε φαίης
ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
καὶ ξίφος. ἔνθ' οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
γηγενέων ἀνδρῶν, οὐ δ' ἄσχετος ἀίσσουσα
φλὸξ ὀλοῶν ταύρων. τοῖός γε μὲν οὐκ ἐπι δηρὸν
ἔσσεαι, ἀλλ' αὐτῆμαρ· ὅμως σύγε μήποτ' ἀέθλου
χάζεο. καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ' ὄνειαρ.
αὐτίκ' ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
χερσὶ καὶ ἠνορέῃ στυφελὴν δια νειὸν ἀρόσσῃς,
οἱ δ' ἤδη κατα ὦλκας ἀνασταχύωσι Γίγαντες
σπειρομένων ὄφιος δνοφερὴν ἐπι βῶλον ὀδόντων,
αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
καρχαλέοι κύνες ὥστε περι βρώμης, ὀλέκοιεν
ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο δηιοτῆτος
ἰθῦσαι. τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖό γ' ἕκητι
οἴσεαι ἐξ Αἴης τηλοῦ πόθι. νείσεο δ' ἔμπης,
ᾗ φίλον ἤ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι."
ὣς ἄρ ἔφη, καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα
θεσπέσιον λιαροῖσι παρηίδα δάκρυσι δεῦεν
μυρομένη, ὅτ' ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο

πόντον ἐπιπλάγξεσθαι. ἀνιηρῷ δέ μιν ἄντην
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
δεξιτερῆς· δὴ γάρ οἱ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς·
„μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἴκαδ' ἵκηαι,
οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
μνήσομαι. εἰπὲ δέ μοι πρόφρων τόδε, πῇ τοι ἔασιν
δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηὶ περήσεις·
ἤ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
ἦε καὶ Αἰαίης νήσου πέλας; εἰπὲ δὲ κούρην,
ἥντινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
Πασιφάης, ἣ πατρὸς ὁμόγνιός ἐστιν ἐμοῖο."
ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήιε δάκρυσι κούρης
οὖλος ἔρως, τοῖον δὲ παραβλήδην ἔπος ηὔδα
„καὶ λίην οὐ νύκτας ὀίομαι, οὐ δέ ποτ' ἦμαρ
σεῦ ἐπιλήσεσθαι, προφυγὼν μόρον, εἰ ἐτεόν γε
φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιίδα, μὴ δέ τιν' ἄλλον
Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
εἰ δέ τοι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην,
ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
πάμπαν ἐύρρηνός τε καὶ εὔβοτος, ἔνθα Προμηθεὺς
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα,
ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
Αἱμονίην δὴ τήνγε περικτίονες καλέουσιν.
ἐν δ' αὐτὴ Ἰαωλκός, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι
πολλαὶ ναιετάουσιν, ἵν' οὐδέ περ οὔνομ' ἀκοῦσαι
Αἰαίης νήσου· Μινύην γε μὲν ὁρμηθέντα,
Αἰολίδην Μινύην ἔνθεν φάτις Ὀρχομενοῖο
δή ποτε Καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
ἀλλὰ τί ἢ τάδε τοι μεταμώνια πάντ' ἀγορεύω,
ἡμετέρους τε δόμους τηλεκλείτην τ' Ἀριάδνην,

κούρην Μίνωος, τόπερ ἀγλαὸν οὔνομα κείνην
παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ' ἐρεείνεις;
αἴθε γάρ, ὡς Θησῆι τότε ξυναρέσσατο Μίνως
ἀμφ' αὐτῆς, ὣς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη."
ὣς φάτο, μειλιχίοισι καταψήχων ὀάροισιν.
τῆς δ' ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνῖαι,
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
„Ἑλλάδι που τάδε καλά, συνημοσύνας ἀλεγύνειν·
Αἰήτης δ' οὐ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ' Ἀριάδνῃ
ἰσοῦμαι· τῷ μήτι φιλοξενίην ἀγόρευε.
ἀλλ' οἶον τύνη μὲν ἐμεῦ, ὅτ' Ἰωλκὸν ἵκηαι,
μνώεο· σεῖο δ' ἐγὼ καὶ ἐμῶν ἀέκητι τοκήων
μνήσομαι. ἔλθοι δ' ἥμιν ἀπόπροθεν ἠέ τις ὄσσα,
ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
ἢ αὐτήν με ταχεῖαι ὑπερ πόντοιο φέροιεν
ἐνθένδ' εἰς Ἰαωλκὸν ἀναρπάξασαι ἄελλαι,
ὄφρά σ', ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα,
μνήσω ἐμῇ ἰότητι πεφυγμένον. αἴθε γὰρ εἴην
ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν."
ὣς ἄρ ἔφη, ἐλεεινὰ καταπροχέουσα παρειῶν
δάκρυα· τὴν δ' ὅγε δῆθεν ὑποβλήδην προσέειπεν
„δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
ὣς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μεταμώνια βάζεις.
εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
ἔσσεαι· οἳ δέ σε πάγχυ θεὸν ὣς πορσανέουσιν,
οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
καὶ θαλεροὶ κακότητος ἅδην ἐσάωθεν ἀκοῖται.
ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισιν
πορσυνέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος

ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι."
ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ,
ἔμπης δ' ἔργ' ἀΐδηλα κατεῤῥίγησεν ἰδέσθαι.
σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσεσθαι ἔμελλεν
Ἑλλάδα ναιετάειν. ὣς γὰρ τόδε μήδετο Ἥρη,
ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται
Αἰαίη Μήδεια, λιποῦσ' ἄπο πατρίδα γαῖαν.
ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπτεύουσαι ἄπωθεν
σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη,
ἂψ οἶκον δὲ νέεσθαι ἑὴν μετα μητέρα κούρην.
ἣ δ' οὔπω κομιδῆς μιμνήσκετο, τέρπετο γάρ οἱ
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν·
εἰ μὴ ἄρ Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὖδα
„ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
ὀθνείων· αὖθις δ' ἀβολήσομεν ἐνθάδ' ἰόντες."
ὣς τώγ' ἀλλήλων ἀγανοῖς ἐπι τόσσον ἔπεσσιν
πείρηθεν· μετὰ δ' αὖτε διέτμαγον. ἤτοι Ἰήσων
εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι·
ἣ δὲ μετ' ἀμφιπόλους· αἳ δὲ σχεδὸν ἀντεβόλησαν
πᾶσαι ομοῦ· τὰς δ' οὔτι περιπλομένας ἐνόησεν.
ψυχὴ γὰρ νεφέεσσι μεταχρονίη πεπότητο.
αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ' ἀπήνης,
καί ῥ' ἑτέρῃ μὲν χειρὶ λάβ' ἡνία, τῇ δ' ἄρ ἱμάσθλην
δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἳ δὲ πόλιν δὲ
θῦνον ἐπειγόμενοι ποτι δώματα. τὴν δ' ἄρ ἰοῦσαν
Χαλκιόπη περι παισὶν ἀκηχεμένη ἐρέεινεν·
ἣ δὲ παλιντροπίῃσιν ἀμήχανος οὔτέ τι μύθων
ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένῃ λελίητο.
ἷζε δ' ἐπι χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν
λέχρις ἐρεισαμένη λαιῇ ἐπι χειρὶ παρειήν·
ὑγρὰ δ' ἐνι βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα

οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.
Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
ἐν χώρῃ, ὅθι τούςγε καταπρολιπὼν ἐλιάσθη,
ὦρτ' ἰέναι συν τοῖσι, πιφαυσκόμενος τὰ ἕκαστα,
ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπι νῆα πέλασσαν.
οἳ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
αὐτὰρ ὃ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
δεῖξέ τε φάρμακον αἰνόν· ὃ δ' οἰόθεν οἶος ἑταίρων
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
γηθόσυνοι τῆμος μένον ἐπεὶ κνέφας ἔργαθε νυκτός,
εὔκηλοι ἐμέλοντο περι σφίσιν. αὐτὰρ ἅμ' ἠοῖ
πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
ἄνδρε δύω, πρὸ μὲν αὐτὸν ἀρηΐφιλον Τελαμῶνα,
σὺν δὲ καὶ Αἰθαλίδην, υἷα κλυτὸν Ἑρμείαο.
βὰν δ' ἴμεν, οὐ δ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
κρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
Ἀονίοιο δράκοντος, ὃν Ὠγυγίῃ ἐνι Θήβῃ
Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανεν,
πέφνεν Ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα·
ἔνθα καὶ ἐννάσθη πομπῇ βοός, ἥν οἱ Ἀπόλλων
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
τοὺς δὲ θεὰ Τριτωνὶς ὑπεκ γενύων ἐλάσασα
Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆι.
καί ῥ' ὃ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισιν
Κάδμος Ἀγηνορίδης γαιηγενῆ εἴσατο λαόν,
Ἄρεος ἀμώοντος ὅσοι ὑπο δουρὶ λίποντο·
τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετα νῆα φέρεσθαι
προφρονέως, ἐπεὶ οὔ μιν ὀίσσατο πείρατ' ἀέθλου
ἐξανύσσειν, εἰ καί περ ἐπι ζυγὰ βουσὶ βάλοιτο.
ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
ἑσπέριος, νεάτας ὑπερ ἄκριας Αἰθιοπήων·
νὺξ δ' ἵπποισιν ἔβαλλεν ἔπι ζυγά· τοὶ δὲ χαμεύνας

χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι.
ὡς δ' ὅτ' ἀρήιος ἵππος ἐελδόμενος πολέμοιο
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθεν
κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει·
τοῖος ἄρ Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων.
πολλὰ δ' ἄρ ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν,
ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀίσσουσαν
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
ἐκ νεφέων, ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
μέλλον· ἀτὰρ κληῖσιν ἐπισχερὼ ἱδρυνθέντες
ῥίμφα μάλ' ἐς πεδίον τὸ Ἀρήιον ἠπείγοντο.
τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
ὅσσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
γίνεται, ὁππότ' ἄεθλα καταφθιμένοιο ἄνακτος
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
τέτμον δ' Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων,
τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισιν,
τὸν δ' αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
  Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον,
νηὸς ἀποπροθορών· ἅμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας, ἄλλα μὲν Ἄρει
εἴκελος, ἄλλα δέ που χρυσάορι Ἀπόλλωνι.
παπτήνας δ' ἀνὰ νειὸν ἴδε ζυγὰ χάλκεα ταύρων
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
χρίμψε δ' ἔπειτα κιών, παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχῳ, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων· οἳ δ' ἔκποθεν ἀφράστοιο

κευθμῶνος χθονίου, ἵνα τέ σφισιν ἔσκε βόαυλα
καρτερά, λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον. αὐτὰρ ὃ τούσγε,
εὖ διαβάς, ἐπιόντας, ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἳ δέ μιν ἄμφω
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν,
οὐ δ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
ὡς δ' ὅτ' ἐνι τρητοῖσιν ἐύρρινοι χοάνοισιν
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσιν,
πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀυτμῆς,
δεινὸς δ' ἐξ αὐτοῦ πέλεται βρόμος, ὁππότ' ἀίξῃ
νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
ἐκ στομάτων ὁμάδευν, τὸν δ' ἄμφεπε δήιον αἶθος
βάλλον ἅτε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
ζεύγλῃ χαλκείῃ, τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλάξ,
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον. ὣς δὲ καὶ ἄλλον
σφῆλε γνὺξ ἐπιόντα, μιῇ βεβολημένον ὁρμῇ.
εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος, ἔνθα καὶ ἔνθα
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
γούνασιν ἐν προτέροισι, δια φλογὸς εἶθαρ ἐλυσθείς.
θαύμασε δ' Αἰήτης σθένος ἀνέρος. οἳ δ' ἄρα τείως
Τυνδαρίδαι — δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν —
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
αὐτὰρ ὃ εὖ ἐνέδησε λόφοις· μεσσηγὺ δ' ἀείρας
χάλκεον ἱστοβοῆα, θοῇ συνάρασσε κορώνῃ
ζεύγληθεν. καὶ τὼ μὲν ὑπεκ πυρὸς ἂψ ἐπι νῆα
χαζέσθην. ὃ δ' ἂρ αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ

ἐξόπιθεν, καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
πήληκα βριαρὴν δόρυ τ' ἄσχετον, ᾧ ῥ' ὕπο μέσσας
ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
οὐτάζων λαγόνας· μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν
τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
οἳ δ' εἴως μὲν δὴ περιώσια θυμαίνεσκον,
λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ' ἀυτμὴ
ἠύτε βυκτάων ἀνέμων βρόμος, οὗτε μάλιστα
δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
δηρὸν δ' οὐ μετέπειτα κελευόμενοι ὕπο δουρὶ
ἤισαν· ὀκρυόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω,
σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ' ἀροτῆρι.
δεινὸν δ' ἐσμαράγευν ἄμυδις κατα ὦλκας ἀρότρου
βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ' αὐτὸς
λαιὸν ἐπι στιβαρῷ πιέσας ποδί· τῆλε δ' ἑοῖο
βάλλεν ἀρηρομένην αἰεὶ κατα βῶλον ὀδόντας
ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς· οἳ δ' ἄρ ἐπικρὸ
χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πονέοντο.
ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,
τῆμος ἀρήροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι,
τετράγυός περ ἐοῦσα· βοῶν τ' ἀπελύετ' ἄροτρα.
καὶ τοὺς μὲν πεδίον δὲ διεπτοίησε φέβεσθαι·
αὐτὰρ ὃ ἂψ ἐπι νῆα πάλιν κίεν, ὄφρ' ἔτι κεινὰς
γηγενέων ἀνδρῶν ἴδεν αὔλακας. ἀμφὶ δ' ἑταῖροι
θάρσυνον μύθοισιν. ὃ δ' ἐκ ποταμοῖο ῥοάων
αὐτῇ ἀφυσσάμενος κυνέῃ, σβέσεν ὕδατι δίψαν·
γνάμψε δὲ γούνατ' ἐλαφρά, μέγαν δ' ἐμπλήσατο θυμὸν
ἀλκῆς, μαιμώων συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας

θήγει θηρευτῆσιν ἐπ' ἀνδράσιν, ἀμφὶ δὲ πολλὸς
ἀφρὸς ἀπο στόματος χαμάδις ῥέε χωομένοιο.
οἳ δ' ἤδη κατα πᾶσαν ἀνασταχύεσκον ἄρουραν
γηγενέες· φρίξεν δὲ περι στιβαροῖς σακέεσσιν
δούρασί τ' ἀμφιγύοις κορύθεσσί τε λαμπομένῃσιν
Ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ' αἴγλη
νειόθεν οὔλυμπον δὲ δι' ἠέρος ἀστράπτουσα.
ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος
ἂψ ἀπο χειμερίας νεφέλας ἐκέδασσαν ἀῆται
λυγαίῃ ὑπο νυκτί, τὰ δ' ἀθρόα πάντα φαάνθη
τείρεα λαμπετόωντα δια κνέφας· ὣς ἄρα τοίγε
λάμπον ἀναλδήσκοντες ὑπερ χθονός. αὐτὰρ Ἰήσων
μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων,
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
αἰζηοὶ πίσυρες γαίης ἄπο τυτθὸν ἄειραν. [σοις
τόν ῥ' ἀνα χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσ-
ἀίξας· αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρῃ
θαρσαλέως. Κόλχοι δὲ μέγ' ἴαχον, ὡς ὅτε πόντος
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσιν·
τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο,
Αἰήτην. οἳ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
ἀλλήλους βρυχηδὸν ἐδήιον· οἳ δ' ἐπι γαῖαν
μητέρα πῖπτον ἑοῖς ὑπο δούρασιν ἠύτε πεῦκαι
ἢ δρύες, ἅστ' ἀνέμοιο κατάικες δονέουσιν.
οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ
ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν, οἵ μιν ἴδωνται
μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀίξαντα·
τοῖος ἄρ Αἴσονος υἱὸς ἐπέσσυτο γηγενέεσσιν·
γυμνὸν δ' ἐκ κολεοῖο φέρεν ξίφος, οὖτα δὲ μίγδην
ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε
ἡμίσεας ἀνέχοντας ἐς ἠέρα, τοὺς δὲ καὶ ἄχρις

κώλων τελλομένους, τοὺς δὲ νέον ἑστηῶτας,
τοὺς δ' ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς ἄρηα.
ὡς δ' ὁπότ', ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο,
δείσας γειομόρος, μή οἱ προτάμωνται ἀρούρας,
ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς
ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐ δὲ βολῇσιν
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
ὣς τότε γηγενέων κεῖρεν στάχυν· αἵματι δ' ὁλκοὶ
ἠύτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσιν.
πῖπτον δ', οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ὀδοῦσιν
λαζόμενοι πρηνεῖς, οἱ δ' ἔμπαλιν, οἱ δ' ἐπ' ἀγοστῷ
καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
πολλοὶ δ' οὐτάμενοι, πρὶν ἀπο χθονὸς ἴχνος ἀεῖραι,
ὅσσον ἄνω προύτυψαν ἐς ἠέρα, τόσσον ἔραζε
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
ἔρνεά που τοίως, Διὸς ἄσπετον ὀμβρήσαντος,
φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·
τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
κλήρου σημαντῆρα φυτοτρόφον. ὣς τότ' ἄνακτος
Αἰήταο βαρεῖαι ὑπο φρένας ἦλθον ἀνῖαι.
ἤιε δ' ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις,
πορφύρων, ᾗ κέ σφι θοώτερον ἀντιόῳτο.
ἦμαρ ἔδυ, καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

---

## ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ
## ΑΡΓΟΝΑΥΤΙΚΩΝ Δ.

---

Αὐτὴ νῦν κάματόν γε, θεά, καὶ δήνεα κούρης
Κολχίδος ἔννεπε, Μοῦσα, Διὸς τέκος. ἦ γὰρ ἔμοιγε

ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται ὁρμαίνοντι,
ἢ ἔμεν ἄτης πῆμα δυσιμέρου, ἢ τόγ' ἐνίσπω
φύξαν ἀεικελίην, ᾗ κάλλιπεν ἔθνεα Κόλχων.
ἤτοι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν, ὅσσοι ἄριστοι,
παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν
οἷσιν ἐνὶ μεγάροις, στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
Αἰήτης ἄμοτον κεχολωμένος· οὐδ' ὅγε πάμπαν
θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει.
τῇ δ' ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν Ἥρη·
τρέσσεν δ', ἠύτέ τις κούφη κεμάς, ἥντε βαθείης
τάρφεσιν ἐν ξυλόχοιο κυνῶν ἐφόβησεν ὁμοκλή.
αὐτίκα γὰρ νημερτὲς ὀίσσατο, μή μιν ἀρωγὴν
ληθέμεν, αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
τάρβει δ' ἀμφιπόλους ἐπιίστορας· ἐν δέ οἱ ὄσσε
πλῆτο πυρός, δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
πυκνὰ δὲ λαυκανίης ἐπεμάσσατο, πυκνὰ δὲ κουρὶξ
ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
καί νύ κεν αὐτοῦ τῆμος ὑπὲρ μόρον ὤλετο κούρη,
φάρμακα πασσαμένη, Ἥρης δ' ἁλίωσε μενοινάς,
εἰ μή μιν Φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
ὦρσεν ἀτυζομένην. πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
ἰάνθη. μετὰ δ' ἥγε παλίσσυτος ἀθρόα κόλπων
φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν
σταθμούς, καὶ τοίχων ἐπαφήσατο, χερσί τε μακρὸν
ῥηξαμένη πλόκαμον, θαλάμῳ μνημήια μητρὶ
κάλλιπε παρθενίης, ἀδινῇ δ' ὀλοφύρατο φωνῇ
„τόνδε τοι ἀντ' ἐμέθεν ταναὸν πλόκον εἶμι λιποῦσα,
μῆτερ ἐμή· χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ·
χαίροις Χαλκιόπη, καὶ πᾶς δόμος. αἴθε σε πόντος,
ξεῖνε, διέρραισεν, πρὶν Κολχίδα γαῖαν ἱκέσθαι.“
ὣς ἄρ ἔφη· βλεφάρων δὲ κατ' ἀθρόα δάκρυα χεῦεν.

οἴη δ' ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
ληιάς, ἥντε νέον πάτρης ἀπενόσφισεν αἶσα,
οὐ δέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο,
ἀλλ' ἔτ' ἀηθέσσουσα δύης καὶ δούλια ἔργα
εἶσιν ἀτυζομένη χαλεπὰς ὑπο χεῖρας ἀνάσσης·
τοίη ἄρ ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες,
ὠκείαις ἄψορροι ἀναθρώσκοντες ἀοιδαῖς.
γυμνοῖσιν δὲ πόδεσσιν ἀνα στεινὰς θέεν οἴμους,
λαιῇ μὲν χερὶ πέπλον ἐπ' ὀφρύσιν ἀμφι μέτωπα
στειλαμένη καὶ καλὰ παρήια, δεξιτερῇ δὲ
ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
καρπαλίμως δ' ἀίδηλον ἀνα στίβον ἔκτοθι πύργων
ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ' · οὐ δέ τις ἔγνω
τήνδε φυλακτήρων, λάθε δέ σφεας ὁρμηθεῖσα.
ἔνθεν ἴμεν νηὸν δὲ μάλ' ἐφράσατ' · οὐ γὰρ ἄιδρις
ἦεν ὁδῶν, θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκρούς,
ἀμφί τε δυσπαλέας ῥίζας χθονός, οἷα γυναῖκες
φαρμακίδες· τρομερῷ δ' ὑπο δείματι πάλλετο θυμός.
τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν
φοιταλέην ἐσιδοῦσα θεὰ ἐπεχήρατο Μήνη
ἁρπαλέως, καὶ τοῖα μετα φρεσὶν ᾗσιν ἔειπεν
„οὐκ ἄρ ἐγὼ μούνη μετα Λάτμιον ἄντρον ἀλύσκω,
οὐ δ' οἴη καλῷ περιδαίομαι Ἐνδυμίωνι.
ἦ θαμὰ δὴ καὶ σεῖο κίον δολίαισιν ἀοιδαῖς,
μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνι νυκτὶ
φαρμάσσῃς εὔκηλος, ἅ τοι φίλα ἔργα τέτυκται.
νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης·
δῶκε δ' ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
δαίμων ἀλγινόεις. ἀλλ' ἔρχεο, τέτλαθι δ' ἔμπης,
καὶ πινυτή περ ἐοῦσα, πολύστονον ἄλγος ἀείρειν.“
ὣς ἄρ ἔφη· τὴν δ' αἶψα πόδες φέρον ἐγκονέουσαν.

ἀσπασίως δ' ὄχθῃσιν ἐπηέρθη ποταμοῖο,
ἀντιπέρην λεύσσουσα πυρὸς σέλας, ὅ ῥά τ' ἀέθλου
παννύχιοι ἥρωες ἐυφροσύνῃσιν ἔδαιον.
ὀξείῃ δ' ἤπειτα δια κνέφας ὄρθια φωνῇ
ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων,
Φρόντιν· ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
αὐτῷ τ' Αἰσονίδῃ τεκμήρατο· σῖγα δ' ἑταῖροι
θάμβεον, εὖτ' ἐνόησαν ὃ δὴ καὶ ἐτήτυμον ἦεν.
τρὶς μὲν ἀνήυσεν, τρὶς δ' ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ' ἄρα τείως
ἥρωες μετα τήνγε θοοῖς ἐλάασκον ἐρετμοῖς.
οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ' ἰκριόφιν· μετὰ δὲ Φρόντίς τε καὶ Ἄργος,
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ' ἄρα τούσγε
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν
„ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὣς δὲ καὶ αὐτοὺς
ὑμέας Αἰήταο. προ γάρ τ' ἀναφανδὰ τέτυκται
πάντα μάλ', οὐ δέ τι μῆχος ἱκάνεται. ἀλλ' ἐπι νηὶ
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνι σοῖσιν ἑταίροις,
ξεῖνε, τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης,
ποίησαι· μὴ δ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης."
ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον· αἶψα δέ μιν περι γούνασι πεπτηυῖαν
ἦκ' ἀναειρόμενος προςπτύξατο, θάρσυνέν τε
„δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω,
Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
κουριδίην σε δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες."

ὣς ηὔδα, καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν· ἢ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδόν, ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
εἰς γάρ μιν βήσαντες, ἀπο χθονὸς αὐτίκ' ἔωσαν
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ἦεν ἀριστήων· ἢ δ' ἔμπαλιν ἀΐσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. αὐτὰρ Ἰήσων
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
ἀγρόται, οἵτε κύνεσσι πεποιθότες οὔποτε νύκτα
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
τῆμος ἂρ Αἰσονίδης κούρη τ' ἀπο νηὸς ἔβησαν
ποιήεντ' ἀνα χῶρον, ἵνα Κριοῦ καλέονται
εὐναί, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν
νώτοισιν φορέων Μινυήιον υἷ' Ἀθάμαντος.
ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
ὅν ῥά ποτ' Αἰολίδης Διὶ Φυξίῳ εἵσατο Φρίξος,
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμβλήμενος. ἔνθ' ἄρα τούσγε
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
βέβλητο, νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν·
αὐτὰρ ὃ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισι προϊδὼν ὄφις ὀφθαλμοῖσιν
νεισομένους, ῥοίζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
ἠιόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.

ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος Αἴης
Κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι Λύκοιο,
ὅστ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἳ δὲ συνάμφω
Καυκασίην ἅλα δ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
δείματι δ' ἐξέγροντο λεχωίδες, ἀμφὶ δὲ παισὶν
νηπιάχοις, οἵτέ σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον,
ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἱλίσσονται,
ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
ὧς τότε κεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξεν
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσιν.
τοῖο δ' ἑλισσομένοιο κατ' ὄμματα νείσετο κούρη,
Ὕπνον ἀοσσητῆρα, θεῶν ὕπατον, καλέουσα
ἡδείῃ ἐνοπῇ, θέλξαι τέρας· αὖε δ' ἄνασσαν
νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
εἵπετο δ' Αἰσονίδης πεφοβημένος. αὐτὰρ ὅγ' ἤδη
οἴμῃ θελγόμενος δολιχὴν ἀνελύετ' ἄκανθαν
γηγενέος σπείρης, μήκυνε δὲ μυρία κύκλα,
οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσιν
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον· ἀλλὰ καὶ ἔμπης
ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
ἀμφοτέρους ὀλοῇσι περιπτύξαι γενύεσσιν.
ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
βάπτουσ' ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς,
ῥαῖνε κατ' ὀφθαλμῶν· περί τ' ἀμφί τε νήριτος ὀδμὴ
φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
θῆκεν ἐρεισάμενος· τὰ δ' ἀπείρονα πολλὸν ὀπίσσω
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
ἔνθα δ' ὁ μὲν χρύσειον ἄπο δρυὸς αἴνυτο κῶας,

κούρης κεκλομένης· ἡ δ' ἔμπεδον ἑστηυῖα
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δή μιν
αὐτὸς ἑὴν ἐπι νῆα παλιντροπάασθαι Ἰήσων
ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
ὑψόθεν ἐξανέχουσαν ὑπωροφίου θαλάμοιο
λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
χαίρει δερκομένης καλὸν σέλας· ὣς τότ' Ἰήσων
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσίν·
καί οἱ ἐπι ξανθῇσι παρηίσιν ἠδὲ μετώπῳ
μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἷζεν ἔρευθος.
ὅσση δὲ ῥινὸς βοὸς ἤνιος, ἢ ἐλάφοιο
γίνεται, ἥντ' ἀγρῶσται ἀχαιινέην καλέουσιν,
τοσσατίην πάντῃ χρύσεον ἐφύπερθεν ἄωτον
βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
αἰὲν ὑποπρο ποδῶν ἀμαρύσσετο νεισομένοιο.
ἤιε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ' αυτε
εἴλει ἀφασσόμενος· περὶ γὰρ δίεν, ὄφρα ἑ μή τις
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.
ἠὼς μέν ῥ' ἐπι γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
ἷξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον στεροπῇ ἴκελον Διός. ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνι χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἐπι φᾶρος
κάββαλε νηγάτεον· πρύμνῃ δ' ἐνεείσατο κούρην
ἀνθέμενος, καὶ τοῖον ἔπος μετα πᾶσιν ἔειπεν
„μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρην δὲ νέεσθαι.
ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τῆνδ' ἀλεγεινὴν
ναυτιλίην ἔτλημεν ὀιζύϊ μοχθίζοντες,
εὐπαλέως κούρης ὑπο δήνεσι κεκράανται.
τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἶκαδ' ἄκοιτιν

κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιίδος οἷά τε πάσης
αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
σώετε. δὴ γάρ που, μάλ' ὀίομαι, εἶσιν ἐρύξων
Αἰήτης ὁμάδῳ πόντον δ' ἴμεν ἐκ ποταμοῖο.
ἀλλ' οἳ μὲν δια νηός, ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
ἑζόμενος, πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
ἀσπίδας ἡμίσεες, δήων θοὸν ἔχμα βολάων,
προσχόμενοι, νόστῳ ἐπαμύνετε. νῦν δ' ἐνι χερσὶν
παῖδας ἑοὺς πάτρην τε, φίλοι, γεραρούς τε τοκῆας
ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ,
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι."
ὣς φάτο, δῦνε δὲ τεύχε' ἀρήια· τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. ὃ δὲ ξίφος ἐκ κολεοῖο
σπασσάμενος πρυμναῖα νεὼς ἀπο πείσματ' ἔκοψεν·
ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργ' ἐτέτυκτο,
ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνι τεύχεσιν. ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
φυλλοχόῳ ἐνι μηνί — τίς ἂν τάδε τεκμήραιτο; —
ὣς οἳ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
κλαγγῇ μαιμώωντες· ὁ δ' εὐτύκτῳ ἐνι δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
σκαιῇ μέν ῥ' ἐνι χειρὶ σάκος δινωτὸν ἀείρων,
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· παρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον· ἡνία δ' ἵππων
γέντο χεροῖν Ἄψυρτος. ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν

καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
Ἠέλιον καὶ Ζῆνα κακῶν ἐπιμάρτυρας ἔργων
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ
εἰ μή οἱ κούρην αὐτάγρετον, ἢ ἀνὰ γαῖαν,
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα
ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
τίσασθαι τάδε πάντα, δαήσονται κεφαλῇσιν
πάντα χόλον καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
ὣς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι
νῆάς τ' εἰρύσσαντο καὶ ἄρμενα νηυσὶ βάλοντο,
αὐτῷ δ' ἤματι πόντον ἀνήιον· οὐ δέ κε φαίης
τόσσον νηίτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
οἱ δ' ἀνέμου λαιψηρὰ θεᾶς βουλῇσιν ἀέντος
Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
ἠοῖ ἐνὶ τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
Παφλαγόνων ἀκταῖσι, πάροιθ' Ἅλυος ποταμοῖο.
ἢ γάρ σφ' ἐξαποβάντας ἀρέσσασθαι θυέεσσιν
ἠνώγει Ἑκάτην. καὶ δὴ τὰ μέν, ὅσσα θυηλῇ
κούρη πορσανέουσα τιτύσκετο, μήτέ τις ἴστωρ
εἴη, μήτ' ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
ἅζομαι αὐδῆσαι. τό γε μὴν ἕδος ἐξέτι κείνου,
ὅ ῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
αὐτίκα δ' Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὤλλοι
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ Αἴης ἔσσεσθαι· ἀνώιστος δ' ἐτέτυκτο
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν
„νεισόμεθ' Ὀρχομενὸν τῇ ἔχραεν ὔμμι περῆσαι
νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.

ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
οὔπω τείρεα πάντα, τάτ' οὐρανῷ εἱλίσσονται,
οὐ δέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
πευθομένοις· οἶοι δ' ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται
ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐ δὲ Πελασγὶς
χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
ἦμος ὅτ' ἠερίη πολυλήιος ἐκλήιστο
μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
καὶ ποταμὸς Τρίτων ἐυτάρροος, ᾧ ὕπο πᾶσα
ἄρδεται Ἠερίη· Διόθεν δέ μιν οὔποτε δεύει
ὄμβρος· ἅλις προχοαῖσι δ' ἀνασταχύουσιν ἄρουραι.
ἔνθεν δή τινα φασὶ πέριξ δια πᾶσαν ὁδεῦσαι
Εὐρώπην Ἀσίην τε βίῃ καὶ κάρτεϊ λαῶν
σφωιτέρων θάρσει τε πεποιθότα· μυρία δ' ἄστη
νάσσατ' ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,
ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
Αἶά γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
τῶνδ' ἀνδρῶν, οὓς ὅςγε καθίσσατο ναιέμεν Αἶαν,
οἳ δή τοι γραπτῦς πατέρων ἕθεν εἰρύονται,
κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινεισομένοισιν.
ἔστι δέ τις ποταμός, ὕπατον κέρας Ὠκεανοῖο,
εὐρύς τε προβαθής τε καὶ ὁλκάδι νηὶ περῆσαι·
Ἴστρόν μιν καλέοντες ἑκὰς διετεκμήραντο·
ὃς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
εἷς οἶος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς βορέαο
Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
ἀλλ' ὁπότ' ἂν Θρῄκων Σκυθέων τ' ἐνιβήσεται οὔρους,
ἔνθα διχῇ τὸ μὲν ἔνθα μετ' Ἰονίην ἅλα βάλλει
τῇδ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν δια κόλπον ἵησιν

σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα,
γαίῃ ὃς ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
ὑμετέρης γαίης Ἀχελώιος ἐξανίησιν."
ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες,
στέλλεσθαι τῆνδ' οἶμον. ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.
γηθόσυνοι δὲ Λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὕπειρ ἅλα ναυτίλλοντο,
οὔρεα Παφλαγόνων θηεύμενοι. οὐ δὲ Κάραμβιν
γνάμψαν, ἐπει πνοαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ' αὖτ' ἄλλοι μέν, ἐτώσια μαστεύοντες,
Κυανέας Πόντοιο διεκ πέτρας ἐπέρησαν·
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος, Καλὸν δὲ δια στόμα πεῖρε λιασθείς.
τῷ καὶ ὑπέφθη τούςγε βαλὼν ὕπερ αὐχένα γαίης
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτι ῥόον· ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. τὴν μὲν καλέουσι Νάρηκος·
τὴν δ' ὑπο τῇ νεάτῃ, Καλὸν στόμα. τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. εἰαμεναῖσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι, νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
οὐ γάρ πω ἁλίας γε πάρος πόθι νῆας ἴδοντο,
οὔτ' οὖν Θρήιξιν μιγάδες Σκύθαι, οὐ δὲ Σίγυννοι,
οὔτ' οὖν Γραυκένιοι, οὔθ' οἱ περι Λαύριον ἤδη
Σινδοὶ ἐρημαῖον πεδίον μέγα ναιετάοντες.

αὐτὰρ ἐπεί τ' Ἄγγουρον ὄρος καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον πάρα Καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἅλις, πεδίον τε τὸ Λαύριον ἠμείψαντο,
δή ῥα τότε Κρονίην Κόλχοι ἅλα δ' ἐκπρομολόντες
πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
οἳ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
δοιὰς Ἀρτέμιδος Βρυγηίδας ἀγχόθι νήσους.
τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
— αὔτως, ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.
— ὣς δὲ καὶ εἰς ἀκτὰς πληθὺν λίπεν ἀγχόθι νήσους
μέσφα Σαλαγγῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
ἔνθά κε λευγαλέῃ Μινύαι τότε δηιοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι, ἐτάμοντο·
κῶας μὲν χρύσειον, ἐπεί σφισιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·
αὐτὰρ Μήδειάν γε — τὸ γὰρ πέλεν ἀμφήριστον —
παρθέσθαι κούρῃ Λητωίδι νόσφιν ὁμίλου,
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτέ μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
πολλὸν ἑκάς, στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον

„Αἰσονίδη, τίνα τῆνδε συναρτύνασθε μενοινὴν
ἀμφ' ἐμοί; ἠέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
ἀγλαῖαι, τῶν δ' οὔτι μετατρέπῃ, ὅσσ' ἀγόρευες
χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
ὅρκια, ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
ᾗς ἐγὼ οὐ κατα κόσμον ἀναιδήτῳ ἰότητι
πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴη
λυγρῇσιν κατα πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι,
σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
ἀμφί τε γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
ὕστατον αὖ καὶ κῶας, ἐπεί τ' ἐπαϊστὸν ἐτύχθη,
εἷλες ἐμῇ ματίῃ· κατα δ' οὐλοὸν αἶσχος ἔχευα
θηλυτέραις. τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
πάντῃ νῦν πρόφρων ὑπερίστασο, μὴ δέ με μούνην
σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.
ἀλλ' αὔτως εἴρυσο, δίκη δέ τοι ἔμπεδος ἔστω
καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύγ' ἔπειτα
φασγάνῳ αὐτίκα τόνδε μέσον δια λαιμὸν ἀμῆσαι,
ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τᾶσδ' ἀλεγεινὰς
ἄμφω συνθεσίας. πῶς ἵξομαι ὄμματα πατρός;
ἦε μάλ' εὐκλειής; τίνα δ' οὐ τίσιν, ἠὲ βαρεῖαν
ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
ὀτλήσω; σὺ δέ κεν θυμηδέα νόστον ἕλοιο;
μὴ τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
ᾗ ἐπικυδιάεις. μνήσαιο δὲ καί ποτ' ἐμεῖο,
στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. ἐκ δέ σε πάτρης
αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐρινύες· οἷα καὶ αὐτὴ

σῇ πάθον ἀτροπίῃ. τὰ μὲν οὐ θέμις ἀκράαντα
ἐν γαίῃ πεσέειν. μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
νηλεές· ἀλλ' οὐ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
δὴν ἔσσεσθ' εὔκηλοι ἕκητί γε συνθεσιάων."
ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον· ἵετο δ' ἥγε
νῆα καταφλέξαι, διά τ' ἔμπεδα πάντα κεάσσαι,
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν
„ἴσχεο, δαιμονίη. τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
ἀλλά τιν' ἀμβολίην διζήμεθα δηιοτῆτος,
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
εἵνεκα σεῦ. πάντες γάρ, ὅσοι χθόνα τήνδε νέμονται,
Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρί,
οἷά τε ληισθεῖσαν, ὑπότροπον οἴκαδ' ἄγοιντο.
αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ,
μίξαντες δαῒ χεῖρας· ὅ τοι καὶ ῥίγιον ἄλγος
ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
ἥδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
βήσομεν. οὐ δ' ἂν ὁμῶς περιναιέται ἀντιόωντες
Κόλχοις ἦρα φέροιεν ὑπὲρ σέο νόσφιν ἄνακτος,
ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
οὐ δ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω μὴ πτολεμίζειν
ἀντιβίην, ὅτε μή με διὲξ εἰῶσι νέεσθαι."
ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον
„φράζεο νῦν. χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
καὶ τόδε μητίσασθαι, ἐπεὶ τὸ πρῶτον ἀάσθην
ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
τύνη μὲν κατα μῶλον ἀλέξεο δούρατα Κόλχων·
αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
μειλίξω· σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις·
εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.

ἔνθ᾽ εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔτι μεγαίρω,
κτεῖνέ τε καὶ Κόλχοισιν ἀείρεο δηιοτῆτα."
ὣς τώγε ξυμβάντε μέγαν δόλον ἠρτύνοντο
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήια δῶρα,
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
πορφύρεον. τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὃ παιδὶ
δῶκε Θόαντι μεταῦτις· ὃ δ᾽ αὖ λίπεν Ὑψιπυλείῃ·
ἣ δ᾽ ἔπορ᾽ Αἰσονίδῃ πολέσιν μέτα καὶ τὸ φέρεσθαι
γλήνεσιν εὐεργὲς ξεινήιον. οὔ μιν ἀφάσσων,
οὔτέ κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξέτι κείνου,
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήιος ἐγκατέλεκτο
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
στήθεα παρθενικῆς Μινωίδος, ἥν ποτε Θησεὺς
Κνωσσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ·
ἣ δ᾽ ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
θελγέμεν, εὖτ᾽ ἂν πρῶτα θεᾶς περι νηὸν ἵκηται
συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
βαίη ἐς Αἰήταο δόμους· περὶ γάρ μιν ἀνάγκῃ
υἱῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι·
τοῖα παραιφαμένη, θελκτήρια φάρμακ᾽ ἔπασσεν
αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
ἄγριον ἠλιβάτοιο κατ᾽ οὔρεος ἤγαγε θῆρα. [ποισιν·
σχέτλι᾽ Ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώ-
ἐκ σέθεν οὐλόμεναί τ᾽ ἔριδες στοναχαί τε γόοι τε,
ἄλγεά τ᾽ ἄλλ᾽ ἐπι τοῖσιν ἀπείρονα τετρήχασιν.
δυσμενέων ἐπι παισὶ κορύσσεο, δαῖμον, ἀερθείς,
οἷος Μηδείῃς στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ

Ἄψυρτον; τὸ γὰρ ἧμιν ἐπισχερὼ ἧεν ἀοιδῆς.
ἦμος ὅτ' Ἀρτέμιδος νήσῳ ἔνι τήνγ' ἐλίποντο
συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
σφωιτέραις κρινθέντες· ὁ δ' ἐς λόχον ᾖεν Ἰήσων
δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
αὐτὰρ ὅγ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς
καρπαλίμως ᾗ νηὶ διὲξ ἁλὸς οἶδμα περήσας,
νύχθ' ὕπο λυγαίην ἱερῆς ἐπεβήσατο νήσου.
οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις
εἷο κασιγνήτης, ἀταλὸς πάις οἷα χαράδρης
χειμερίης, ἣν οὐδὲ δι' αἰζηοὶ περόωσιν·
εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν·
αὐτίκα δ' Αἰσονίδης πυκινοῦ ἐξᾶλτο λόχοιο,
γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δὲ κούρη
ἔμπαλιν ὄμματ' ἔνεικε, καλυψαμένη ὀθόνῃσιν,
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
τὸν δ' ὅγε, βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον,
πλῆξεν ὀπιπτεύσας νηοῦ σχεδόν, ὅν ποτ' ἔδειμαν
Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθεν.
τοῦ ὅγ' ἐνι προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ' ἥρως
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
ὄμματι νηλειὴς ὀλοφώιον ἔργον Ἐρινύς.
ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος,
τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων,
ἣ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
ὑγρὸν δ' ἐν γαίῃ κρύψεν νέκυν, ἔνθ' ἔτι νῦν περ
κείαται ὀστέα κεῖνα μετ' ἀνδράσιν Ἀψυρτεῦσιν.
οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες,

τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρεν,
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρα νῆα βάλοντο
ἥρωες· Κόλχον δ' ὀλέκον στόλον, ἠΰτε κίρκοι
φῦλα πελειάων, ἠὲ μέγα πῶυ λέοντες
ἀγρότεροι κλονέουσιν ἐνι σταθμοῖσι θορόντες.
οὐ δ' ἄρα τις κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
πῦρ ἅτε δηιόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
ἤντησεν, μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
ἔνθα δὲ ναυτιλίης πυκινὴν περι μητιάασκον
ἑζόμενοι βουλήν· ἐπι δέ σφισιν ἤλυθε κούρη
φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον
„ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
εἰρεσίῃ περάαν πλόον ἀντίον, ᾧ ἐπέχουσιν
δήιοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
ἔλπομαι οὐχ ἕνα μῦθον, ὅτις προτέρωσε δίεσθαι
ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ' ἄνακτος
εὔνιδες, ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
ῥηιδίη δέ κεν ἄμμι κεδασθέντων δίχα λαῶν,
ἥ τ' εἴη μετέπειτα κατερχομένοισι κέλευθος."
ὣς ἔφατ'· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο.
ῥίμφα δὲ νῆ' ἐπιβάντες ἐπερρώοντ' ἐλάτῃσιν
νωλεμές, ὄφρ' ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο,
ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.
Κόλχοι δ' ὁππότ' ὄλεθρον ἐπεφράσθησαν ἄνακτος,
ἤτοι μὲν δίζεσθαι ἐπέχραον ἔνδοθι πάσης
Ἀργὼ καὶ Μινύας Κρονίης ἁλός. ἀλλ' ἀπέρυκεν
Ἥρη σμερδαλέῃσι κατ' αἰθέρος ἀστεροπῇσιν.
ὕστατον αὐτοὶ δ' αὖτε Κυταιίδος ἤθεα γαίης
στύξαν, ἀτυζόμενοι χόλον ἄγριον Αἰήταο.
ἔμπεδον ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
οἳ μὲν ἐπ' αὐτάων νήσων ἔβαν, ᾗσιν ἐπέσχον

*ἥρωες, ναίουσι δ' ἐπώνυμοι Ἀψύρτοιο·*
*οἳ δ' ἄρ ἐπ' Ἰλλυρικοῖο μελαμβαθέος ποταμοῖο,*
*τύμβος ἵν' Ἁρμονίης Κάδμοιό τε, πύργον ἔδειμαν,*
*ἀνδράσιν Ἐγχελέεσσιν ἐφέστιοι· οἳ δ' ἐν ὄρεσσιν*
*ἐνναίουσιν, ἅ πέρ τε Κεραύνια κικλήσκονται*
*ἐκ τόθεν, ἐξότε τούςγε Διὸς Κρονίδαο κεραυνοὶ*
*νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.*
*ἥρωες δ', ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων,*
*δή ῥα τότε προμολόντες ἐπι χθονὶ πείσματ' ἔδησαν*
*Ὑλλήων. νῆσοι γὰρ ἐπιπρούχοντο θαμειαὶ*
*ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.*
*οὐ δέ σφιν, ὡς καὶ πρίν, ἀνάρσια μητιάασκον*
*Ὑλλῆες· πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον,*
*μισθὸν ἀειρόμενοι τρίποδα μέγαν Ἀπόλλωνος.*
*δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε Φοῖβος ἄγεσθαι*
*Αἰσονίδῃ περόωντι κατα χρέος, ὁππότε Πυθὼ*
*ἱρὴν πευσόμενος μετεκίαθε τῆσδ' ὑπερ αὐτῆς*
*ναυτιλίης· πέπρωτο δ', ὅπῃ χθονὸς ἱδρυνθεῖεν,*
*μήποτε τὴν δηίοισιν ἀναστήσεσθαι ἰοῦσιν.*
*τούνεκεν εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ*
*ἀμφι πόλιν ἀγανὴν Ὑλληίδα, πολλὸν ἔνερθεν*
*οὔδεος, ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.*
*οὐ μὲν ἔτι ζώοντα καταυτόθι τέτμον ἄνακτα*
*Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆι*
*δήμῳ Φαιήκων. ὃ γὰρ οἰκία Ναυσιθόοιο*
*Μάκριν τ' εἰσαφίκανε, Διωνύσοιο τιθήνην,*
*νιψόμενος παίδων ὀλοὸν φόνον· ἔνθ' ὅγε κούρην*
*Αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο,*
*νηιάδα Μελίτην· ἣ δὲ σθεναρὸν τέκεν Ὕλλον.*
*οὐ δ' ἄρ ὅγ' ἡβήσας αὐτῇ ἐνι ἔλδετο νήσῳ*
*ναίειν, κοιρανέοντος ἐπ' ὀφρύσι Ναυσιθόοιο·*
*βῆ δ' ἅλα δὲ Κρονίην, αὐτόχθονα λαὸν ἀγείρας*

Φαιήκων· συν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
ἥρως Ναυσίθοος· τόθι δ' εἵσατο, καί μιν ἔπεφνον
Μέντορες, ἀγραύλοισιν ἀλεξόμενον περι βουσίν.
ἀλλά, θεαί, πῶς τῆσδε παρὲξ ἁλὸς ἀμφί τε γαῖαν
Αὐσονίην νήσους τε Λιγυστίδας, αἳ καλέονται
Στοιχάδες, Ἀργῴης περιώσια σήματα νηὸς
νημερτὲς πέφαται; τίς ἀπόπροθι τόσσον ἀνάγκη
καὶ χρειώ σφ' ἐκόμιζε; τίνές σφεας ἤγαγον αὖραι;
αὐτόν που μεγαλωστὶ δεδουπότος Ἀψύρτοιο
Ζῆνα, θεῶν βασιλῆα, χόλος λάβεν, οἷον ἔρεξαν·
Αἰαίης δ' ὀλοὸν τεκμήρατο δήνεσι Κίρκης
αἷμ' ἀπονιψαμένους, πρό τε μυρία πημανθέντας,
νοστήσειν. τὸ μὲν οὔτις ἀριστήων ἐνόησεν·
ἀλλ' ἔθεον γαίης Ὑλληίδος ἐξανιόντες
τηλόθι· τὰς δ' ἀπέλειπον, ὅσαι Κόλχοισι πάροιθεν
ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
Ἴσσά τε Δυσκέλαδός τε καὶ ἱμερτὴ Πιτύεια.
αὐτὰρ ἔπειτ' ἐπι τῇσι παραι Κέρκυραν ἵκοντο,
ἔνθα Ποσειδάων Ἀσωπίδα νάσσατο κούρην,
ἠύκομον Κέρκυραν, ἑκὰς Φλιουντίδος αἴης,
ἁρπάξας ὑπ' ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
δερκόμενοι Κέρκυραν ἐπικλείουσι Μέλαιναν.
τῇ δ' ἐπι καὶ Μελίτην, λιαρῷ περιγηθέες οὔρῳ,
αἰπεινήν τε Κερωσσόν, ὕπερθε δὲ πολλὸν ἐοῦσαν
Νυμφαίην παράμειβον, ἵνα κρείουσα Καλυψὼ
Ἀτλαντὶς ναίεσκε· τὰ δ' ἠεροειδέα λεύσσειν
οὔρεα δοιάζοντο Κεραύνια. καὶ τότε βουλὰς
ἀμφ' αὐτοῖς Ζηνός τε μέγαν χόλον ἐφράσαθ' Ἥρη.
μηδομένη δ' ἄνυσιν τοῖο πλόου, ὦρσεν ἀέλλας
ἀντικρύ, ταῖς αὖτις ἀναρπάγδην φορέοντο
νήσου ἔπι κραναῆς Ἠλεκτρίδος. αὐτίκα δ' ἄφνω

ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τό ῥ' ἀνα μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
φθογγήν τε, Ζηνός τε βαρὺν χόλον. οὐ γὰρ ἀλύξειν
ἔννεπεν οὔτε πόρους δολιχῆς ἁλός, οὔτε θυέλλας
ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
νηλέα νίψειεν· Πολυδεύκεα δ' εὐχετάασθαι
Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
Αὐσονίης ἔμπροσθε πορεῖν ἁλός, ᾗ ἔνι Κίρκην
δήουσιν, Πέρσης τε καὶ Ἠελίοιο θύγατρα.
ὣς Ἀργὼ ἰάχησεν ὑπο κνέφας· οἱ δ' ἀνόρουσαν
Τυνδαρίδαι, καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν
εὐχόμενοι τὰ ἕκαστα· κατηφείη δ' ἔχεν ἄλλους
ἥρωας Μινύας. ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
λαίφεσιν, ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο·
ἔνθά ποτ' αἰθαλόεντι τυπεὶς προς στέρνα κεραυνῷ
ἡμιδαὴς Φαέθων πέσεν ἅρματος Ἠελίοιο
λίμνης ἐς προχοὰς πολυβενθέος· ἡ δ' ἔτι νῦν περ
τραύματος αἰθομένοιο βαρὺν ἀνακηκίει ἀτμόν.
οὐ δέ τις ὕδωρ κεῖνο δια πτερὰ κοῦφα τανύσσας
οἰωνὸς δύναται βαλέειν ὕπερ· ἀλλὰ μεσηγὺς
φλογμῷ ἐπιθρώσκει πετοτημένος. ἀμφὶ δὲ κοῦραι
Ἡλιάδες, ταναῇσιν ἐελμέναι αἰγείροισιν
μύρονται κινυρὸν μέλεαι γόον· ἐκ δὲ φαεινὰς
ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε,
αἱ μέν τ' ἠελίῳ ψαμάθοις ἔπι τερσαίνονται·
εὖτ' ἂν δὲ κλύζῃσι κελαινῆς οἴδματα λίμνης
ἠιόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
δὴ τότ' ἐς Ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
κυμαίνοντι ῥόῳ. Κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,
ὡς ἄρ' Ἀπόλλωνος τάδε δάκρυα Λητοΐδαο

ἐμφέρεται δίναις, ἅτε μυρία χεῦε πάροιθεν,
ἦμος Ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,
οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς,
χωόμενος περὶ παιδί, τὸν ἐν λιπαρῇ Λακερείῃ
δῖα Κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς Ἀμύροιο.
καὶ τὰ μὲν ὡς κείνοισι μετ' ἀνδράσι κεκλήισται.
τοὺς δ' οὔτε βρώμης ᾔρει πόθος, οὐ δὲ ποτοῖο,
οὔτ' ἐπὶ γηθοσύνας τράπετο νόος. ἀλλ' ἄρα τοίγε
ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
ὀδμῇ λευγαλέῃ, τήν ῥ' ἄσχετον ἐξανίεσκον
τυφομένου Φαέθοντος ἐπιρροαὶ Ἠριδανοῖο·
νύκτας δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
Ἡλιάδων λιγέως· τὰ δὲ δάκρυα μυρομένῃσιν
οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.
ἐκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσαπέβησαν,
ὅστ' εἰς Ἠριδανὸν μετανείσεται· ἄμμιγα δ' ὕδωρ
ἐν ξυνοχῇ βέβρυχε κυκώμενον. αὐτὰρ ὁ γαίης
ἐκ μυχάτης, ἵνα τ' εἰσὶ πύλαι καὶ ἐδέθλια Νυκτός,
ἔνθεν ἀπορνύμενος τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
ὠκεανοῦ, τῇ δ' αὖτε μετ' Ἰονίην ἅλα βάλλει,
τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
ἑπτὰ δια στομάτων ἵει ῥόον. ἐκ δ' ἄρα τοῖο
λίμνας εἰσέλασαν δυςχείμονας, αἵτ' ἀνα Κελτῶν
ἤπειρον πέπτανται ἀθέσφατον· ἔνθά κεν οἵγε
ἄτῃ ἀεικελίῃ πέλασαν. φέρε γάρ τις ἀπορρὼξ
κόλπον ἐς ὠκεανοῖο, τὸν οὐ προδαέντες ἔμελλον
εἰςβαλέειν, τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν.
ἀλλ' Ἥρη σκοπέλοιο καθ' Ἑρκυνίου ἰάχησεν
οὐρανόθεν προθοροῦσα· φόβῳ δ' ἐτίναχθεν ἀυτῆς
πάντες ὁμῶς· δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.
ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο, καί ῥ' ἐνόησαν
τὴν οἶμον, τῇ πέρ τε καὶ ἔπλετο νόστος ἰοῦσιν.

δηναιοὶ δ' ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο
Ἥρης ἐννεσίῃσι, δι' ἔθνεα μυρία Κελτῶν
καὶ Λιγύων περόωντες ἀδήιοι. ἀμφὶ γὰρ αἰνὴν
ἠέρα χεῦε θεὰ πάντ' ἤματα νεισομένοισιν.
μεσσότατον δ' ἄρα τοίγε δια στόμα νηὶ βαλόντες
Στοιχάδας εἰσαπέβαν νήσους σόοι εἵνεκα κούρων
Ζηνός· ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
ἔμπεδον· οὐ δ' οἷον κείνης ἐπίκουροι ἕποντο
ναυτιλίης, Ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
Στοιχάδας αὖτε λιπόντες ἐς Αἰθαλίην ἐπέρησαν
νῆσον, ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες
ἱδρῶ ἅλις· χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται
εἴκελαι· ἐν δὲ σόλοι καὶ τρύχεα θέσκελα κείνων,
ἐν δὲ λιμὴν Ἀργῷος ἐπωνυμίην πεφάτισται.
καρπαλίμως δ' ἐνθένδε διεξ ἁλὸς οἶδμα νέοντο
Αὐσονίης ἀκτὰς Τυρσηνίδας εἰσορόωντες·
ἷξον δ' Αἰαίης λιμένα κλυτόν· ἐκ δ' ἄρα νηὸς
πείσματ' ἐπ' ἠιόνων σχεδόθεν βάλον. ἔνθα δὲ Κίρκην
εὗρον ἁλὸς νοτίδεσσι κάρη ἐπιφαιδρύνουσαν·
τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
αἵματί οἱ θάλαμοί τε καὶ ἕρκεα πάντα δόμοιο
μύρεσθαι δόκεον· φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν,
οἷσι πάρος ξείνους θέλγ' ἀνέρας, ὅστις ἵκοιτο·
τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι παμφανόωσαν,
χερσὶν ἀφυσσαμένη· λῆξεν δ' ὀλοοῖο φόβοιο.
τῶ καὶ ἐπιπλομένης ἠοῦς νοτίδεσσι θαλάσσης
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκεν.
θῆρες δ' οὐ θήρεσσιν ἐοικότες ὠμηστῇσιν,
οὐδὲ μὲν οὐδ' ἄνδρεσσιν ὁμὸν δέμας, ἄλλο δ' ἐπ' ἄλλων
συμμιγέες μελέων, κίον ἀθρόοι, ἠύτε μῆλα
ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆι.
τοίους καὶ προτέρης ἐξ ἰλύος ἐβλάστησεν

χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσσιν,
οὔπω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα,
οὐ δέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
ἰκμάδας αἰνυμένη· τὰ δ' ἐπὶ στίχας ἤγαγεν αἰὼν
συγκρίνας· τὼς οἵγε φυὴν ἀΐδηλοι ἕποντο.
ἥρωας δ' ἕλε θάμβος ἀπείριτον· αἶψα δ' ἕκαστος
Κίρκης εἴς τε φυὴν εἴς τ' ὄμματα παπταίνοντες
ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι Αἰήταο.
ἡ δ' ὅτε δὴ νυχίων ἀπο δείματα πέμψεν ὀνείρων,
αὐτίκ' ἔπειτ' ἄψορρον ἀπέστιχε· τοὺς δ' ἅμ' ἕπεσθαι,
χειρὶ καταρρέξασα, δολοφροσύνῃσιν ἄνωγεν.
ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς Αἰσονίδαο
μίμνεν ἀπηλεγέως· ὃ δ' ἐρύσσατο Κολχίδα κούρην.
ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδόν, ἔστ' ἀφίκοντο
Κίρκης ἐς μέγαρον· τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
ἥγε θρόνοις ἕζεσθαι, ἀμηχανέουσα κιόντων.
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀΐξαντε
ἵζανον, ἥτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται,
ἢ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα,
αὐτὰρ ὃ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας,
ᾧ πέρ τ' Αἰήταο πάιν κτάνεν· οὐ δέ ποτ' ὄσσε
ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. αὐτίκα δ' ἔγνω
Κίρκη φύξιον οἶτον ἀλιτροσύνας τε φόνοιο.
τῷ καὶ ὀπιζομένη Ζηνὸς θέμιν Ἱκεσίοιο,
ὃς μέγα μὲν κοτέει, μέγα δ' ἀνδροφόνοισιν ἀρήγει,
ῥέζε θυηπολίην, οἵῃ τ' ἀπολυμαίνονται
νηλεεῖς ἱκέται, ὅτ' ἐφέστιοι ἀντιόωσιν.
πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἥγε φόνοιο
τειναμένη καθύπερθε συὸς τέκος, ἧς ἔτι μαζοὶ
πλήμυρον λοχίης ἐκ νηδύος, αἵματι χεῖρας
τέγγεν, ἐπιτμήγουσα δέρην· αὖτις δὲ καὶ ἄλλοις
μείλισσεν χύτλοισι, καθάρσιον ἀγκαλέουσα

Ζῆνα, παλαμναίων τιμήορον ἱκεσιάων.
καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
νηιάδες πρόπολοι, καί οἱ πόρσυνον ἕκαστα.
ἣ δ' εἴσω πελανοὺς μείλικτρά τε νηφαλίῃσιν
καῖεν ἐπ' εὐχωλῇσι παρέστιος, ὄφρα χόλοιο
σμερδαλέας παύσειεν ἐρινύας, ἠδὲ καὶ αὐτὸς
εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν,
εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας,
εἴτε καὶ ἐμφύλῳ προσκηδέες ἀντιόωσιν.
  αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα
εἷσεν ἐπι ξεστοῖσιν ἀναστήσασα θρόνοισιν,
καὶ δ' αὐτὴ πέλας ἷξεν ἐνωπαδίς. αἶψα δὲ μύθῳ
χρειὼ ναυτιλίην τε διακριδὸν ἐξερέεινεν,
ἠδ' ὁπόθεν μετα γαῖαν ἑὴν καὶ δώματ' ἰόντες
αὔτως ἱδρύνθησαν ἐφέστιοι. ἦ γὰρ ὀνείρων
μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν·
ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὀμφήν,
αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὔδεος ὄσσε βαλοῦσαν.
πᾶσα γὰρ Ἠελίου γενεὴ ἀρίδηλος ἰδέσθαι
ἦεν, ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
οἷόν τε χρυσέην ἀντώπιον ἵεσαν αἴγλην.
ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξεν,
Κολχίδα γῆρυν ἱεῖσα, βαρύφρονος Αἰήταο
κούρη μειλιχίως, ἠμὲν στόλον ἠδὲ κελεύθους
ἡρώων, ὅσα τ' ἀμφι θοοῖς ἐμόγησαν ἀέθλοις,
ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς,
ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς
συν παισὶν Φρίξοιο· φόνον δ' ἀλέεινεν ἐνισπεῖν
Ἀψύρτου. τὴν δ' οὔτι νόῳ λάθεν· ἀλλὰ καὶ ἔμπης
μυρομένην ἐλέαιρεν, ἔπος δ' ἐπὶ τοῖον ἔειπεν
„σχετλίη, ἦρα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
ἔλπομαι οὐκ ἐπι δήν σε βαρὺν χόλον Αἰήταο

ἐκφυγέειν· τάχα δ' εἶσι καὶ Ἑλλάδος ἤθεα γαίης
τισόμενος φόνον υἷος, ὅτ' ἄσχετα ἔργα τέλεσσας.
ἀλλ' ἐπεὶ οὖν ἱκέτις καὶ ὁμόγνιος ἔπλευ ἐμεῖο,
ἄλλο μὲν οὔτι κακὸν μητίσομαι ἐνθάδ' ἰούσῃ·
ἔρχεο δ' ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα,
ὅντινα τοῦτον ἄιστον ἀείραο πατρὸς ἄνευθεν·
μὴ δέ με γουνάσσηαι ἐφέστιος· οὐ γὰρ ἔγωγε
αἰνήσω βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν."
ὣς φάτο· τὴν δ' ἀμέγαρτον ἄχος λάβεν· ἀμφὶ δὲ πέπλον
ὀφθαλμοῖσι βαλοῦσα γόον χέεν, ὄφρά μιν ἥρως
χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε
δείματι παλλομένην· λεῖπον δ' ἄπο δώματα Κίρκης.
οὐ δ' ἄλοχον Κρονίδαο Διὸς λάθον· ἀλλά οἱ Ἶρις
πέφραδεν, εὖτ' ἐνόησεν ἀπο μεγάροιο κιόντας.
αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν, ὁππότε νῆα
στείχοιεν· τὸ καὶ αὖτις ἐποτρύνουσ' ἀγόρευεν
„Ἶρι φίλη, νῦν, εἴ ποτ' ἐμὰς ἐτέλεσσας ἐφετμάς,
εἰ δ' ἄγε λαιψηρῇσι μετοιχομένη πτερύγεσσιν
δεῦρο Θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
κείνης γὰρ χρειώ με κιχάνεται. αὐτὰρ ἔπειτα
ἐλθεῖν εἰς ἀκτάς, ὅθι τ' ἄκμονες Ἡφαίστοιο
χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν·
εἰπὲ δὲ κοιμῆσαι φύσας πυρός, εἰσόκεν Ἀργὼ
τάσγε παρεξελάσῃσιν. ἀτὰρ καὶ ἐς Αἴολον ἐλθεῖν,
Αἴολον, ὅστ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει·
καὶ δὲ τῷ εἰπέμεναι τὸν ἐμὸν νόον, ὥς κεν ἀήτας
πάντας ἀπολλήξειεν ὑπ' ἠέρι, μὴ δέ τις αὔρη
τρηχύνοι πέλαγος· ζεφύρου γε μὲν οὖρος ἀήτω,
ὄφρ' οἵγ' Ἀλκινόου Φαιηκίδα νῆσον ἵκωνται."
ὣς ἔφατ'· αὐτίκα δ' Ἶρις ἀπ' Οὐλύμποιο θοροῦσα
τέμνε, τανυσσαμένη κοῦφα πτερά. δῦ δ' ἐνι πόντῳ

Αἰγαίῳ, τόθι πέρ τε δόμοι Νηρῆος ἔασιν.
πρώτην δ' εἰσαφίκανε Θέτιν, καὶ ἐπέφραδε μῦθον
Ἥρης ἐννεσίῃς, ὦρσέν τέ μιν εἰς ἓ νέεσθαι.
δεύτερα δ' εἰς Ἥφαιστον ἐβήσατο· παῦσε δὲ τόνγε
ῥίμφα σιδηρείων τυκίδων· ἔσχοντο δ' ἀυτμῆς
αἰθαλέοι πρηστῆρες. ἀτὰρ τρίτον εἰσαφίκανεν
Αἴολον Ἱππότεω παῖδα κλυτόν. ὄφρα δὲ καὶ τῷ
ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο,
τόφρα Θέτις Νηρῆα κασιγνήτας τε λιποῦσα
ἐξ ἁλὸς οὔλυμπον δὲ θεὰν μετεκίαθεν Ἥρην·
ἡ δέ μιν ἄσσον ἑοῖο παρεῖσέ τε, φαῖνέ τε μῦθον
„κέκλυθι νῦν, Θέτι δῖα, τά τοι ἐπιέλδομ' ἐνισπεῖν.
οἶσθα μέν, ὅσσον ἐμῇσιν ἐνι φρεσὶ τίεται ἥρως
Αἰσονίδης οἵ δ' ἄλλοι ἀοσσητῆρες ἀέθλου,
οἵῃ τέ σφ' ἐσάωσα δια πλαγκτὰς περόωντας
πέτρας, ἔνθα πάρος δειναὶ βρομέουσι θύελλαι,
κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσιν.
νῦν δὲ παρα Σκύλλης σκόπελον μέγαν ἠδὲ Χάρυβδιν
δεινὸν ἐρευγομένην δέχεται ὁδός. ἀλλά σε γὰρ δὴ
ἐξέτι νηπυτίης αὐτὴ τρέφον ἠδ' ἀγάπησα
ἔξοχον ἀλλάων, αἵτ' εἰν ἁλὶ ναιετάουσιν,
οὕνεκεν οὐκ ἔτλης εὐνῇ Διὸς ἱεμένοιο
λέξασθαι. κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν,
ἠὲ συν ἀθανάταις ἠὲ θνητῇσιν ἰαύειν.
ἀλλ' ἐμέ τ' αἰδομένη καὶ ἐνι φρεσὶ δειμαίνουσα
ἠλεύω· ὃ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσεν,
μήποτέ σ' ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν.
ἔμπης δ' οὐ μεθίεσκεν ὀπιπτεύων ἀέκουσαν,
εἰσότε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα,
ὡς δή τοι πέπρωται ἀμείνονα πατρὸς ἑοῖο
παῖδα τεκεῖν· τῶ καί σε λιλαιόμενος μεθέηκεν,
δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι

ἀθανάτων, ἀλλ' αἰὲν ἑὸν κράτος εἰρύοιτο.
αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
δῶκά τοι, ὄφρα γάμου θυμηδέος ἀντιάσειας,
τέκνά τε φιτύσαιο· θεοὺς δ' εἰς δαῖτα κάλεσσα
πάντας ὁμῶς· αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
νυμφίδιον, κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
ἀλλ' ἄγε καί τινά τοι νημερτέα μῦθον ἐνίψω.
εὖτ' ἂν ἐς Ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
ὃν δὴ νῦν Χείρωνος ἐν ἤθεσι Κενταύροιο
νηιάδες κομέουσι, τεοῦ λίπτοντα γάλακτος,
χρειώ μιν κούρης πόσιν ἔμμεναι Αἰήταο
Μηδείης· σὺ δ' ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα,
ἠδ' αὐτῷ Πηλῆι. τί τοι χόλος ἐστήρικται;
ἀάσθη. καὶ γάρ τε θεοὺς ἐπινείσεται ἄτη.
ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς Ἥφαιστον ὀίω
λωφήσειν πρήσοντα πυρὸς μένος, Ἱπποτάδην δὲ
Αἴολον ὠκείας ἀνέμων ἄικας ἐρύξειν,
νόσφιν ἐυσταθέος ζεφύρου, τείως κεν ἵκωνται
Φαιήκων λιμένας· σὺ δ' ἀκηδέα μήδεο νόστον.
δεῖμα δέ τοι πέτραι καὶ ὑπέρβια κύματ' ἔασιν
μοῦνον, ἅ κεν τρέψαιο κασιγνήτῃσι συν ἄλλαις.
μὴ δὲ σύγ' ἠὲ Χάρυβδιν ἀμηχανέοντας ἐάσῃς
ἐςβαλέειν, μὴ πάντας ἀναβρόξασα φέρῃσιν,
ἠὲ παρα Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι,
Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκῳ
νυκτιπόλος Ἑκάτη, τήντε κλείουσι Κράταιιν,
μήπως σμερδαλέῃσιν ἐπαΐξασά γένυσσιν
λεκτοὺς ἡρώων δηλήσεται. ἀλλ' ἔχε νῆα
κεῖσ', ὅθι περ τυτθή γε παραίβασις ἔσσετ' ὀλέθρου."
ὣς φάτο· τὴν δὲ Θέτις τοίῳ προσελέξατο μύθῳ
„εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠδὲ θύελλαι
ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦ τ' ἂν ἔγωγε

θαρσαλέη φαίην καὶ κύματος ἀντιόωντος
νῆα σαωσέμεναι, ζεφύρου λίγα κινυμένοιο.
ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν,
ὄφρα κασιγνήτας μετελεύσομαι, αἵ μοι ἀρωγοὶ
ἔσσονται, καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται,
ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι."
ἦ καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
κυανέου πόντοιο· κάλει δ' ἐπαμυνέμεν ἄλλας
αὐτοκασιγνήτας Νηρηίδας· αἳ δ' ἀίουσαι
ἤντεον ἀλλήλῃσι· Θέτις δ' ἀγόρευεν ἐφετμὰς
Ἥρης· αἶψα δ' ἴαλλε μετ' Αὐσονίην ἅλα πάσας.
αὐτὴ δ' ὠκυτέρη ἀμαρύγματος ἠὲ βολάων
ἠελίου, ὅτ' ἄνεισι περαίης ὑψόθι γαίης,
σεύατ' ἴμεν λαιψηρὰ δι' ὕδατος, ἔςτ' ἀφίκανεν
ἀκτὴν Αἰαίην Τυρσηνίδος ἠπείροιο.
τοὺς δ' εὗρεν παρα νηὶ σόλῳ ῥιπῇσί τ' ὀιστῶν
τερπομένους· ἣ δ' ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
Αἰακίδεω Πηλῆος· ὃ γάρ ῥά οἱ ἦεν ἀκοίτης —
οὐ δέ τις εἰσιδέειν δύνατ' ἔμπεδον· ἀλλ' ἄρα τῷγε
οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο, φώνησέν τε
„μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες·
ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηός,
Ἥρῃ πειθόμενοι ἐπαρηγόνι. τῆς γὰρ ἐφετμῇς
πασσυδίῃ κοῦραι Νηρηίδες ἀντιόωσιν
νῆα διεκ πέτρας, αἵτε Πλαγκταὶ καλέονται,
ῥυσόμεναι. κείνη γὰρ ἐναίσιμος ὔμμι κέλευθος.
ἀλλὰ σὺ μήτῳ ἐμὸν δείξῃς δέμας, εὖτ' ἂν ἴδηαι
ἀντομένην συν τῇσι· νόῳ δ' ἔχε, μή με χολώσῃς
πλεῖον ἔτ', ἢ τὸ πάροιθεν ἀπηλεγέως ἐχόλωσας."
ἦ, καὶ ἔπειτ' ἀίδηλος ἐδύσατο βένθεα πόντου·
τὸν δ' ἄχος αἰνὸν ἔτυψεν, ἐπεὶ πάρος οὐκέτ' ἰοῦσαν
ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνὴν

χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
ἣ μὲν γὰρ βροτέας αἰεὶ περι σάρκας ἔδαιεν
νύκτα δια μέσσην φλογμῷ πυρός· ἤματα δ' αὖτε
ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
ἀθάνατος, καί οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι.
αὐτὰρ ὅγ' ἐξ εὐνῆς ἀναπάλμενος εἰσενόησεν
παῖδα φίλον σπαίροντα δια φλογός, ἧκε δ' ἀυτὴν
σμερδαλέην ἐσιδὼν, μέγα νήπιος· ἣ δ' ἀίουσα
τὸν μὲν ἄρ ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα,
αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας, ἠΰτ' ὄνειρος,
βῆ ῥ' ἴμεν ἐκ μεγάροιο θοῶς, καὶ ἐσήλατο πόντον
χωσαμένη· μετὰ δ' οὔτι παλίσσυτος ἵκετ' ὀπίσσω.
τῷ μὲν ἀμηχανίη δῆσεν φρένας· ἀλλὰ καὶ ἔμπης
πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.
οἳ δ' ἄρα μεσσηγὺς λῆξαν καὶ ἔπαυσαν ἀέθλους
ἐσσυμένως, δόρπον τε χαμεύνας τ' ἀμφεπένοντο,
τῆς ἔνι δαισάμενοι νύκτ' ἄεσαν, ὡς τὸ πάροιθεν.
ἦμος δ' ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν Ἠώς,
δὴ τότε λαιψηροῖο κατηλυσίῃ ζεφύροιο
βαῖνον ἐπι κληῖδας ἀπο χθονός· ἐκ δὲ βυθοῖο
εὐναίας εἷλκον περιγηθέες, ἄλλά τε πάντα
ἅρμενα μηρύοντο κατα χρέος· ὕψι δὲ λαῖφος
εἴρυσσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
νῆα δ' ἐυκραὴς ἄνεμος φέρεν. αἶψα δὲ νῆσον
καλὴν ἀνθεμόεσσαν ἐσέδρακον, ἔνθα λίγειαι
Σειρῆνες σίνοντ' Ἀχελωίδες, ἡδείῃσιν
θέλγουσαι μολπῇσιν, ὅτις παρα πεῖσμα βάλοιτο.
τὰς μὲν ἄρ εὐειδὴς Ἀχελωίῳ εὐνηθεῖσα
γείνατο Τερψιχόρη, Μουσέων μία· καί ποτε Δηοῦς
θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσαίνεσκον
ἄμμιγα μελπόμεναι· τότε δ' ἄλλο μὲν οἰωνοῖσιν,
ἄλλο δ' παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.

αἰεὶ δ᾽ εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς
ἢ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἕλοντο,
τηκεδόνι φθινύθουσαι· ἀπηλεγέως δ᾽ ἄρα καὶ τοῖς
ἵεσαν ἐκ στομάτων ὄπα λείριον. οἳ δ᾽ ἄπο νηὸς
ἤδη πείσματ᾽ ἔμελλεν ἐπ᾽ ἠιόνεσσι βαλέσθαι,
εἰ μὴ ἄρ Οἰάγροιο πάις Θρηίκιος Ὀρφεὺς
Βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας
κραιπνὸν ἐυτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς,
ὄφρ᾽ ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
κρεγμῷ· παρθενίην δ᾽ ἐνοπὴν ἐβιήσατο φόρμιγξ.
νῆα δ᾽ ὁμοῦ ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
πρυμνόθεν ὀρνύμενον· ταὶ δ᾽ ἄκριτον ἵεσαν αὐδήν.
ἀλλὰ καὶ ὧς Τελέοντος ἐὺς πάις, οἶος ἑταίρων
προφθάμενος, ξεστοῖο κατα ζυγοῦ ἔνθορε πόντῳ
Βούτης, Σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς·
νῆχε δὲ πορφυρέοιο δι᾽ οἴδματος, ὄφρ᾽ ἐπιβαίη,
σχέτλιος. ἦ τέ οἱ αἶψα κατ᾽ αὐτόθι νόστον ἀπηύρων.
ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
Κύπρις ἔτ᾽ ἐν δίναις ἀνερέψατο, καί ῥ᾽ ἐσάωσεν
πρόφρων ἀντομένη Λιλυβηίδα ναιέμεν ἄκρην.
οἳ δ᾽ ἄχεϊ σχόμενοι τὰς μὲν λίπον, ἄλλα δ᾽ ὄπαζον
κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
τῇ μὲν γὰρ Σκύλλης λισσὴ προυφαίνετο πέτρη·
τῇ δ᾽ ἄμοτον βοάασκεν ἀναβλύζουσα Χάρυβδις·
ἄλλοθι δὲ Πλαγκταὶ μεγάλῳ ὕπο κύματι πέτραι
ῥόχθεον, ᾗχι πάροιθεν ἀπέπτυεν αἰθομένη φλὸξ
ἄκρων ἐκ σκοπέλων, πυριθαλπέος ὑψόθι πέτρης.
καπνῷ δ᾽ ἀχλυόεις αἰθὴρ πέλεν· οὐ δέ κεν αὐγὰς
ἔδρακες ἠελίοιο. τότ᾽ αὖ λήξαντος ἀπ᾽ ἔργων
Ἡφαίστου θερμὴν ἔτι κήκιε πόντος ἀυτμήν.
ἔνθά σφιν κοῦραι Νηρηίδες ἄλλοθεν ἄλλαι
ἤντεον· ἡ δ᾽ ὄπιθεν πτερύγος θίγε πηδαλίοιο

δειδέχατ' ἀσπασίως· ἐπι δέ σφισι καγχαλάασκεν
πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπι παισὶ γάνυσθαι.
καὶ δ' αὐτοὶ ἥρωες ἀνα πληθὺν κεχάροντο,
τῷ ἴκελοι, οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
Αἱμονίῃ. μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι·
ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
Κόλχων, οἳ Πόντοιο κατα στόμα καὶ δια πέτρας
Κυανέας μαστῆρες ἀριστήων ἐπέρησαν.
Μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
ἵεντ' ἀπροφάτως, ἠὲ στονόεσσαν ἀυτὴν
νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
αὖθί τε καὶ μετέπειτα συν Αἰήταο κελεύθῳ.
ἀλλά σφεας κατέρυκεν ἐπειγομένους πολέμοιο
κρείων Ἀλκίνοος. λελίητο γὰρ ἀμφοτέροισιν
δηιοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.
κούρη δ' οὐλομένῳ ὑπο δείματι πολλὰ μὲν αὐτοὺς
Αἰσονίδεω ἑτάρους μειλίσσετο, πολλὰ δὲ χερσὶν
Ἀρήτης γούνων ἀλόχου θίγεν Ἀλκινόοιο
„γουνοῦμαι, βασίλεια· σὺ δ' ἵλαθι, μὴ δέ με Κόλχοις
ἐκδώῃς ᾧ πατρὶ κομιζέμεν, εἴ νυ καὶ αὐτὴ
ἀνθρώπων γενεῆς μία φέρβεαι, οἷσιν ἐς ἄτην
ὠκύτατος κούφαισι θέει νόος ἀμπλακίῃσιν.
ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες, οὐ μὲν ἕκητι
μαργοσύνης. ἴστω δ' ἱερὸν φάος Ἠελίοιο,
ἴστω νυκτιπόλου Περσηίδος ὄργια κούρης·
μὴ μὲν ἐγὼν ἐθέλουσα συν ἀνδράσιν ἀλλοδαποῖσιν
κεῖθεν ἀφωρμήθην· στυγερὸν δέ με τάρβος ἔπεισεν
τῆςγε φυγῆς μνήσασθαι, ὅτ' ἤλιτον· οὐ δέ τις ἄλλη
μῆτις ἔην. ἔτι μοι μίτρη μένει, ὡς ἐνι πατρὸς
δώμασιν, ἄχραντος καὶ ἀκήρατος. ἀλλ' ἐλέαιρε,
πότνα, τεόν τε πόσιν μειλίσσεο· σοὶ δ' ὀπάσειαν
ἀθάνατοι βίοτόν τε τελεσφόρον ἀγλαΐην τε

καὶ παῖδας καὶ κῦδος ἀπορθήτοιο πόληος."
τοῖα μὲν Ἀρήτην γουνάζετο δάκρυ χέουσα·
τοῖα δ' ἀριστήων ἐναμοιβαδὶς ἄνδρα ἕκαστον
„ὑμέων, ὦ περὶ δὴ μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις
ὧν κάμον ὑμετέροισιν, ἀτύζομαι· ἧς ἰότητι
ταύρους τ' ἐζεύξασθε, καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
κείρετε γηγενέων· ἧς εἵνεκεν Αἱμονίην δὲ
χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες.
ἥδ' ἐγώ, ἣ πάτρην τε καὶ οὓς ὤλεσσα τοκῆας,
ἣ δόμον, ἣ σύμπασαν ἐυφροσύνην βιότοιο·
ὔμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖτις
ἤνυσα· καὶ γλυκεροῖσιν ἔτ' εἰσόψεσθε τοκῆας
ὄμμασιν· αὐτὰρ ἐμοὶ ἄπο δὴ βαρὺς εἵλετο δαίμων
ἀγλαΐας· στυγερὴ δὲ συν ὀθνείοις ἀλάλημαι.
δείσατε συνθεσίας τε καὶ ὅρκια, δείσατ' Ἐρινὺν
Ἱκεσίην, νέμεσίν τε θεῶν, εἰς χεῖρας ἰοῦσαν
Αἰήτεω λώβῃ πολυπήμονι δῃωθῆναι.
οὐ νηούς, οὐ πύργον ἐπίρροθον, οὐκ ἀλεωρὴν
ἄλλην, οἰόθι δὲ προτιβάλλομαι ὑμέας αὐτούς.
σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες· οὐ δ' ἐνι θυμῷ
αἰδεῖσθε ξείνης μ' ἐπι γούνατα χεῖρας ἀνάσσης
δερκόμενοι τείνουσαν ἀμήχανον· ἀλλά κε πᾶσιν,
κῶας ἑλεῖν μεμαῶτες, ἐμίξατε δούρατα Κόλχοις
αὐτῷ τ' Αἰήτῃ ὑπερήνορι· νῦν δὲ λάθεσθε
ἠνορέης, ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν."
ὣς φάτο λισσομένη· τῶν δ' ὅντινα γουνάζοιτο,
ὅς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσιν,
φάσγανά τ' ἐκ κολεῶν· οὐ δὲ σχήσεσθαι ἀρωγῆς
ἔννεπον, εἴ κε δίκης ἀλιτήμονος ἀντιάσειαν.
στρευγομένοις δ' ἀν' ὅμιλον ἐπήλυθεν εὐνήτειρα
Νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν

γαῖαν ὁμῶς· τὴν δ' οὔτι μίνυνθά περ εὔνασεν ὕπνος
ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἱλίσσετο θυμός.
οἷον ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
ἐννυχίη· τῇ δ' ἀμφι κινύρεται ὀρφανὰ τέκνα
χηροσύνῃ πόσιος· σταλάει δ' ὑπο δάκρυ παρειὰς
μυρομένης, οἵη μιν ἐπι σμυγερὴ λάβεν αἶσα·
ὣς τῆς ἰκμαίνοντο παρηίδες· ἐν δέ οἱ ἦτορ
ὀξείῃς εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσιν.
Τὼ δ' ἔντοσθε δόμοιο κατα πτόλιν, ὡς τὸ πάροιθεν,
κρείων Ἀλκίνοος πολυπότνιά τ' Ἀλκινόοιο
Ἀρήτη ἄλοχος, κούρης πέρι μητιάασκον
οἷσιν ἐνι λεχέεσσι δια κνέφας· οἷα δ' ἀκοίτην
κουρίδιον θαλεροῖσι δάμαρ προςπτύσσετο μύθοις
„ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο Κόλχων
παρθενικήν, Μινύαισι φέρων χάριν· ἐγγύθι δ' Ἄργος
ἡμετέρης νήσοιο καὶ ἀνέρες Αἱμονιῆες·
Αἰήτης δ' οὔτ' ἂρ ναίει σχεδόν, οὐ δέ τι ἴδμεν
Αἰήτην, ἀλλ' οἷον ἀκούομεν· ἥδε δὲ κούρη
αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν ἀντιόωσα.
μή μιν, ἄναξ, Κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι.
ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκεν
φάρμακά οἱ· σχεδόθεν δὲ κακῷ κακόν, οἷά τε πολλὰ
ῥέζομεν ἀμπλακίῃσιν, ἀκειομένη ὑπάλυξεν
πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. αὐτὰρ Ἰήσων,
ὡς ἀίω, μεγάλοισιν ἐνίσχεται ἐξ ἕθεν ὅρκοις,
κουριδίην θήσεσθαι ἐνι μεγάροισιν ἄκοιτιν.
τῶ, φίλε, μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὀμόσσαι
θείῃς Αἰσονίδην, μήτ' ἄσχετα σεῖο ἕκητι
παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
λίην γὰρ δύςζηλοι ἑαῖς ἐπι παισὶ τοκῆες·
οἷα μὲν Ἀντιόπην εὐώπιδα μήσατο Νυκτεύς·
οἷα δὲ καὶ Δανάη πόντῳ ἔνι πήματ' ἀνέτλη,

πατρὸς ἀτασθαλίῃσι· νέον γε μέν, οὐ δ' ἀπὸ τηλοῦ,
ὑβριστὴς Ἔχετος γλήναις ἐνὶ χάλκεα κέντρα
πῆξε θυγατρὸς ἑῆς· στονόεντι δὲ κάρφεται οἴτῳ
ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ.“
ὣς ἔφατ' ἀντομένη· τοῦ δὲ φρένες ἰαίνοντο
ἧς ἀλόχου μύθοισιν, ἔπος δ' ἐπὶ τοῖον ἔειπεν
„Ἀρήτη, καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
Κόλχους, ἡρώεσσι φέρων χάριν, εἵνεκα κούρης.
ἀλλὰ Διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι.
οὐ δὲ μὲν Αἰήτην ἀθεριξέμεν, ὡς ἀγορεύεις,
λώιον· οὐ γάρ τις βασιλεύτερος Αἰήταο.
καί κ' ἐθέλων, ἕκαθέν περ, ἐφ' Ἑλλάδι νεῖκος ἄγοιτο.
τῶ μ' ἐπέοικε δίκην, ἥτις μετὰ πᾶσιν ἀρίστη
ἔσσεται ἀνθρώποισι, δικαζέμεν· οὐ δέ σε κεύσω.
παρθενικὴν μὲν ἐοῦσαν, ἑῷ ἀπὸ πατρὶ κομίσσαι
ἰθύνω· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὔ μιν ἑοῦ πόσιος νοσφίσσομαι· οὐ δέ, γενέθλην
εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει, δήιοισιν ὀπάσσω.“
ὣς ἄρ ἔφη· καὶ τὸν μὲν ἐπισχεδὸν εὔνασεν ὕπνος.
ἣ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'· αὐτίκα δ' ὦρτο
ἐκ λεχέων ἀνὰ δῶμα· συνήιξαν δὲ γυναῖκες
ἀμφίπολοι, δέσποιναν ἑὴν μεταποιπνύουσαι.
σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν,
ᾗσιν ἐπιφροσύνῃσιν ἐποτρυνέουσα μιγῆναι
Αἰσονίδην κούρῃ, μηδ' Ἀλκίνοον βασιλῆα
λίσσεσθαι· τὸ γὰρ αὐτὸς ἰὼν Κόλχοισι δικάσσει,
παρθενικὴν μὲν ἐοῦσαν, ἑοῦ ποτὶ δώματα πατρὸς
ἐκδώσειν· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὐκέτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
ὣς ἄρ ἔφη· τὸν δ' αἶψα πόδες φέρον ἐκ μεγάροιο,
ὥς κεν Ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
Ἀρήτης, βουλάς τε θεουδέος Ἀλκινόοιο.

*τοὺς δ' εὗρεν παρα νηὶ συν ἔντεσιν ἐγρήσσοντας*
*Ὑλλικῷ ἐν λιμένι, σχεδὸν ἄστεος· ἐκ δ' ἄρα πᾶσαν*
*πέφραδεν ἀγγελίην· γήθησε δὲ θυμὸς ἑκάστου*
*ἡρώων· μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.*
*αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν*
*ἣ θέμις, εὐαγέως ἐπιβώμια μῆλ' ἐρύσαντες,*
*αὐτονυχὶ κούρῃ θαλαμήιον ἔντυον εὐνὴν*
*ἄντρῳ ἐν ἠγαθέῳ, τόθι δή ποτε Μάκρις ἔναιεν,*
*κούρη Ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων*
*ἔργα πολυκμήτοιό τ' ἀνεύρατο πῖαρ ἐλαίης.*
*κείνη δὴ πάμπρωτα Διὸς Νυσήιον υἷα*
*Εὐβοίης ἔντοσθεν Ἀβαντίδος ᾧ ἐνι κόλπῳ*
*δέξατο, καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν,*
*εὖτέ μιν Ἑρμείας φέρεν ἐκ πυρός· ἔδρακε δ' Ἥρη,*
*καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.*
*ἣ δ' ἄρα Φαιήκων ἱερῷ ἐνι τηλόθεν ἄντρῳ*
*νάσσατο, καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.*
*ἔνθα τότ' ἐστόρεσαν λέκτρον μέγα· τοῖο δ' ὕπερθεν*
*χρύσεον αἰγλῆεν κῶας βάλον, ὄφρα πέλοιτο*
*τιμήεις τε γάμος καὶ ἀοίδιμος. ἄνθεα δέ σφιν*
*νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνι ποικίλα κόλποις*
*ἐσφόρεον· πάσας δὲ πυρὸς ὡς ἄμφεπεν αἴγλη·*
*τοῖον ἀπο χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.*
*δαῖε δ' ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον· ἴσχε δ' ἑκάστην*
*αἰδὼς ἱεμένην περ ὅμως ἐπι χεῖρα βαλέσθαι.*
*αἳ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγατρες·*
*αἳ δ' ὄρεος κορυφὰς Μελιτηίου ἀμφενέμοντο·*
*αἳ δ' ἔσαν ἐκ πεδίων ἀλσηίδες. ὦρσε γὰρ αὐτὴ*
*Ἥρη Ζηνὸς ἄκοιτις, Ἰήσονα κυδαίνουσα.*
*κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κληίζεται ἄντρον*
*Μηδείης, ὅθι τούσγε συν ἀλλήλοισιν ἔμιξαν*

τεινάμεναι ἑανοὺς εὐώδεας. οἱ δ' ἐνὶ χερσὶν
δούρατα νωμήσαντες ἀρήια, μὴ πρὶν ἐς ἀλκὴν
δυσμενέων ἀίδηλος ἐπιβρίσειεν ὅμιλος,
κράατα δ' εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσσιν,
ἐμμελέως, Ὀρφῆος ὕπαι λίγα φορμίζοντος
νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῇσιν ἄειδον.
οὐ μὲν ἐν Ἀλκινόοιο γάμον μενέαινε τελέσσαι
ἥρως Αἰσονίδης, μεγάροις δ' ἐνὶ πατρὸς ἑοῖο,
νοστήσας ἐς Ἰωλκὸν ὑπότροπος· ὣς δὲ καὶ αὐτὴ
Μήδεια φρονέεσκε. τότ' αὖ χρεὼ ἦγε μιγῆναι.
ἀλλὰ γὰρ οὔποτε φῦλα δυηπαθέων ἀνθρώπων
τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί· σὺν δέ τις αἰεὶ
πικρὴ παρμέμβλωκεν ἐυφροσύνῃσιν ἀνίη.
τῶ καὶ τοὺς γλυκερῇ περ ἰαινομένους φιλότητι
δεῖμ' ἔχεν, εἰ τελέοιτο διάκρισις Ἀλκινόοιο.
Ἠὼς δ' ἀμβροσίοισιν ἀνερχομένη φαέεσσιν
λῦε κελαινὴν νύκτα δι' ἠέρος· αἱ δ' ἐγέλασσαν
ἠιόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
ἀτραπιτοὶ πεδίων· ἐν δὲ θρόος ἔσκεν ἀγυιαῖς·
κίνυντ' ἐνναέται μὲν ἀνὰ πτόλιν, οἱ δ' ἀπὸ τηλοῦ
Κόλχοι Μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
αὐτίκα δ' Ἀλκίνοος μετεβήσατο συνθεσίῃσιν
ὃν νόον ἐξερέων κούρης ὕπερ· ἐν δ' ὅγε χειρὶ
σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον, ᾧ ὕπο λαοὶ
ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
τῷ δὲ καὶ ἑξείης πολεμήια τεύχεα δύντες
Φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
βαῖνον ἐποψόμεναι· σὺν δ' ἀνέρες ἀγροιῶται
ἤντεον εἰσαΐοντες, ἐπεὶ νημερτέα βάξιν
Ἥρη ἐπιπροέηκεν. ἄγεν δ' ὃ μὲν ἔκκριτον ἄλλων
ἀρνειὸν μήλων, ὃ δ' ἀεργηλὴν ἔτι πόρτιν·

ἄλλοι δ' ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
κίρνασθαι· θυέων δ' ἄπο τηλόθι κήκιε λιγνύς.
αἳ δὲ πολυκμήτους ἑανοὺς φέρον, οἷα γυναῖκες,
μείλιά τε χρυσοῖο, καὶ ἀλλοίην ἐπι τοῖσιν
ἀγλαΐην, οἵην τε νεοζυγέες ἐντύνονται·
θάμβευν δ' εἰσορόωσαι ἀριπρεπέων ἡρώων
εἴδεα καὶ μορφάς, ἐν δέ σφισιν Οἰάγροιο
υἱὸν ὑπαι φόρμιγγος ἐυκρέκτου καὶ ἀοιδῆς
ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιτο γάμοιο,
ἱμερόενθ' Ὑμέναιον ἀνήπυον· ἄλλοτε δ' αὖτε
οἰόθεν οἶαι ἄειδον ἑλισσόμεναι περι κύκλον,
Ἥρη, σεῖο ἕκητι· σὺ γὰρ καὶ ἐπι φρεσὶ θῆκας
Ἀρήτης, πυκινὸν φάσθαι ἔπος Ἀλκίνοον δέ.
αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα δίκης ἀνα πείρατ' ἔειπεν
ἰθείης, ἤδη δὲ γάμου τέλος ἐκλήιστο,
ἔμπεδον ὣς ἀλέγυνε διαμπερές· οὐ δέ ἑ τάρβος
οὐλοόν, οὐ δὲ βαρεῖαι ἐπήλυθον Αἰήταο
μήνιες, ἀρρήκτοισι δ' ἐνιζεύξας ἔχεν ὅρκοις.
τῷ καὶ ὅτ' ἠλεμάτως Κόλχοι μάθον ἀντιόωντες,
καί σφεας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν,
ἢ λιμένων γαίης τ' ἄπο τηλόθι νῆας ἐέργειν,
δὴ τότε δὴ βασιλῆος ἑοῦ τρομέοντες ἐνιπὰς
δέχθαι μειλίξαντο συνήμονας· αὖθι δὲ νήσῳ
δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον,
εἰσότε Βακχιάδαι, γενεὴν Ἐφύρηθεν ἐόντες
ἀνέρες, ἐννάσσαντο μετα χρόνον· οἳ δὲ περαίην
νῆσον ἔβαν· κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
οὔρεα Νεσταίους τε καὶ Ὠρικὸν εἰσαφικέσθαι·
ἀλλὰ τὰ μὲν στείχοντος ἄδην αἰῶνος ἐτύχθη.
Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται
καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος

βωμοί, τοὺς Μήδεια καθίσσατο. πολλὰ δ' ἰοῦσιν
Ἀλκίνοος Μινύαις ξεινήια, πολλὰ δ' ὄπασσεν
Ἀρήτη· μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
Μηδείῃ δμωὰς Φαιηκίδας ἐκ μεγάροιο.
ἤματι δ' ἑβδομάτῳ Δρεπάνην λίπον· ἤλυθε δ' οὖρος
ἀκραὴς ἠῶθεν ὑπεκ Διός· οἳ δ' ἀνέμοιο
πνοιῇ ἐπειγόμενοι προτέρω θέον. ἀλλὰ γὰρ οὔπω
αἴσιμον ἦν ἐπιβῆναι Ἀχαιίδος ἡρώεσσιν,
ὄφρ' ἔτι καὶ Λιβύης ἐπι πείρασιν ὀτλήσειαν.
ἤδη μέν ποθι κόλπον ἐπώνυμον Ἀμβρακιήων,
ἤδη Κουρῆτιν ἔλιπον χθόνα πεπταμένοισιν
λαίφεσι καὶ στεινὰς αὐταῖς συν Ἐχινάσι νήσους
ἑξείης, Πέλοπος δὲ νέον κατεφαίνετο γαῖα·
καὶ τότ' ἀναρπάγδην ὀλοὴ βορέαο θύελλα
μεσσηγὺς πέλαγος δὲ Λιβυστικὸν ἐννέα πάσας
νύκτας ὁμῶς καὶ τόσσα φέρ' ἤματα, μέχρις ἵκοντο
προπρὸ μάλ' ἔνδοθι Σύρτιν, ὅθ' οὐκέτι νόστος ὀπίσσω
νηυσὶ πέλει, ὅτε τόνγε βιῴατο κόλπον ἱκέσθαι.
πάντῃ γὰρ τέναγος, πάντῃ μνιόεντα βυθοῖο
τάρφεα· κωφὴ δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη·
ἠερίη δ' ἄμαθος παρακέκλιται· οὐ δέ τι κεῖσε
ἑρπετόν, οὐ δὲ ποτητὸν ἀείρεται. ἔνθ' ἄρα τούςγε
πλημυρίς — καὶ γάρ τ' ἀναχάζεται ἠπείροιο
ἦ θαμὰ δὴ τόδε χεῦμα, καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
λάβρον ἐποιχόμενον — μυχάτῃ ἐνέωσε τάχιστα
ἠιόνι, τρόπιος δὲ μάλ' ὕδασι παῦρον ἔλειπτο.
οἳ δ' ἀπο νηὸς ὄρουσαν, ἄχος δ' ἕλεν εἰσορόωντας
ἠέρα καὶ μεγάλης νῶτα χθονός, ἠέρι δ' ἶσα
τηλοῦ ὑπερτείνοντα διηνεκές· οὐ δέ τιν' ἀρδμόν,
οὐ πάτον, οὐκ ἀπάνευθε κατηυγάσσαντο βοτήρων
αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
ἄλλος δ' αὖτ' ἄλλον τετιημένος ἐξερέεινεν

„τίς χθὼν εὔχεται ἥδε; πόθι ξυνέωσαν ἄελλαι
ἡμέας; αἴθ' ἔτλημεν, ἀφειδέες οὐλομένοιο
δείματος, αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι
πετράων. ἦτ' ἂν καὶ ὑπερ Διὸς αἶσαν ἰοῦσιν
βέλτερον ἦν μέγα δή τι μενοινώοντας ὀλέσθαι.
νῦν δὲ τί κεν ῥέξαιμεν, ἐρυκόμενοι ἀνέμοισιν
αὖθι μένειν τυτθόν περ ἐπι χρόνον; οἷον ἐρήμη
πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο."
ὣς ἄρ ἔφη· μετὰ δ' αὐτὸς ἀμηχανίῃ κακότητος
ἰθυντὴρ Ἀγκαῖος ἀκηχέμενος ἀγόρευσεν
„ὠλόμεθ' αἰνότατον δῆθεν μόρον, οὐ δ' ὑπάλυξις
ἔστ' ἄτης· πάρα δ' ἄμμι τὰ κύντατα πημανθῆναι
τῇδ' ὑπ' ἐρημαίῃ πεπτηότας, εἰ καὶ ἀῆται
χερσόθεν ἀμπνεύσειαν· ἐπεὶ τεναγώδεα λεύσσω
τῆλε περισκοπέων ἅλα πάντοθεν· ἤλιθα δ' ὕδωρ
ξαινόμενον πολιῇσιν ἐπιτροχάει ψαμάθοισιν.
καί κεν ἐπισμυγερῶς δια δὴ πάλαι ἥδε κεάσθη
νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω· ἀλλά μιν αὐτὴ
πλημυρὶς ἐκ πόντοιο μεταχρονίην ἐκόμισσεν.
νῦν δ' ἡ μὲν πέλαγος δὲ μετέσσυται, οἰόθι δ' ἅλμη
ἄπλοος εἱλεῖται, γαίης ὕπερ ὅσσον ἔχουσα.
τούνεκ' ἐγὼ πᾶσαν μὲν ἀπ' ἐλπίδα φημὶ κεκόφθαι
ναυτιλίης νόστου τε. δαημοσύνην δέ τις ἄλλος
φαίνοιεν· πάρα γάρ οἱ ἐπ' οἰήκεσσι θαάσσειν
μαιομένῳ κομιδῆς. ἀλλ' οὐ μάλα νόστιμον ἦμαρ
Ζεὺς ἐθέλει καμάτοισιν ἐφ' ἡμετέροισι τελέσσαι."
ὣς φάτο δακρυόεις· συν δ' ἔννεπον ἀσχαλόωντι
ὅσσοι ἔσαν νηῶν δεδαημένοι· ἐν δ' ἄρα πᾶσιν
παχνώθη κραδίη, χύτο δέ χλόος ἀμφι παρειάς.
οἷον δ' ἀψύχοισιν ἐοικότες εἰδώλοισιν
ἀνέρες εἱλίσσονται ἀνα πτόλιν, ἢ πολέμοιο
ἢ λοιμοῖο τέλος ποτιδέγμενοι, ἠέ τιν' ὄμβρον

ἄσπετον, ὅστε βοῶν κατα μυρία ἔκλυσεν ἔργα,
ἢ ὅτ' ἂν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα
αἵματι, καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται,
ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ' ἐπάγῃσιν
οὐρανόθεν, τὰ δὲ λαμπρὰ δι' ἠέρος ἄστρα φαείνοι·
ὣς τότ' ἀριστῆες δολιχοῦ πρόπαρ αἰγιαλοῖο
ἤλυον ἑρπύζοντες. ἐπήλυθε δ' αὐτίκ' ἐρεμνὴ
ἕσπερος· οἳ δ' ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες
δακρυόειν ἀγάπαζον, ἵν' ἄνδιχα δῆθεν ἕκαστος
θυμὸν ἀποφθίσειαν ἐνι ψαμάθοισι πεσόντες.
βὰν δ' ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἑλέσθαι·
ἐν δὲ κάρη πέπλοισι καλυψάμενοι σφετέροισιν
ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύκτ' ἔπι πᾶσαν
καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι. νόσφι δὲ κοῦραι
ἀθρόαι Αἰήταο παρεστενάχοντο θυγατρί.
ὡς δ' ὅτ' ἐρημαῖοι πεπτηότες ἔκτοθι πέτρης
χηραμοῦ ἀπτῆνες λιγέα κλάζουσι νεοσσοί·
ἢ ὅτε καλὰ νάοντος ἐπ' ὀφρύσι Πακτωλοῖο
κύκνοι κινήσουσιν ἑὸν μέλος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις βρέμεται, ποταμοῖό τε καλὰ ῥέεθρα·
ὣς αἳ ἐπι ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας
παννύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
καί νύ κεν αὐτοῦ πάντες ἀπο ζωῆς ἐλίασθεν
νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ' ἀέθλῳ·
ἀλλά σφεας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
ἡρῶσσαι, Λιβύης τιμήοροι, αἵ ποτ' Ἀθήνην,
ἦμος ὅτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
ἀντόμεναι Τρίτωνος ἐφ' ὕδασι χυτλώσαντο.
ἔνδιον ἦμαρ ἔην, περὶ δ' ὀξύταται θέρον αὐγαὶ
ἠελίου Λιβύην· αἳ δὲ σχεδὸν Αἰσονίδαο
ἔσταν, ἕλον δ' ἀπο χερσὶ καρήατος ἠρέμα πέπλον.

αὐτὰρ ὅγ᾽ εἰς ἑτέρωσε παλιμπετὲς ὄμματ᾽ ἔνεικεν,
δαίμονας αἰδεσθείς. αὐτὸν δέ μιν ἀμφαδὸν οἷον
μειλιχίοις ἐπέεσσιν ἀτυζόμενον προσέειπον
„κάμμορε, τίπτ᾽ ἔπι τόσσον ἀμηχανίῃ βεβόλησαι;
ἴδμεν ἐποιχομένους χρύσεον δέρος· ἴδμεν ἕκαστα
ὑμετέρων καμάτων, ὅσ᾽ ἔπι χθονός, ὅσσα τ᾽ ἐφ᾽ ὑγρὴν
πλαζόμενοι κατα πόντον ὑπέρβια ἔργα κάμεσθε.
οἰοπόλοι δ᾽ εἰμὲν χθόνιαι θεαὶ αὐδήεσσαι,
ἡρῷσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
ἀλλ᾽ ἄνα· μὴ δ᾽ ἔτι τοῖον ὀιζύων ἀκάχησο·
ἄνστησον δ᾽ ἑτάρους. εὖτ᾽ ἂν δέ τοι Ἀμφιτρίτη
ἅρμα Ποσειδάωνος ἐύτροχον αὐτίκα λύσῃ,
δή ῥα τότε σφετέρῃ ἀπο μητέρι τίνετ᾽ ἀμοιβὴν
ὧν ἔκαμεν δηρὸν κατα νηδύος ὔμμε φέρουσα·
καί κεν ἔτ᾽ ἠγαθέην ἐς Ἀχαιίδα νοστήσαιτε.“
ὣς ἄρ ἔφαν, καὶ ἄφαντοι ἵν᾽ ἔσταθεν, ἔνθ᾽ ἄρα ταίγε
φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν. αὐτὰρ Ἰήσων
παπτήνας ἀν᾽ ἄρ ἕζετ᾽ ἔπι χθονός, ὧδέ τ᾽ ἔειπεν
„ἵλατ᾽ ἐρημονόμοι κυδραὶ θεαί· ἀμφι δὲ νόστῳ
οὔτι μάλ᾽ ἀντικρὺ νοέω φάτιν. ἦ μὲν ἑταίρους
εἰς ἓν ἀγειράμενος μυθήσομαι, εἴ νύ τι τέκμωρ
δήοιμεν κομιδῆς· πολέων δέ τε μῆτις ἀρείων.“
ἦ, καὶ ἀναΐξας ἑτάρους ἐπι μακρὸν ἀύτει,
αὐσταλέος κονίῃσι, λέων ὥς, ὅς ῥά τ᾽ ἀν᾽ ὕλην
σύννομον ἣν μεθέπων ὠρύεται· αἱ δὲ βαρείῃ
φθογγῇ ὑποτρομέουσιν ἀν᾽ οὔρεα τηλόθι βῆσσαι·
δείματι δ᾽ ἄγραυλοί τε βόες μέγα πεφρίκασιν
βουπελάται τε βοῶν. τοῖς δ᾽ οὐ νύ τι γῆρυς ἐτύχθη
ῥιγεδανὴ ἑτάροιο φίλοις ἐπικεκλομένοιο.
ἀγχοῦ δ᾽ ἠγερέθοντο κατηφέες· αὐτὰρ ὁ τούςγε
ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
ἱδρύσας, μυθεῖτο πιφαυσκόμενος τὰ ἕκαστα

„κλῦτε, φίλοι· τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
αὐχένος ἀμφί τε νῶτα καὶ ἰξύας, ἠύτε κοῦραι,
ἔσταν ὑπερ κεφαλῆς μάλ' ἐπισχεδόν· ἂν δ' ἐκάλυψαν
πέπλον ἐρυσσάμεναι κούφῃ χερί, καί μ' ἐκέλοντο
αὐτόν τ' ἔγρεσθαι, ἀνά θ' ὑμέας ὄρσαι ἰόντα·
μητέρι δὲ σφετέρῃ μενοεικέα τῖσαι ἀμοιβὴν
ὧν ἔκαμεν δηρὸν κατα νηδύος ἄμμε φέρουσα,
ὁππότε κεν λύσῃσιν ἐύτροχον Ἀμφιτρίτη
ἅρμα Ποσειδάωνος. ἐγὼ δ' οὐ πάγχυ νοῆσαι
τῆσδε θεοπροπίης ἴσχω πέρι. φάν γε μὲν εἶναι
ἡρῷσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
καὶ δ' ὁπόσ' αὐτοὶ πρόσθεν ἐπι χθονὸς ἠδ' ὅσ' ἐφ' ὑγρὴν
ἔτλημεν, τὰ ἕκαστα διίδμεναι εὐχετόωντο.
οὐ δ' ἔτι τάσδ' ἀνα χῶρον ἐσέδρακον, ἀλλά τις ἀχλὺς
ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν."
    ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
ἔνθα τὸ μήκιστον τεράων Μινύαισιν ἐτύχθη.
ἐξ ἁλὸς ἤπειρον δὲ πελώριος ἔκθορεν ἵππος,
ἀμφιλαφής, χρυσέῃσι μετήορος αὐχένα χαίταις·
ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην
ὦρτο θέειν, πνοιῇ ἴκελος πόδας. αἶψα δὲ Πηλεὺς
γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα
„ἅρματα μὲν δὴ φημὶ Ποσειδάωνος ἔγωγε
ἤδη νῦν ἀλόχοιο φίλης ὑπο χερσὶ λελύσθαι·
μητέρα δ' οὐκ ἄλλην προτιόσσομαι, ἥ περ αὐτὴν
νῆα πέλειν· ἣ γὰρ κατα νηδύος ἄμμε φέρουσα
νωλεμὲς ἀργαλέοισιν ὀιζύει καμάτοισιν.
ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
ὑψόθεν ἀνθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης
οἴσομεν, ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος.

οὐ γὰρ ὅγε ξηρὴν ὑποδύσεται· ἴχνια δ' ἡμῖν
σημανέειν τίν' ἔολπα μυχὸν καθύπερθε θαλάσσης."
ὣς ηὔδα· πάντεσσι δ' ἐπήβολος ἥνδανε μῆτις.
Μουσάων ὅδε μῦθος· ἐγὼ δ' ὑπακουὸς ἀείδω
Πιερίδων, καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφήν,
ὑμέας, ὦ περὶ δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
ᾗ βίῃ, ᾗ τ' ἀρετῇ Λιβύης ἀνὰ θῖνας ἐρήμους
νῆα μεταχρονίην ὅσα τ' ἔνδοθι νηὸς ἄγεσθε,
ἀνθεμένους ὤμοισι φέρειν δυοκαίδεκα πάντα
ἤμαθ' ὁμοῦ νύκτας τε. δύην γε μὲν ἢ καὶ ὀιζὺν
τίς κ' ἐνέποι, τὴν κεῖνοι ἀνέπλησαν μογέοντες;
ἔμπεδον ἀθανάτων ἔσαν αἵματος, οἷον ὑπέσταν
ἔργον, ἀναγκαίῃ βεβιημένοι. αὐτὰρ ἐπιπρὸ
τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης
ὣς φέρον, ὣς εἰςβάντες ἄπο στιβαρῶν θέσαν ὤμων.
λυσσαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀίσσοντες
πίδακα μαστεύεσκον· ἐπὶ ξηρὴ γὰρ ἔκειτο
δίψα δυηπαθίῃ τε καὶ ἄλγεσιν. οὐδ' ἐμάτησαν
πλαζόμενοι· ἷξον δ' ἱερὸν πέδον, ᾧ ἔνι Λάδων
εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
χώρῳ ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ νύμφαι
Ἑσπερίδες ποίπνυον, ἐφίμερον ἀείδουσαι.
δὴ τότε δ' ἤτοι, τῆμος ὑφ' Ἡρακλῆι δαϊχθείς,
μήλειον βέβλητο ποτὶ στύπος· οἰόθι δ' ἄκρῃ
οὐρῇ ἔτι σκαίρεσκεν· ἄπο κρατὸς δὲ κελαινὴν
ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος· ἐκ δὲ λιπόντων
ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀιστῶν
μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι πορσαίνοντο.
ἀγχοῦ δ' Ἑσπερίδες κεφαλαῖς ἔπι χεῖρας ἔχουσαι
ἀργυφέας ξανθῇσι λίγ' ἔστενον· οἱ δ' ἐπέλασσαν
ἄφνω ὁμοῦ· ταὶ δ' αἶψα κόνις καὶ γαῖα, κιόντων
ἐσσυμένως, ἐγένοντο κατ' αὐτόθι. νώσατο δ' Ὀρφεὺς

θεῖα τέρα, τὰς δέ σφι παρηγορέεσκε λιτῆσιν
„δαίμονες ὦ καλαὶ καὶ ἐύφρονες, ἵλατ', ἄνασσαι,
εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοι ἐστὲ θεῇσιν,
εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε
νύμφαι· ἴτ' ὦ νύμφαι, ἱερὸν γένος Ὠκεανοῖο,
δείξατ' ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι
ἤ τινα πετραίην χύσιν ὕδατος, ἤ τινα γαίης
ἱερὸν ἐκβλύοντα, θεαί, ῥόον, ᾧ ἄπο δῖψαν
αἰθομένην ἄμοτον λωφήσομεν. εἰ δὲ καὶ αὖτις
δή ποτ' Ἀχαιίδα γαῖαν ἱκώμεθα ναυτιλίῃσιν,
δὴ τότε μυρία δῶρα μετα πρώτῃσι θεάων
λοιβάς τ' εἰλαπίνας τε παρέξομεν εὐμενέοντες.“
ὣς φάτο λισσόμενος ἀδινῇ ὀπί· ταὶ δ' ἐλέαιρον
ἐγγύθεν ἀχνυμένους· καὶ δὴ χθονὸς ἐξανέτειλαν
ποίην πάμπρωτον· ποίης γε μὲν ὑψόθι μακροὶ
βλάστεον ὅρπηκες· μετὰ δ' ἔρνεα τηλεθάοντα
πολλὸν ὑπερ γαίης ὀρθοσταδὸν ἠέξοντο.
Ἑσπέρη αἴγειρος, πτελέη δ' Ἐρυθηὶς ἔγεντο·
Αἴγλη δ' ἰτείης ἱερὸν στύπος. ἐκ δέ νυ κείνων
δενδρέων, οἷαι ἔσαν, τοῖαι πάλιν ἔμπεδον αὔτως
ἐξέφανεν, θάμβος περιώσιον· ἔκφατο δ' Αἴγλη
μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας
„ἦ ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος, ὅστις ἀπούρας
φρουρὸν ὄφιν ζωῆς παγχρύσεα μῆλα θεάων
οἴχετ' ἀειράμενος· στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
ἤλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν
καὶ δέμας· ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ·
νηλής· ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος
ὠμόν, ἀδέψητον· στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης
τόξα τε, τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
ἤλυθε δ' οὖν κἀκεῖνος, ἅτε χθόνα πεζὸς ὁδεύων,

*δίψῃ καρχαλέος· παίφασσε δὲ τόνδ' ἀνα χῶρον,*
*ὕδωρ ἐξερέων, τὸ μὲν οὔ ποθι μέλλεν ἰδέσθαι.*
*ἥδε δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης·*
*τὴν ὅγ' ἐπιφρασθείς, ἢ καὶ θεοῦ ἐννεσίῃσιν*
*λὰξ ποδὶ τύψεν ἔνερθε· τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ.*
*αὐτὰρ ὅγ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας*
*ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον, ὄφρα βαθεῖαν*
*νηδύν, φορβάδι ἶσος ἐπιπροπεσών, ἐκορέσθη."*
*ὣς φάτο· τοὶ δ' ἀσπαστόν, ἵνα σφισι πέφραδεν Αἴγλη*
*πίδακα, τῇ θέον αἶψα κεχαρμένοι, ὄφρ' ἐπέκυρσαν.*
*ὡς δ' ὁπότε στεινὴν περι χηραμὸν εἱλίσσονται*
*γειομόροι μύρμηκες ὁμιλαδόν, ἢ ὅτε μυῖαι*
*ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι*
*ἄπλητον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς*
*πετραίῃ Μινύαι περι πίδακι δινεύεσκον.*
*καί που τις διεροῖς ἐπι χείλεσιν εἶπεν ἰανθείς*
*„ὢ πόποι, ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους*
*Ἡρακλέης δίψῃ κεκμηότας. ἀλλά μιν εἴ πως*
*δήοιμεν στείχοντα δι' ἠπείροιο κιόντες."*
*ἦ, καὶ ἀμειβομένων, οἵθ' ἄρμενοι ἐς τόδε ἔργον,*
*ἔκριθεν ἄλλυδις ἄλλος ἐπαΐξας ἐρεείνειν.*
*ἴχνια γὰρ νυχίοισιν ἐπηλίνδητ' ἀνέμοισιν*
*κινυμένης ἀμάθου. Βορέαο μὲν ὡρμήθησαν*
*υἷε δύω, πτερύγεσσι πεποιθότε· ποσσὶ δὲ κούφοις*
*Εὔφημος πίσυνος, Λυγκεύς γε μὲν ὀξέα τηλοῦ*
*ὄσσε βαλεῖν· πέμπτος δὲ μετα σφίσιν ἔσσυτο Κάνθος.*
*τὸν μὲν ἄρ αἶσα θεῶν κείνην ὁδὸν ἠνορέῃ τε*
*ὦρσεν, ἵν' Ἡρακλῆος ἀπηλεγέως πεπύθοιτο,*
*Εἰλατίδην Πολύφημον ὅπῃ λίπε· μέμβλετο γάρ οἱ*
*οὗ ἕθεν ἀμφ' ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.*
*ἀλλ' ὃ μὲν οὖν Μυσοῖσιν ἐπικλεὲς ἄστυ πολίσσας*

νόστου κηδοσύνῃσιν ἔβη διζήμενος Ἀργὼ
τῆλε δι' ἠπείροιο· τέως δ' ἐξίκετο γαῖαν
ἀγχιάλων Χαλύβων· τόθι μιν καὶ Μοῖρ' ἐδάμασσεν.
καί οἱ ὑπο βλωθρὴν ἀχερωίδα σῆμα τέτυκται
τυτθὸν ἁλὸς προπάροιθεν. ἀτὰρ τότε γ' Ἡρακλῆα
μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο Λυγκεὺς
τὼς ἰδέειν, ὥς τίς τε νέῳ ἐνι ἤματι μήνην
ἢ ἴδεν, ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
ἐς δ' ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ' ἄλλον
μαστῆρα στείχοντα κιχησέμεν· οἳ δὲ καὶ αὐτοὶ
ἤλυθον, Εὔφημός τε πόδας ταχὺς υἷέ τε δοιὼ
Θρηικίου Βορέω, μεταμώνια μοχθήσαντε.

Κάνθε, σὲ δ' οὐλόμεναι Λιβύῃ ἔνι Κῆρες ἕλοντο.
πώεσι φερβομένοισι συνήντεες· εἵπετο δ' ἀνὴρ
αὐλείτης, ὅ σ' ἑῶν μήλων πέρι, τόφρ' ἑτάροισιν
δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνεν
λᾶι βαλών· ἐπεὶ οὐ μὲν ἀφαυρότερός γ' ἐτέτυκτο
υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος
κούρης τ' αἰδοίης Ἀκακαλλίδος, ἥν ποτε Μίνως
ἐς Λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν,
θυγατέρα σφετέρην· ἣ δ' ἀγλαὸν υἱέα Φοίβῳ
τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν.
Ἀμφίθεμις δ' ἄρ ἔπειτα μίγη Τριτωνίδι νύμφῃ·
ἣ δ' ἄρα οἱ Νασάμωνα τέκε κρατερόν τε Κάφαυρον,
ὃς τότε Κάνθον ἔπεφνεν ἐπι ῥήνεσσιν ἑοῖσιν.
οὐ δ' ὅγ' ἀριστήων χαλεπὰς ἠλεύατο χεῖρας,
ὡς μάθον οἷον ἔρεξε. νέκυν δ' ἀνάειραν ὀπίσσω
πευθόμενοι Μινύαι, γαίῃ δ' ἐνι ταρχύσαντο·
μυρόμενοι δὲ τὰ μῆλα μετα σφέας οἵγ' ἐκόμισσαν.

ἔνθα καὶ Ἀμπυκίδην αὐτῷ ἐνι ἤματι Μόψον
νηλειὴς ἕλε πότμος· ἀδευκέα δ' οὐ φύγεν αἶσαν
μαντοσύναις. οὐ γάρ τις ἀποτροπίη θανάτοιο.

κεῖτο δ' ἐπι ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων
δεινὸς ὄφις, νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι,
οὐ δ' ἂν ὑποτρέσσαντος ἐνωπαδὶς ἀΐξειεν.
ἀλλ' ᾧ κεν τὰ πρῶτα μελάγχιμον ἰὸν ἐνείη
ζωόντων, ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει,
οὐδ' ὁπόσον πήχυιον ἐς Ἄιδα γίνεται οἶμος,
οὐδ' εἰ Παιήων, εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν,
φαρμάσσοι, ὅτε μοῦνον ἐνιχρίμψησιν ὀδοῦσιν.
εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων — καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ —
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆι κομίζων,
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
αἳ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
τῷ δ' ἄκρην ἐπ' ἄκανθαν ἐνεστηρίξατο Μόψος
λαιὸν ἐπιπροφέρων ταρσὸν ποδός· αὐτὰρ ὃ μέσσην
κερκίδα καὶ μυῶνα, πέριξ ὀδύνῃσιν ἑλιχθείς,
σάρκα δακὼν ἐχάραξεν. ἀτὰρ Μήδεια καὶ ἄλλαι
ἔτρεσαν ἀμφίπολοι· ὃ δὲ φοίνιον ἕλκος ἄφασσεν
θαρσαλέως, ἕνεκ' οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρεν,
σχέτλιος· ἤ τέ οἱ ἤδη ὑπο χροῒ δύετο κῶμα
λυσιμελές, πολλὴ δὲ κατ' ὀφθαλμῶν χέετ' ἀχλύς.
αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
ψύχετ' ἀμηχανίῃ· ἕταροι δέ μιν ἀμφαγέροντο,
ἥρως τ' Αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
οὐ δὲ μὲν οὐδ' ἐπι τυτθὸν ἀποφθίμενός περ ἔμελλεν
κεῖσθαι ὑπ' ἠελίῳ. πύθεσκε γὰρ ἔνδοθι σάρκας
ἰὸς ἄφαρ, μυδόωσα δ' ἀπο χροὸς ἔρρεε λάχνη.
αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον
ἐσσυμένως μακέλῃσιν· ἐμοιρήσαντο δὲ χαίτας
αὐτοὶ ὁμῶς κοῦραί τε, νέκυν ἐλεεινὰ παθόντα
μυρόμενοι· τρὶς δ' ἀμφι συν ἔντεσι δινηθέντες

εὖ κτερέων ἴσχοντα, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
ἀλλ' ὅτε δή ῥ' ἐπὶ νηὸς ἔβαν, πρήσσοντος ἀήτεω
ἂμ πέλαγος νοτίοιο, πόρους τ' ἀπετεκμήραντο
λίμνης ἐκπρομολεῖν Τριτωνίδος, οὔτινα μῆτιν
δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
ὡς δὲ δράκων σκολιὴν εἰλιγμένος ἔρχεται οἶμον,
εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο·
ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει, ἐν δέ οἱ ὄσσε
σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώοντι
λάμπεται, ὄφρα μυχὸν δὲ δια ῥωχμοῖο δύηται·
ὣς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα
ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. αὐτίκα δ' Ὀρφεὺς
κέκλετ' Ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
δαίμοσιν ἐγγενέταις νόστῳ ἔπι μείλια θέσθαι.
καὶ τοὶ μὲν Φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες·
τοῖσιν δ' αἰζηῷ ἐναλίγκιος ἀντεβόλησεν
Τρίτων εὐρυβίης, γαίης δ' ἀνα βῶλον ἀείρας
ξείνι' ἀριστήεσσι προΐσχετο, φώνησέν τε
„δέχθε, φίλοι· ἐπεὶ οὐ περιώσιον ἐγγυαλίξαι
ἐνθάδε νῦν πάρ' ἐμοὶ ξεινήιον ἀντομένοισιν.
εἰ δέ τι τῆσδε πόρους μαίεσθ' ἁλός, οἷά τε πολλὰ
ἄνθρωποι χατέουσιν ἐπ' ἀλλοδαπῇ περόωντες,
ἐξερέω. δὴ γάρ με πατὴρ ἐπιίστορα πόντου
θῆκε Ποσειδάων τοῦδ' ἔμμεναι. αὐτὰρ ἀνάσσω
παρραλίης, εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες
Εὐρύπυλον Λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα."
ὣς ηὔδα· πρόφρων δ' ὑπερέσχεθε βώλακι χεῖρας
Εὔφημος, καὶ τοῖα παραβλήδην προσέειπεν
„Ἀπίδα καὶ πέλαγος Μινώιον εἴ νύ που, ἥρως,
ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἐνίσπες.
δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν, ἀλλὰ βαρείαις
χρίμψαντες γαίης ἐπὶ πείρασι τῆσδε θυέλλαις

νῆα μεταχρονίην ἐκομίσσαμεν ἐς τόδε λίμνης
χεῦμα δι' ἠπείρου βεβαρημένοι· οὐ δέ τι ἴδμεν,
πῇ πλόος ἐξανέχει Πελοπηίδα γαῖαν ἱκέσθαι."
ὣς ἄρ ἔφη· ὃ δὲ χεῖρα τανύσσατο, δεῖξε δ' ἄπωθεν
φωνήσας πόντόν τε καὶ ἀγχιβαθὲς στόμα λίμνης
„κείνη μὲν πόντοιο διήλυσις, ἔνθα μάλιστα
βένθος ἀκίνητον μελανεῖ· ἑκάτερθε δὲ λευκαὶ
ῥηγμῖνες φρίσσουσι διαυγέες· ἣ δὲ μεσηγὺ
ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
κεῖνο δ' ὑπηέριον θείην Πελοπηίδα γαῖαν
εἰσανέχει πέλαγος Κρήτης ὕπερ· ἀλλ' ἐπι χειρὸς
δεξιτερῆς, λίμνηθεν ὅτ' εἰς ἁλὸς οἶδμα βάλητε,
τόφρ' αὐτὴν παρα χέρσον ἐεργμένοι ἰθύνεσθε,
ἔστ' ἂν ἄνω τείνῃσι· περιρρήδην δ' ἑτέρωσε
κλινομένης χέρσοιο, τότε πλόος ὔμμιν ἀπήμων
ἀγκῶνος τέτατ' ἰθὺς ἀπο προύχοντος ἰοῦσιν.
ἀλλ' ἴτε γηθόσυνοι, καμάτοιο δὲ μή τις ἀνίη
γινέσθω νεότητι κεκασμένα γυῖα μογῆσαι."
ἴσκεν ἐυφρονέων· οἳ δ' αἶψ' ἐπι νηὸς ἔβησαν
λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.
καὶ δὴ ἐπιπρονέοντο μεμαότες· αὐτὰρ ὃ τείως
Τρίτων ἀνθέμενος τρίποδα μέγαν, εἴσατο λίμνην
εἰςβαίνειν· μετὰ δ' οὔτις ἐσέδρακεν, οἷον ἄφαντος
αὐτῷ συν τρίποδι σχεδὸν ἔπλετο. τοῖσι δ' ἰάνθη
θυμός, ὃ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
καί ῥά οἱ Αἰσονίδην μήλων ὅ τι φέρτατον ἄλλων
ἤνωγον ῥέξαι καὶ ἐπευφημῆσαι ἑλόντα.
αἶψα δ' ὅγ' ἐσσυμένως ἐκκρίνατο, καί μιν ἀείρας
σφάξε κατα πρύμνης, ἐπὶ δ' ἔννεπεν εὐχωλῇσιν
„δαῖμον, ὅτις λίμνης ἐπι πείρασι τῇσδ' ἐφαάνθης,
εἴτ' οὖν σε Τρίτων', ἅλιον τέρας, εἴτέ σε Φόρκυν,
ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι,

ἵλαθι, καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε.“
ἦ ῥ', ἅμα δ' εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
ἧκε κατα πρύμνης· ὃ δὲ βένθεος ἐξεφαάνθη
τοῖος ἐών, οἷός περ ἐτήτυμος ἦεν ἰδέσθαι.
ὡς δ' ὅτ' ἀνὴρ θοὸν ἵππον ἐς εὐρέα κύκλον ἀγῶνος
στέλλῃ, ὀρεξάμενος λασίης εὐπειθέα χαίτης,
εἶθαρ ἐπιτροχάων. ὃ δ' ἐπ' αὐχένι γαῦρος ἀερθεὶς
ἕσπεται, ἀργινόεντα δ' ἐπι στομάτεσσι χαλινὰ
ἀμφὶς ὀδακτάζοντι παραβλήδην κροτέονται·
ὣς ὅγ' ἐπισχόμενος γλαφυρῆς ὁλκήιον Ἀργοῦς
ἦγ' ἅλα δὲ προτέρωσε. δέμας δέ οἱ ἐξ ὑπάτοιο
κράατος, ἀμφί τε νῶτα καὶ ἰξύας ἔστ' ἐπι νηδὺν
ἀντικρὺ μακάρεσσι φυὴν ἔκπαγλον ἔικτο·
αὐτὰρ ὕπαι λαγόνων δίκραιρά οἱ ἔνθα καὶ ἔνθα
κήτεος ὁλκαίη μηκύνετο· κόπτε δ' ἀκάνθαις
ἄκρον ὕδωρ, αἵτε σκολιοῖς ἐπι νειόθι κέντροις
μήνης ὣς κεράεσσιν ἐειδόμεναι διχόωντο.
τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
νεισομένην· δῦ δ' αἶψα μέγαν βυθόν· οἱ δ' ὁμάδησαν
ἥρωες, τέρας αἰνὸν ἐν ὀφθαλμοῖσιν ἰδόντες.
ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηὸς
ἠδὲ Ποσειδάωνος ἰδὲ Τρίτωνος ἔασιν
βωμοί· ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον. αὐτὰρ ἐς ἠῶ
λαίφεσι πεπταμένοις αὐτὴν ἐπι δεξί' ἔχοντες
γαῖαν ἐρημαίην, πνοιῇ ζεφύροιο θέεσκον.
ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
κεκλιμένην ἀγκῶνος ὕπερ προύχοντος ἴδοντο.
αὐτίκα δὲ ζέφυρος μὲν ἐλώφεεν, ἤλυθε δ' αὔρη
ἀργέσταο νότου· χήραντο δὲ θυμὸν ἰωῇ.
ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνα δ' ἤλυθεν ἀστὴρ
αὔλιος, ὅστ' ἀνέπαυσεν ὀιζυροὺς ἀροτῆρας,

δὴ τότ' ἔπειτ' ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος
ἱστία λυσάμενοι, περιμήκεά τε κλίναντες
ἱστόν, ἐυξέστῃσιν ἐπερρώοντ' ἐλάτῃσιν
παννύχιοι καὶ ἐπ' ἦμαρ, ἐπ' ἤματι δ' αὖτις ἰοῦσαν
νύχθ' ἑτέρην. ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
Κάρπαθος· ἔνθεν δ' οἵγε περαιώσεσθαι ἔμελλον
Κρήτην, ἥτ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.
τοὺς δὲ Τάλως χάλκειος, ἀπο στιβαροῦ σκοπέλοιο
ῥηγνύμενος πέτρας, εἶργε χθονὶ πείσματ' ἀνάψαι,
Δικταίην ὅρμοιο κατερχομένους ἐπιωγήν.
τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων
ῥίζης λοιπὸν ἐόντα μετ' ἀνδράσιν ἡμιθέοισιν
Εὐρώπῃ Κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον,
τοὶς περι χαλκείοις Κρήτην ποσὶ δινεύοντα.
ἀλλ' ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
χάλκεος ἠδ' ἄρρηκτος· ὑπαι δέ οἱ ἔσκε τένοντος
σύριγξ αἱματόεσσα κατα σφυρόν· αὐτὰρ ὃ τήνγε
λεπτὸς ὑμὴν ζωῆς ἔχε πείρατα καὶ θανάτοιο.
οἳ δέ, δύῃ μάλα περ δεδμημένοι αἶψ' ἀπο χέρσου
νῆα περιδδείσαντες ἀνακρούεσκον ἐρετμοῖς.
καί νύ κ' ἐπισμυγερῶς Κρήτης ἑκὰς ἠέρθησαν,
ἀμφότερον δίψῃ τε καὶ ἄλγεσι μοχθίζοντες,
εἰ μή σφιν Μήδεια λιαζομένοις ἀγόρευσεν
„κέκλυτέ μευ. μούνη γὰρ ὀίομαι ὔμμι δαμάσσειν
ἄνδρα τόν, ὅστις ὅδ' ἐστί, καὶ εἰ παγχάλκεον ἴσχει
ὃν δέμας· ὁππότε μή οἱ ἐπ' ἀκάματος πέλοι αἰών.
ἀλλ' ἔχετ' αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς
πετράων, εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι."
ὣς ἄρ ἔφη· καὶ τοὶ μὲν ὑπεκ βελέων ἐρύσαντο
νῆ' ἐπ' ἐρετμοῖσιν, δεδοκημένοι ἥντινα ῥέξει
μῆτιν ἀνωίστως· ἣ δὲ πτύχα πορφυρέοιο
προσχομένη πέπλοιο παρειάων ἑκάτερθεν

βήσατ' ἐπ' ἰκριόφιν· χειρὸς δέ ἑ χειρὶ μεμαρπὼς
Αἰσονίδης ἐκόμιζε δια κληῖδος ἰοῦσαν.
ἔνθα δ' ἀοιδῇσιν μειλίσσετο, μέλπε δὲ Κῆρας
θυμοβόρους, Ἀίδαο θοὰς κύνας, αἳ περι πᾶσαν
ἠέρα δινεύουσαι ἐπι ζωοῖσιν ἄγονται.
τὰς γουναζομένη τρὶς μὲν παρακέκλετ' ἀοιδαῖς,
τρὶς δὲ λιταῖς· θεμένη δὲ κακὸν νόον, ἐχθοδαποῖσιν
ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς·
λευγαλέον δ' ἐπί οἱ πρῖεν χόλον, ἐκ δ' ἀίδηλα
δείκηλα προΐαλλεν, ἐπιζαφελὸν κοτέουσα.
  Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνι φρεσὶ θάμβος ἄηται,
εἰ δὴ μὴ νούσοισι τυπῇσί τε μοῦνον ὄλεθρος
ἀντιάει, καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει·
ὡς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
Μηδείης βρίμῃ πολυφαρμάκου· ἂν δὲ βαρείας
ὀχλίζων λάιγγας, ἐρυκέμεν ὅρμον ἱκέσθαι,
πετραίῳ στόνυχι χρίμψε σφυρόν· ἐκ δέ οἱ ἰχὼρ
τηκομένῳ ἴκελος μολίβῳ ῥέεν· οὐ δ' ἔτι δηρὸν
εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
ἀλλ' ὥς τίς τ' ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη,
τήντε θοοῖς πελέκεσσιν ἔθ' ἡμιπλῆγα λιπόντες
ὑλοτόμοι δρυμοῖο κατήλυθον· ἣ δ' ὑπο νυκτὶ
ῥιπῇσιν μὲν πρῶτα τινάσσεται, ὕστερον αὖτε
πρυμνόθεν ἐξεαγεῖσα κατήριπεν· ὣς ὅγε ποσσὶν
ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ἠωρεῖτο,
ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
κεῖνο μὲν οὖν Κρήτῃ ἔνι δὴ κνέφας ηὐλίζοντο
ἥρωες· μετὰ δ' οἵγε νέον φαέθουσαν ἐς ἠῶ
ἱρὸν Ἀθηναίης Μινωίδος ἱδρύσαντο,
ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
παμπρώτιστα βάλοιεν ὑπερ Σαλμωνίδος ἄκρης.
  αὐτίκα δὲ Κρηταῖον ὑπερ μέγα λαῖτμα θέοντας

νὺξ ἐφόβει, τήν πέρ τε κατουλάδα κικλήσκουσιν.
νύκτ' ὀλοὴν οὐκ ἄστρα διίσχανεν, οὐκ ἀμαρυγαὶ
μήνης· οὐρανόθεν δὲ μέλαν χάος, ἠέ τις οὔλη
ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
αὐτοὶ δ', εἴτ' Ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,
ἠείδειν οὐδ' ὅσσον· ἐπέτρεψαν δὲ θαλάσσῃ
νόστον, ἀμηχανέοντες, ὅπῃ φέροι. αὐτὰρ Ἰήσων
χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ Φοῖβον ἀύτει
ῥύσασθαι ἀλέων· κατα δ' ἔρρεεν ἀσχαλόωντι
δάκρυα· πολλὰ δὲ Πυθοῖ ὑπίσχετο, πολλὰ δ' Ἀμύκλαις,
πολλὰ δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν.
Λητοΐδη, τύνη δὲ κατ' οὐρανοῦ ἵκεο πέτρας
ῥίμφα Μελαντίους ἀριήκοος, αἵτ' ἐνὶ πόντῳ
ἧνται· δοιάων δὲ μιῆς ἐφύπερθεν ὀρούσας,
δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον·
μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴγλην.
τοῖσι δέ τις Σποράδων βαιὴ ἀνα τόφρ' ἐφαάνθη
νῆσος ἰδεῖν, ὀλίγης Ἱππουρίδος ἀντία νήσου,
ἔνθ' εὐνὰς ἐβάλοντο καὶ ἔσχεθον· αὐτίκα δ' ἠὼς
φέγγεν ἀνερχομένη· τοὶ δ' ἀγλαὸν Ἀπόλλωνι
ἄλσει ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
ποίεον, Αἰγλήτην μὲν ἐυσκόπου εἵνεκεν αἴγλης
Φοῖβον κεκλόμενοι· Ἀνάφην δέ τε λισσάδα νῆσον
ἴσκον, ὃ δὴ Φοῖβός μιν ἀτυζομένοις ἀνέφηνεν.
ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἐνὶ ῥέξειν
ἀκτῇ ἐφοπλίσσειαν· ὃ δή σφεας ὁππότε δαλοῖς
ὕδωρ αἰθομένοισιν ἐπιλλείβοντας ἴδοντο
Μηδείης δμωαὶ Φαιηκίδες, οὐκέτ' ἔπειτα
ἴσχειν ἐν στήθεσσι γέλω σθένον, οἷα θαμειὰς
αἰὲν ἐν Ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
τὰς δ' αἰσχροῖς ἥρωες ἐπιστοβέεσκον ἔπεσσιν

χλεύῃ γηθόσυνοι· γλυκερὴ δ' ἀνεδαίετο τοῖσιν
κερτομίη καὶ νεῖκος ἐπεσβόλον. ἐκ δέ νυ κείνης
μολπῆς ἡρώων νήσῳ ἔνι τοῖα γυναῖκες
ἀνδράσι δηριόωνται, ὅτ' Ἀπόλλωνα θυηλαῖς
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκωνται.
ἀλλ' ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ' ἔλυσαν,
μνήσατ' ἔπειτ' Εὔφημος ὀνείρατος ἐννυχίοιο,
ἁζόμενος Μαίης υἷα κλυτόν. εἴσατο γάρ οἱ
δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος,
ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης
παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι
ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ' ἠύτε κούρην
ζευξάμενος, τήντ' αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι·
ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσσιν
„Τρίτωνος γένος εἰμί, τεῶν τροφός, ὦ φίλε, παίδων,
οὐ κούρη· Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες.
ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν
ἂμ πέλαγος ναίειν Ἀνάφης σχεδόν· εἶμι δ' ἐς αὐγὰς
ἠελίου μετόπισθε, τεοῖς νεπόδεσσιν ἑτοίμη."
τῶν ἄρ ἐπι μνῆστιν κραδίῃ βάλεν· ἔκ τ' ὀνόμηνεν
Αἰσονίδῃ· ὁ δ' ἔπειτα θεοπροπίας Ἑκάτοιο
θυμῷ πεμπάζων ἀνενείκατο φώνησέν τε
„ὦ πόποι, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
βώλακα γὰρ τεύξουσι θεοὶ πόντον δὲ βαλόντι
νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ἐννάσσονται
παῖδες· ἐπεὶ Τρίτων ξεινήιον ἐγγυάλιξεν
τῆνδέ τοι ἠπείροιο Λιβυστίδος· οὔ νύ τις ἄλλος
ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας."
ὣς ἔφατ'· οὐ δ' ἁλίωσεν ὑπόκρισιν Αἰσονίδαο
Εὔφημος· βῶλον δέ, θεοπροπίῃσιν ἰανθείς,
ἧκεν ὑποβρυχίην. τῆς δ' ἔκτοθι νῆσος ἀέρθη

Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο,
οἳ πρίν μέν ποτε δὴ Σιντηίδα Λῆμνον ἔναιον,
Λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι Τυρσηνοῖσιν
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Σπάρτην Αὐτεσίωνος ἐὺς πάις ἤγαγε Θήρας
Καλλίστην ἐπὶ νῆσον· ἀμείψατο δ' οὔνομα Θήρης
ἐξ ἕθεν. ἀλλὰ τὰ μὲν μετόπιν γένετ' Εὐφήμοιο.
κεῖθεν δ' ἀπτερέως δια μυρίον οἶδμα λιπόντες
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοίγε
ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
ὅς κεν ἀφυσσάμενος φθαίη μετα νῆα δ' ἱκέσθαι.
ἄμφω γὰρ χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
ἔνθ' ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
ἀνθέμενοι κούφοισιν ἅφαρ κατ' ἀγῶνα πόδεσσιν
κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ' ἀριστήων μακάρων γένος· αἵδε δ' ἀοιδαὶ
εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
ἀνθρώποις. ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ' ἱκάνω
ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
αὖτις ἀπ' Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη,
οὔτ' ἀνέμων ἐριωλαὶ ἐνέσταθεν· ἀλλὰ ἕκηλοι
γαῖαν Κεκροπίην παρά τ' Αὐλίδα μετρήσαντες
Εὐβοίης ἔντοσθεν Ὀπούντιά τ' ἄστεα Λοκρῶν
ἀσπασίως ἀκτὰς Παγασηίδας εἰσαπέβητε.

# CORPUS
# POETARUM EPICORUM GRAECORUM

CONSILIO ET STUDIO

**ARMINII KOECHLY**

EDITUM.

---

**VOL. VII.**

## MANETHONIANA

RELEGIT

**ARMINIUS KOECHLY.**


LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLVIII.

# MANETHONIS APOTELESMATICORUM

QUI FERUNTUR

LIBRI VI.

RELEGIT

ARMINIUS KOECHLY.

ACCEDUNT DOROTHEI ET ANNUBIONIS FRAGMENTA ASTROLOGICA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLVIII.

LIPSIAE TYPIS B. G. TEUBNERI.

# PRAEFATIO.

In *Manethonianis* idem mihi nunc quod olim in *Quinto* accidit, ut non solum obiter semelque relegenti sed adeo accuratius pluriesque perlustranti recensionem meam ante hos octo annos absolutam atque 1851 Parisiis apud *Didotum* editam tenue tantum novarum emendationum spicilegium suppeteret. Neque alii haec fragmenta interea curaverunt corruptissima sane neque aut ab argumento aut a forma commendabilia, ut ad ea nihil alieni subsidii admovere licuerit praeter *sexti* libri interpretationem vernaculam programmati scholastico gymnasii Wetzlariensis a. 1835 praemissam, qua *Axtius* „insanientis sapientiae" consulta satis fideliter expressit et notulis quibusdam partim ad ipsam rem partim ad alios scriptores spectantibus illustravit. Novarum tamen conjecturarum sex tantum eo in libello inveni, quarum conjecturarum duae (4 καμάτῳ pro θανάτῳ, 32 ἀπέχων pro ἐπέχων) etiam a me jam olim receptae erant, ceteras quatuor suis quibusque locis notatas (50. 56. 153. 605.) probare non potui.

Deinde nunc demum nancisci mihi licuit *Ludovici Ziegleri* professoris olim Rostochiensis „de libris apotelesmaticis, Manethonis nomini vulgo addictis commentationem", quae inserta legitur libri, qui „Neues Magazin für Schullehrer. Herausgegeben von G. A. Ruperti und H. Schlichthorst. Göttingen 1793." inscribitur, vol. II, fasc. 1, p. 99—127. Ejus libri inspiciendi quoniam nec olim Axtio atque Riglero (quorum vid. praefat. p. IX*)) nec nuper mihi potestas facta est, quamquam equidem nihil novi ex eo didici, tamen viri defuncti operam sobriam atque modestam silentio premere nolui, cum profecto pro illius aetatis ingenio, quae *prolegomenis Wolfianis* nondum in lucem emissis vel Argonautica illa antiquissimo Orpheo adscribere non dubitabat, acute de Manethonianis judi-

cium tulerit. Constat igitur libellus *sex* particulis, quarum *prima* p. 99—104 de „astrologiae apotelesmaticae originibus et natura" scripsit, *altera* p. 104—107 ejusdem „brevem historiam" delineavit; tum Apotelesmaticorum libros nec „illius Manethonis, qui Aegyptiaca scripsit, habendos" *tertia* p. 107—110, nec „Ptolemaei Philadelphi temporibus accensendos" esse *quarta* p. 110—112 ita demonstrat, ut nihil, quod „religionibus et institutis Aegyptiorum respondeat", inesse, Graecos vero astronomos ab apotelesmaticorum nugis ante Caesaris tempora abstinuisse moneat, quibus temporibus et *Nigidius Figulus* Dione XLV, 1 et *L. Tarutius Firmanus* Cicerone divin. II, 47 teste his rebus operam dare primum coepissent. Et haec quidem sententia *Maximi* illius qui fertur poëmate *περὶ καταρχῶν* redarguitur, quod Alexandrinorum saeculo certissimis argumentis a nobis vindicatum in hac epicorum collectione *Arato* adjungemus; quae vero de sermone Manethonianorum ut recentioris aetatis documento p. 113 brevissime admonuit, ea nos in editionis Didotianae praefatione uberius persecuti sumus. Cumulum addit auctor particula *quinta* p. 114—117, qua „libros apotelesmaticos non unius ejusdemque auctoris habendos" demonstravit, et *sexta* p. 118—127, qua Materno Firmico in comparationem vocato — quod et nos fecimus in *epimetro* p. LXVIII—LXX — postremo sententiae summam p. 123 his verbis concepit: „Quae omnia et alia ejusmodi plura me inducunt, *ut libris nostris periodum intra tempora Augusti et Constantini magni adsignem, qua auctores eorum vixisse, et totum opus laudem*" (sic! voluitne: *tandem?*) „*collectum putetur.*" Haec sententia ut paullo incertior est, ita etiam singulos libros singulis auctoribus non satis feliciter distribuit. Putat enim p. 117 libri II v. 1—140 „esse fragmentum ex antiquitate superstes, quod auctor in suum usum converterit, sua qualiacunque adnexurus;" ejus auctoris jam esse alteram libri secundi partem et libri III v. 1—216, cum a v. 217 „aliud incipiat corollarium", de quo non magis sibi exploratum esse quid statuat quam de libro IV et VI; librum I et V p. 114 dicit „a quodam auctore esse adsutos, qui Ptolemaei Philadelphi aetatem lectoribus obtrudere voluerit." Postremo p. 117 concludit „integrum opus esse centonem a pluribus auctoribus compositum, subinde interpolatum, reliquiis aliorum auctum, et tandem ab astrologo aliquo in hunc ordinem redactum."

Cum his, quae quam vaga sint nemo non videt, componere jam placet disputationis meae in majore editione institutae summam quam brevissime comprehensam, ut etiam iis, qui sola hac usuri sunt editione, de horum librorum Manethonem aperto mendacio in fronte gerentium ratione atque tempore constet.

In his igitur libris habemus primo carmen unum et continuum et (nisi forte prooemii quaedam perierunt, quod maxime ex II, 349 ὡς καὶ πρόσθεν ἀείσαμεν apparet) exceptis paucis quibusdam parvisque lacunis prorsus integrum, constans illud *libris tribus*, qui vulgo II. III et VI numerantur; cujus carminis auctorem neque ante Antoninos neque post Alexandrum Severum vixisse pro certo affirmari, eum ipso *Alexandro Severo* imperante (a. 222—235) carmen suum edidisse satis probabiliter concludi potest. Habemus deinde inclusum *libro quarto* alterum carmen a recentiore poëta *Juliani* temporibus compositum idque aut ad prioris carminis, quod probabilius putaverim, aut ad antiquioris cujusdam, unde illud quoque fluxit, imitationem expressum, sed illud et multis partibus mutilatum et in rerum serie locorumque ordine turbatum. Quapropter singulas ejus partes intervallis et literis, singula schemata numeris distinxi.

Habemus denique duas collectiones, quarum altera eaque melior *primus*, altera *quintus liber* inscribitur, a duobus hominibus et ignorantia metrorum sermonisque Graeci et ingenii stupore simillimis factas, quibus diversissimorum poëtarum fragmenta et insulsissimorum versificatorum, quos eosdem cum excerptoribus esse putem, foetus continentur, nullo nisi externae cujusdam rerum nominumque similitudinis vinculo cohaerentia. Itaque hic quoque singula membra et intercapedinibus distinui et numeris distinxi, praeterea praefixis crucibus ineptissima quaeque notavi, in primo libro insuper, quae ejusdem auctoris viderentur esse fragmenta, positis literis significavi, quae e quarto libro excerpta sunt, diserte imo in margine indicavi.

Tum omnibus in libris et quae singulis locis interpolando illata sunt consuetis uncinis circumsepsi, et quae a me probabili conjectura suppleta videbantur minoribus literis exprimenda curavi; postremo diductas literas, quibus legentium commoditatis gratia jam in priore editione stellarum nomina atque posituras luculentius designaveram, retinendas putavi.

Restat jam, ut brevem eorum locorum indicem adjiciam,

quibus locis aut a prioribus editoribus aut a me Gronovianae editionis textus, qui fere cum codice Mediceo unde descriptus est consentit, conjecturis sive alienis sive nostris mutatus est. In quo negotio taedii plenissimo id egi, ut et levissima quaeque orthographiae et interpunctionis menda — quae quidem innumera sunt — et lacunas transpositionesque satis jam asteriscis numerisque indicatas singulatim notare supersederem et brevissime tantum varias editionum lectiones componerem mutandi et rationibus et auctoribus fere omissis. Siglis autem iisdem, quibus jam in editione majore usus sum, ut G Gronovianam, A editionem ab Axtio et Riglero comparatam, *edd.* harum ambarum editionum consensum, M (aut MS. in notis Gronovianis ad verbum exscriptis) codicem Mediceum denotaret. Praeterea K meae editionis textum, *v* h. e. *volgo* ejusdem cum Gronoviana atque Axtio-Rigleriana consensum significat. Jam igitur ad singulos locos accedimus.

## LIBER II. (I.)

2 *διηνεκέως τε φέρονται* G, *διηνεκέως γε φέρονται* A. — 3 *μύρια τ' οὐρανῷ* G, *μυρί', ἅτ'* A. Sed num *μυρί' ἐν οὐρανῷ* ut Arat. 10? Quamquam cfr. 105. — 6 *βλοσυροῖσι* G. — 10 *Ἀ'πλανέων ἐνὶ χώρην* G, *ἀπλανέων χώρῃ* A. || *δὴ*] *δὲ* G: an *καὶ*? || num *δέδενται*, quoniam etiam *ἐνδεδεμένοι ἀστέρες* appellantur? — 13 *αὔτως δὲ*] *ἄλλως δὴ* edd. || *πεφορημένα* **πέρθης* G; „* suprascr. *κεύθει*" *Gron.* „Nisi hic lacuna subest ita fere explenda:

*ἄλλα δ', ὅσ' οὐρανὸς ἐντὸς ἀπείριτα κεύθει ὕπερθεν,*
*ἄστρα πολὺ πλέονα σποράδην πεφορημένα κεῖται.*" K. —

14 *οἱ διαγανότατοι* G, *οἳ δὴ ἀγανοτάτου* A. — 16 *καὶ δείκηλ'*] *Ἀ'δίκηλ'* G, *(κόσμου) δεικήλων* A. — 19 *ὀρώμενος* G. — 23 *βορέου* G. — 24 *κεφαλὴν* G. — 28 *οὓς* edd. || *σφαιρεῖ* G. — 30 *Τῶδέ τε* G. — 33 *ἔπτ'*] *Ἐ'νθ'* G. — 34 *δὲ*] *τε* edd. — 35 *Ὡ ς μὲν γὰρ πρῶτος τὰ πόλου* G, *ὃς μὲν γὰρ πρώτιστα πόλου* A K. Post *πρῶτος* duo hemistichia excidisse nunc demum intellexi. — 37 *τροπικὸς*] *τροπὰς* G, *τροπαὶ αὖ* A. — 38 *Γείνονται μεσάτοι τε* G, *γίγνονται μέσατός τε* A. „Facile hoc modo rem explanare poterat ceteris convenienter: *τὸν δὲ μέτα τροπικὸς θέρεος πυριλαμπέος ὥρης γίνεται, ἑξείης δέ, δι' οὗ κύκλου αἰθέρος οἶμοι τείνονται*

*μεσάτοιο, δι' οὗ θοὸν ἅρμα τιταίνων* —" K. — 39 *ἠὼ* G. — 40 *χειμερίης τε* G, *χειμερίης γε* A. — 42 *φράζομαι ὥραν* G. — 46 *ὀρθὸν*] *οἷον* G, *αἶαν* A. Cave ex 36 *οὔνομ'* conjicias. — 49 *δίκην* G. — 51 *ὑπ'*] *ἐπ'* v. „MS. *ὁπόσοις*" *Gron.* — 55 *ἐπαμοιβάδες ἐξώσαντο* G. — 57 *ὥνπερ* edd. || *ἄριστοι* G. — 60 *οὐ*] *ουν* G. — 65 *ἐλᾶται*] *ναῦται* v. — 67 *Οἱ τένοι* G. — 70 *θ'*] *δ'* edd. — 74 *ἔπι*] *ἐνὶ* G, (*ὀγδοάτῃ μοίρῃ*) *ἔνι* A. — 76 *αὐχένιον* v. — 82 *δύο σὺν*] *σὺν καὶ* edd. — 89 *ὑπερέοντα* G. — 90 *διατρίβοντ* edd. — 94 *Σκέπτευ' ἔκπερ* G, *σκέπτευ ὑπὲρ* A. || *γυῖα* edd. — 96 *λαγῳὸν* G. — 99 *νότιον* v, sed „*νοτίου* distinctione post hanc vocem posita H." A. — 100 *στέρνον μέγα* G, *στέρνον μέτα* A. — 104 *ἀκροτόμοισι* edd. — 105 *ἐκ κορυφῆς* G. — 107 *Ἑ στᾶσι ἀστεμφεῖςτε καὶ* G. — 108 *ὁλκοῦ*] *ὁμοῦ* G. — 109 *θ'*. om G. — 112 *γαῖαν* G. — 115 *ἐπιτέμνετ'* G. — 116 *γαλαξιέου* G. || *βαιὸς* edd. — 121 *Τόξου* edd. — 122 *ἀκρότατον κέντρον θηρὸς φονιοῖο τε* (— *οἷό γε* A) *μέσσον* edd. — 123 *ἠδὲ*] *καὶ δὲ* edd. || *ἄκρον*] *ἄστρον* edd. — 128 *δεξιτερὴν* edd. — 134 *ἐνὶ* edd. — 136 *ἱροί*] *εἱροὶ* G. — 137 *ἐπεί τ' ἐτάνυσσ' ἑκάτερθεν* edd. Em R. — 142 *ἀρείους* edd. — 143 *πλέον* G. || *κακοὶ δ' ὅγε* G. — 148 *κλυτοφεγγοῖς* edd. — 151 *ἑτέροισιν* G. — 152 *δεσμῶν* G. — 156 *ἐκθεμένους* edd. || *πάλι δῶκεν*] *ἀπέδωκεν* v. — 161 *ἢ ἐν πελάασι φρονεῦντας* G, *ἢ ἐκπεράαν τι, φρονεῦντας* A. — 162 *ὑποπεπτηῶτες* G. — 163 *Ὅσσάτε ἐκτελέουσιν* G. — 164+165 Pro simplici versu ita a nobis restituto leguntur in G hi duo = 155 sq.: *Πολλάκι δ' ἀλλοτρίων παίδων πατέρας καλέεσθαι Δῶκεν, ἢ ἐκθεμένους ἢ καὶ σφετέρους ἀπέδωκεν*, quos scripto *παῖδας* pro *ἢ καὶ* retinuit A eosdem supra uncinis circumdedit, utrumque male. — 166 *ὁρίοισιν*] *οἴκοισιν* G. — 172 *δ' ἔτι ἀργαλέους* G, *δέ τοι ἀργαλέους* A. || *τε* om G. — 177 *παρεὼν*] *ἐπιὼν* G, *γ' ἐπιὼν* A. — 178 *ἰδὲ*] *δὲ* G. — 180 et 179 transposuit R. — 182 *Δῆθι κι καὶ* G. —. 186 *μάλα γαυρουμένους* G, *μάλ' ἀγανομένους* A. — 188 *ἑτέρων* G. — 193 *καὶ λαλιῆς* — *ἢ γλῶσσαν* edd. — 195 *κρυπταδίους* edd. — 201 *καὶ δ' ἀντία* G. — 205 *ἐσθλῶν* edd. — 207 *ἀποθέσφατα* G. — 209 *βιότῳ* G. — 216 *οἳ* om G, *η* posuit A. — 217 *δεδαῶτας* edd. Hujuscemodi versum addidisse videtur: *ᾗ χρεώ, ἔνθα καὶ ἔνθ' ἰθυνέμεν εὖ δεδάασιν,*

cujus clausulam ut satis probabilem textui intuli. — 218 εἰς ὅσον G, εἰς τόσον A. — 222 Παντοίους G, παντοίων sequentibus junctum A. — 224 Θνητοὺς ὄλλυσι καὶ G. — 225 καὶ σηκῶν μακάρων ἱερούς (ἱερούς G) τε προέδρους edd. — 226 ἐξαίτους edd. — 228 ϑ' om G. || εὖ] ἐν v. Em A. — 229 φϑέγξον τ' v. — 230 τ' om edd. — 234 μίτραις edd. — 235 τοῖς δ' αὖ γεράεσσι ἱεροῖσιν G, τοῖς δ' αὖ γεράεσσ' ἱεροῖσιν A, τοὺς δ' αὖ γεράεσσ' ἱεροῖσιν K. — 237 Ὠ"πασεν ἐκ ϑαλάμου („MS. ϑαλάμους"). δῶκεν δὲ λέκτρα γυναικῶν G, ὦπ. εὐϑαλάμων· δῶκεν δέ τε λέκτρα γυναικῶν A. — 238 ἐν ἔῃσι τ' ἐνὶ πολέεσσιν ἀρίστοὺς G, ἰδ' ἔῃσιν ἐνὶ πτολίεσσιν ἄριστοι sequentibus junctum A. — 241 τετιμημένον G. — 242 ἠδὲ καὶ v. — 243 πόρον G. An φέρον? — 246 πολὺν ὄλβον G. — 247 ἐπ' εὐφροσύνης G. — 250 δ'] τ' edd. || ἐν δ' ἑτάροισιν edd. — 254 παιδεύματ' suspectum. An μελετήματ' seu tale quid? — 255 ϑ'] δ' G. — 256 δίφρῳ] δίφρ' G. || ὅϑι τ'] ὅτι G. — 258 πειϑὼ ὁμῶς] πειϑομένους v, quod ferri non posse jam olim intellexeram de emendatione incertus, quam certissimam nunc suppeditavit v. 241. || μετέχουσιν edd. — 261 Ε"ντε δίκας πολίεσσιν G. — 264 δίκαις G. || ὑπ' edd. — 265 κεῖνο G, κείνας A. — 272 χερσὶν ὀλέκουσιν G, χείρεσσ' ὀλέκουσιν A. — Ordine, qui necessario mutandus erat, retento 269 τελοῦντες et 270 νυμφεύονται A. — 276 δμῳάδας GK, δμωιάδας A. — 277 συνεύνοισιν φιλότητος G, συνευνῶσιν φιλότητος A. — 278 αἰὲν κλεπτομένης edd. — 279 ταὶ τίουσ'] τοὺς ἴους („MS. τους ἰουσ'") G, τοι τίουσ' A. — 281 sq. ἀλόχοις, καὶ αὐτῶν εἵνεκα δηϑὰ Ε' ν συνοχῇσι γένοντο, * καὶ ἀλλήλους ἀϑέριξαν G hac nota addita: „In marg. γρ. καὶ ἀπλήτοις ὀχέεσσι." Quod suo loco restitui. Videtur autem tale quid excidisse: — — — καὶ ἀλλήλους ἀϑέριξαν σφῇσιν ἀτασϑαλίῃσι, καὶ αὐτῶν εἵνεκα δηϑὰ etc. Retinuit G scripturam A. — 283 ἔνεικαν em A; ἔδωκαν edd. — 290 Τὰς δ' ἄλλας ἀνδρᾶσιν ἴσαις κάμνουσαν ἀνίαις G, τὰς δ' ἄλλας ἄνδρεσσιν ἴσας κάμνουσιν ἀνίας ordine retento A. — 286 φιλότητα λύπην τοκετῶντ' G, φιλότητ' ἀλύκην τοκετῶν A. — 287 ὀχλήσει G. — 288 βρέφη ὠμοτοκοῦσαν G, βρέφη ὠμοτοκοῦσιν A. — 289 ἐν] περὶ edd. — 294 πρὸς δὲ] τοῖσι G, ᾗσι A. — 296 δεδαηκότας G. — 297 καὶ κρίσιας ϑαμινὰς] Κρίσιας εἰδίας G, κλήσιας αἰδίους A. || πυ-

*κνάτ' ἔχοντες* G. — 299 *τε* om G. — 300 *παίδωντε καθηγητῆρες* G, *παίδων γε καθηγητῆρες* A. — 303 *ὅσσων βιότῳ* G, *ὅσσον βιότῳ* A. — 305 *Πλαστογράφον* G. — 308 *παρθεμένους* G. — 309 *παῦρα*] *πολλὰ* edd. || *χρηὸς* G. — 311 *ἴδρισιν*] *ἀνδράσιν* G, *εἰδόσιν* A. — 312 *λάσθαις* em Lobeck., *λάθραις* edd., *θωαῖς* K. || *σεβέονται* G. — 318 *τιμὰς ἰδ'*] *τιμαῖσιν* G, sed „MS. *τ' ἰμαϊσιν*"; *τιμῇσιν* A. — 321 *ἐοικότατοι μὲν* G. — 324 *γραφίοις*] *γραφαῖς* G, *γραπτοῖς* A. — 323 *μορφὰς θηρῶν πάντων τε* edd. — 326 *ἀπεθήκατο* G. — 331 *τ'* om edd. || *ἠδ' ἄρ' ἀοιδούς* edd. — 333 *τεύκτορας*] *εὕρετο* G, *εὔφρονας* A. — 334 *ἠὲ*] *Οἵ δὲ* G, *οὓς δὲ* A. — 344 *ἅμα*] *μέγα* edd. — 346 *χαλέψας*] *καλύψας* G. — 350 *καὶ*] *ἢ* G. — 351 *ἑτέρους* G. — 355 *ἀπέδωκε* G. — 360 *αὖ* edd. || *ἀλόχοισι* G. — 364 *Ἠελίοιο*] *ἠελίετε* G, *ἠελίου γε* A. — 367 *ἕιζηται* G. — 374 *ἰδ'*] *ἠθ'* G. — 381 *ἐπ' ἀλλήλοις καί τ' αἴσχεα* edd. — 384 *δ'*] *τ'* edd. — 390 *Ἥντ'* G, *ἥν γ'* A. — 391 *ὡσαύτως* edd. — 392 *ἀνθρώπων* v. — 393 *βασιλῆα* G. — 394 *οἵ δ' ἄρ'*] *οὐ γὰρ* edd. — 396 *Μήνης* G. — 404 *ἐν*] *ἂν* edd. — 405 *ἀντολίαἰς* A. || *ἰόντες ἅτ' ἐς*] *ἐόντες εἰς* G, *ἐόντες ἐῇ* A. — 406 *παρεόντες*] *περ ἐόντες* edd. — 407 *Ἑσπέριοι δὲ βραδιότεροι προϊοῦσι* G, *ἑσπέριοι δὴ βαρδύτεροι προϊοῦσι* A. — 408 *δείελοι*] *δειλοὶ δ'* edd. || *μαλεραῖς* v. — 411 *τελέθει ξυνὼν* G, *τελέθει ξυνεὼν* A. — 415 *δὲ*] *τε* edd. || *καὶ πατρώϊον οἶκον* G. — 422 *ἀμείνων* G, *ἀμεῖνον'* ordine non mutato A. || *τε δεινὸς* G, *τε δεινά* A. — 425 *ὀλοώτερος* edd. — 421 *Ἧσσον* G. — 428 *δούλαις ἢ πενιχραῖς* G, *δούλῃσι πενιχραῖς* A. — 429 *ἀεικῶς*] *ἀΐστως* G. — 430 *ἐφεξομέναις* G. — 432 *πάσης*] *πολλῆς* v. — 433—435:

> *Ἑζομένȣς ποίησε βίȣς μάλα παναγήτȣς,*
> *Ἀνέρας ἀφνειȣ̀ς, μάλα * δὲ δμωάσιν ἀνάσσων,*
> *Πρῆξιν δ' ἥσσονα δῶκε καὶ ἐμ πρήξισιν ὑπ' ἄλλοις.*

G hac nota addita: „*MS. *δ' ἠώαισιν*." A 433 post *μάλα* add *τοι*, 434 *δ' ἠῴησιν* et 435 *πρῆξίν τ' ἥσσονα δῶκε καὶ ἐν πρήξεσσιν* scripsit. „Patet hic quoque plura intercidisse, quae hoc fere modo olim integre lecta fuisse facile omnibus persuadeam:

> *ἑζομένους δ' ὤπασσε βίους τέχνας τε βαναύσους*
> *ἀνδράσι τειρομένοις, μάλα δ' ἠῴ ησιν ἀνάσσων*
> *ἀνέρας ἀφνειοὺς ποίησε πόλει παναγήτους*

χρήμασι καὶ τέχνῃσιν, ἐν ἑσπερίῃσι δὲ βαίνων
πρῆξίν θ' ἥσσονα δῶκ', ἐν πρήξεσί τ' ἔμμεν ὑπ' ἄλλοις.“

Ita ego olim, nec hodie quidquam est, quod mutandum videatur, nisi quod nunc 435 singularem πρήξει scripsi propter πρῆξιν. — 438 δὲ σὺν αὐτοῖσιν G, δ' οἷον τοῖσιν A. — 440 θνητοῖσιν μογερὸν βίοτον edd. — 448 μελάθρων] θεμέθλων edd. — 450 χρήζουσιν ἑταῖροι G. — 455 ἐπ' ἔργοισιν ἑοῖς G, ἔργοισιν ἑοῖς A. — 456 δύναντ' G, γε δύνανθ' A. — 461 Ἑρμείαο v. — 468 μεγαληνορίαις χαίροντας edd., sed μεγαληνορίαισι M. — 472 δὲ om G. — 473 συνιοῦσα G. — 483 εὐθὺ (sed „MS. εὐθὺς“) G. — 487 βιότῳ edd. || ἄλλην G. — 489 γενέθλαις edd. Fortasse etiam προτέρην scribendum. — 492 ἢ καὶ] Ἤτοι G, ἤ τοι A. — 493 πρώτως edd. || πλήρης edd. — 496 δ' αὖ] δ' οὖν v. — 501 ἐπεὶ] ἐπὶ G, quo retento κύκλῳ ἐπὶ πλήρει dedit A. —

In fine add G *ΜΑΝΕΘΩΝΟΣ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ | ΒΙΒΛΙΟΝ Β.*

## LIBER III. (II.)

*Argumentum:* *A.* ἐν παντὶ τῶν ἄλλων] ἐν ἄλλῳ τινὶ τῶν edd. — *B.* ἀποτέλεσμα.., ἀπαλλάκτως εὑρίσκομεν ὄντα, κἂν G, unde καὶ πότε τῶν ἀνθρώπων ἀποτελέσματα ἀπαλλάκτως εὑρίσκομεν ὄντα conj A. — ἀντὶ μεσουρανήματος G. — ἀναμετροῦντες] οὖν μετροῦντες G. — *Δ.* Ἡλίου] Ἄρεως edd. —

7 πισύροισιν G. — 10 διώλεσε πάντας G. — 12 ἔς τ' ἂν G. — 13 ζωίοις (om δ') G. — 15 κριῷθ', ὁπότ' ἀνέρες G. — 19 γήρᾳ edd. — 28 ἔῤῥεσσεν G. — 29 λίπεν γενετὴρ G. — 30 κρύϊ G. — 33 πατρῇσιν ὑπὸ G, πάτρῃσιν ὑπὸ A. — 34 πρήξεις edd. — 36 ταῦτα edd. — 38 λαοῖς? — 42 κηδεστὰς edd. — 50 Fortasse θαρσαλέους τ' ἔρδει. — 55 αἰεὶ δῶκεν edd. — 56 βιότοιό τ' ἀμέρδει v. Cfr. II, 454. — 57 δὲ] τε edd. — 58 περ ἐνὶ] πάτρ' ἐνὶμ G, πατρὶ ἐν A. — 59 θ' ἅμα G. — 60 ἀκάχησε suspectum. An ὤπασσε seu tale quid? || γυναῖκας edd. — 63 συναστρῶν G. — 65 καὶ θηκτὸν edd. || ἑὸν] An ἀεὶ? — 70 φίλης] βίῃ edd. — 74 ἢ] ἢ G. — 77 ταῖς δ' αὐτ' ἀλόχοις edd. Em A. || ἐσθλὸν edd. — 78 κλεινὸν] κείνων v. — 80 ἵδρυσε, τῶν καὶ G, ἵδρυσ', ἐξ ὧν A. || ἰδὲ] ἐπὶ edd. — 82 ἠδὲ] καὶ δὲ edd. || δ' ὅτε μέντοι G, ποτὲ μέν τοι A. — 86 δήθ' ἅμ' G. — 89 μέ-

λαθρ' G. — 93 καί θ'] καὶ δ' G. — 94 θεσπίζει G. — 99 ἀργυραμοιβοὺς edd. — 102 σοφίην edd. — 105 γηθεύοντας G. — 106 Ε'ς' ἂν G. — 113 ἐπινοίῃ olim simpliciter pro ἐνὶ πάτρῃ scripsi nihil de lacuna suspicatus. — 122 θ' ἅμα G. — 124 Ἡματίῃ δ' ἀντ' ἥσσων G. || εἰ] ἢν edd. || μιν] μὲν edd. — 128 ἐςτ' ἂν G. — 130 ἀφῆκεν edd. — 132 „Post hunc versum hujuscemodi verba excidisse:

ἀστέρες ὅσσα τελοῦσι, τάδ' αὐτίκα νῦν καταλέξω,

constans poëtae usus evincit.“ K. — 140 κάμνε G. — 141 Ε'ντ' ἂν G. — 143 δὴ βαιὸν G. — 144 καὶ] γὰρ G, δ' ἄρ' AK. || θ' ἅμα G. — 147 δ' om edd. — 149 ἐς] ἢ G. — 151 ἰδ'] ἢ δ' G. — 152 ἕοι] ἐνὶ G. — 154 ἀλλ'] καὶ δ' v. || ἀγάπης ἀναθέσμους G. — 157 Μαχλαῖς G. — 158 δύνῃσι] δύνῃ G. — 161 μάλ' αἰνῶν] παλαιῶν edd. — 172 θρεψαμένας ἀςέργουσ' G, θρεψαμέναις, ἃ στέργουσ' A. — 175 Μόχθον G. — 177 ἀρχομένης G. — 178 μεγάλοις edd. — 180 ἄπ' ἄμετρον] ἄμετρον G, δέ τ' ἄμετρον A. — 184 γάμον ἱμερόεντας G. — 185 τ'] γ' A. || τίουσ' ἅμ' ἀκοίτας G, τίουσ' ὁμοκοίτας A. — 188 δ'] τ' edd. || ἄφενοστε φρένας βασιλήϊον G. — 193 „Hunc versum huc ex II, 255 intrusum arbitror.“ K. — 194 ἐπεμβεβαὼς G. — 197 αἴ] καὶ edd. — 207 ἐπείγητ'] ἐπίτητ' G („MS. ἐπιτητειδύσιν“). — 217 δυοῖς G. — 222 Ἡ'ὲ μὲν G. — 224 μεγάλους ποτὲ δ' αὖ edd. — 225 ἠὲ] ἢ edd. — 226 ἔχωσιν] ἑῶσιν edd. — 231 ἀπειράτε ἔστι G. — 233 ἐπιλέξωσι θεοὶ [illegible]spectum. — 235 ὅγε] ὅτε G, ὀτὲ A. — 236 ἢ ἄγαν αὖξιν („MS. αὐξεῖν“) G, ἠέ γ' ἄναξιν A. — 237 τ' ante ἀνδρῶν add G. — 239 θαλάμοις, λήιοισι (sic!) G, θαλάμοις, ληΐοισι A. — 240 λείαις, παντοίαις τ' ἀγέλαις edd. — 241 ἠναΐων G, εἰναλίων AK. — 246 δεινὰς ἄτας γ' edd. — 248 δ' εἰ κέντροισιν ἐπεμβεβαῶτες ὁρῷντο edd., sed „In marg. MS. γρ. δ' εἴγε σὺν ἠελίῳ ἐπεμ“. Unde emendavi. — 253 εἰ μή πως εὐεργὸς ὁρῴη edd., quod retinueram inserto δ' post πως. — 254 Καὶ πουμω (sic!) G. — 261 ἢ ὅτ' ἐν edd. || ἠπείροισιν edd. — 263 Ω''ςε πάλιν θλιφθέντες G. — 264 ἠδὲ καὶ ἡμερίῃ (ἡμερίῃ G) τὰ edd. — 270 „In ora MS. notatur hunc postponendum sequenti versu.“ G. Nec tamen justum ordinem restituerunt, sed γε pro τε scripserunt AR. — 271 τ' post καμάτων add. edd. — 272 ὑποδερκόμενοι edd. — 274 αὐ-

*τούς θ' ἔρδει* G. — 276 *ψυγμῷ* edd. — 281 *ἧττον* edd. — 283 *ἔχειν ἐνὶ δώμασι* v. Cfr. VI, 144. 201. — 288 *λαλίης* G. — 295 *τρίγωνος* v. — 299 *ἀγαθῆςτε τύχοιεν* G. — 302 *αὐτοὺς* G. — 304 *ἀπείριτον*] *ὑπείροχον* v repetitum ex 303. Cfr. II, 262. — 312 *δ' ἄρα*] *γὰρ* edd. — 314 *ἐπιμαρτυρίαις τάδε* G. — 328 *πρήξεσι δ' ἐν* edd. — 330 *ὑβρισταὶ*] *Ὕβρεις τε* G. ‖ *τε* om G. — 334 *καὶ τ'* G, *καί τ'* A. — 338 *κακὴ πόλιν ἔδραμεν αἰνὴ* G, *κατὰ πτόλιν ἔδραμεν αἰνή* A. Cfr. II, 298. — 340 *τὴν δ'* G, quo retento 339 *Ἑρμῆς τετράγωνος ἢ ἀντίος ῃ* A. ‖ *τροχάσῃ* edd. — 351 „Poteris animo hic repetere v. 334: *εἴκελα καὶ δ' ἄλλαις ἐπιμαρτυρίαις τελέουσιν.*" K. 356 *παλαισμοσύνῃσιν* edd. — 357 *τ' ἀγασθενέες*] *μεγασθενέες* edd. — 363 *δὲ κενῶς* G, *δέ κεν, ὡς* A. ‖ *φανείειν* G, *φανεῖεν* A. — 374 *ἐξανύοντ'* edd. ‖ *μενοινά* G, *μενοινή* A. — 380 *Ἄλλο τόδ'* G. — 382 *Ἤκουσιν* G. — 383 *ἐπὶ*] *ἐνὶ* edd. — 386 *ὁππότε δ'*] *ὁππότε* G, *ὁππότ' ἂν* A. — 390 *λήθουσι* G. — 392 *θηλυτέροις δ' ὁπότ'* edd., sed „MS. *δοτ'*" G. — 397 *ἄρ' αἰνὰ*] *ἄρενα* G. — 400 *δήσατ'* edd. — 402 *ἠδ'*] *εἰ δ'* G. — 405 *ἄφεσιν* G. — 410 *δύο φῶτ'*] *Φαέθων* edd. — 411 *Ἧτ' ἂν* G, *ἡ δ' ἂν* A. ‖ *μοίρεσσι* G. — 416 *εὕροις* edd. — 417 *σκέπτεο* G. — 418 *κείνου τε περιμοιβαῖσι δάσασθαι* et 419 *Τῶς γάρ κεν πλειόνων ἀριθμὸν μοιρῶν τε φράσαιο* G, *κ. τ'. περὶ μοίρῃσι δ.* et 419 *τὼς γὰρ πλειώνων ἀ. μ. τ. φ.* A. — 424 *αὐτοί γε* edd. — 425 *γεινομένοις* G. — 427 *πλευρῇ* G. —

In fine add G *ΜΑΝΕ΄ΘΩΝΟΣ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩ͂Ν | ΒΙΒΛΙ΄ΟΝ Γ.*

## LIBER VI. (III.)

4 *καίπερ θανάτῳ θυμὸν* edd. — 11 *τεράτων* G. — 12 *γενεῇ* G. — 18 *γενέθλη* G. — 25 *ὅσοις ἔπι*] *ὅσσοις* G, *ὁπόσσοις* A. — 30 *σελήνην* G. — 32 *ἐπέχων* edd. — 41 *καὶ τότ' ἐπ'* v. Vid. ad Quint. I, 120, cujus a norma non dissentire nostrum patet ex VI, 33. 92. 165; et cfr. IV,
*ῥεφθέντ'*
127 = I, 292. Tum *ὑπ' ὠδίνεσσιν* vide 49. ‖ *θαιφθέντ'* M, *θρεφθέντ'* G, *θρυφθέντ'* A. — 43 *ἔοι*] *ἐνὶ* G. — 45 *Ἄθρης* (sic!) G. ‖ *ἂν* om edd. — 48 *ἰόντος* v. — 49 *ὀλι-*

σϑον] ὄλοντο edd., quo retento Axt. l. c. ad versum sequentem adscripsit: „Ἄγχι ποδ. ist auf jeden Fall verderbt; wenn es noch μεσσηγύ hiesse! Vielleicht schrieb er Εἰλείϑυιαν, oder ἀμφιπόλοισι.“ Frustra! — 50 ἐπ'] ἐς G. — 56 ἴσοῖ AK retento in fine τέκεσσιν, pro quo nunc ex 145 τίεσκεν scripsi. Lacunam enim subesse hic minus probabile videbatur. Etiam Axt. l. c. jam Dorvillianum ἶσον γονίμοισιν ἔτισεν probat. — 57 Ἡ"ν δὲ ὅλως G. — 58 ὑπαι G, ἀπαὶ A. || χείλεσι ῥεφϑὲν G. — 59 ἐνούλησεν G, αἴν' ὄτλῆσεν A. — 67 Ῥίφϑέντ' ἐκ χώρης G. — 68 δουλοσύνη — ὀϊζυρῇ edd. — 70 ἐφεσπόμενος G. — 71 Μήνης G. — 79 Ἄρεως ἑπομένου G. — 83 ὡρονόμου G. — 86 ὁ δὲ] τόδε G. — 90 ὅγ'] ὁ δ' G, ὅδ' A. — 96 'ἴῶσιν (sic!) G. An ἐῶσιν? — 98 βορήν τέ μιν edd. — 99 Ἡ" πάλι δ' ἀῤῥήτοις G. || τοκέεσσι γένονται G, τοκέεσσιν ἔσονται A. — 100 ϑ' om G. — 105 ἀγνοστρόφον G. — 106 φαινόντων edd. || ἢ ὅτε τοῖσιν G, ἠέ τε τοῖσιν A. — 113 Ἡ"εις G, ἤϊες A. — 114 ἕκαστον? — 117 γενεῇ v. — 122 πέλῃ Φαέϑοντι ἀριγνώτῳ ἰσόμοιρος G. — 129 Ἑρμείηςτε G. || βλοσυρήτε Κυϑήρη G. — 131 μετερχομένοις G. — 137 αὔτη edd. || ἀγαιῆσιν G. — 151 ὑπὲρ ϑώρης G. — 153 Lacunam post hunc versum esse jam olim Axt. vidit, qui nunc dubitanter μὴ λέκτρα πόρωσιν conjecit. — 162 δεχνυμένη G. — 164 ὁρόωντες G. — 167 τοῖσιν γὰρ edd. — 171 τες δ' αὐταὶ καὶ ηνκλήροιο (sic!) G. — 172 ἐφ' ὥρης] "ὔης (sic!) G, ἴησιν A. — 173 Ἡ" ὅτε G. — 175 κασιγνήτοις πατέρων, σφετέροιςτε τοκεῦσιν G, κασιγνήτοις πατέρων σφετέροις τε τέκεσσιν A. — 176 ἢν δ' Ἄρης ὑπογείῳ ἢ δυτικῷ ἐνὶ κέντρῳ G. — 180 ὑπείη edd. — 182 κρυπταδίοις edd. — 183 φιλωϑεῖσαι G. — 184 λάϑρης G. — 192 τόϑ'] ὅϑ' G. — 193 αὐτῶν] ἄλλων G. — 198 ἔνιφϑεν G. — 201 ἁρπαγίμοις νύμφαι G. — 204 συνέουσιν edd. — 208 γένοντο, ἴδ' αὖ G, γένοντ', ἠδ' αὖ A. — 209 αὐτοὶ δ' αὖ μάχλοι edd. — 210 τε om G. — 212 Δέχνυσϑαι ξυνίῃ στονάχῃ ἕνεκεν G, δέχνυσϑαι ξενίης στοναχῇ ἕνεκεν A. — 214 ζώιων ενὶ μήνην (sic!) G, ζώῳ ἔνι Μήνης A. — 216 πέλοι ἀνδρὸς G, πέλοι ἀνδρί A. — 219 ταῦτα edd. — 220 ἀλόχῳ ἐνὶ edd. — 223 σχήματα edd. — 224 κατ'] μετ' v. — 232 κατόπισϑ' edd. — 233 δῶκαν καὶ δισσοὺς edd. — 240 ἴδ'] τε καὶ G. — 242 οἴκῳ K, errore nescio quo. — 245 ἔφ-

ὥπασσαν] ἤμερσαν G, ἐμέρισσαν AK verbo huic ignoto. || αὔδοντες G. — 647 τετράγωνος G, τετράγωνοι A. — 648 ὁρόων G. — 649 δυιώρην G. — 651 δεκατέτως G. — 663 πενίης κρυερῆς v. Sed vid. 633. 679. — 665 ἂν] ἦν G, αὖ A. — 666 συναφὴν G. — 670 κ'] γ' edd. — 673 ἐξεκύλισσεν G. — 674 τέχναις] τέχνεων G, τεχνέων AK. — 675 καλὴ] βάλλῃ A sine lacuna. — 676 μάλα] κατὰ edd. || πάντ'] πόλλ' v. — 678 ἄσπετος] ἄσπετά γ' edd. — 684 Ἤεις G, sed ἤεἰς M; ἤϊες A. — 685 Τῶς G, τώς A. — 687 καὶ] ἢ edd. || καθύπερθε ῥέοιεν G, sed καθυπερτερέοιεν M; καθύπερτερέοιεν miro errore A. — 688 τοίγ'] τότ' G. — 694 γεγαῶτες edd. || ἴκουσιν G, εἴκουσιν A. — 697 ἔσται edd. — 701 ἢ om G. — 702 πέλοι edd. — 703 εἰ] ἢν v. — 705 ἀμφοτέρων δμώων v. — 706 δέ κεν G. — 707 δ' αὐτ' ἐν κέντρῳ Κρόνος G, δ' αὖ Κρόνος ἐν κέντρῳ A. — 709 ἐπ'] ὑπ' edd. — 711 Ἄμμ' G. — 717 δρῶντο G. — 723 Μήτινος αὐλέσαντος G, sed in M „superscript. αὐλυσαντος.“ — 730 ὁππόσα] ὅσσα γε edd. — 732 Post hunc hujuscemodi versum;

σχήματα, τοῖσιν ἄνακτας ἰδὲ κρατεροὺς βασιλῆας,

excidisse demonstravi in praefat. p. XVI. — 734 οὔ κ'] οὐκ v. — 735 τοίῃ ἀεὶ] τοιῆς ἂν G, (μαντοσύνῃσι γὰρ) ἂν τοίαις A. — 736 τῇδ'] τήν δ' G, δῆθ' A. — 737 γε] τε G. || ἔχων] ἄγων G, ἐγὼν A. — 741 τῇ μ'] τὴν G. || ἔφην ἐπολύλλιτος G. — 742 ὑστατίοισι μετ' v. — 743 τάδ' G. — 747 καθ' ὥρης] καὶ ὥρῃ edd. — 751 μούσῃ G. — 753 αἰγιόχοιο θύγατρες edd. —

In fine add G ΜΑΝΕΘΩΝΟΣ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ | ΒΙΒΛΙΟΝ ϛ' ΤΕΤΕΛΕΣΤΑΙ.

## LIBER IV.

1 πλάστιγγος G. — 4 ἐξονόμηνας G, ἐξονόμηνα A. — 6 ἡμιμητ' ἀποῤῥείῃ G, ἡμιτμῆγι πορείῃ A. — 7 θεομήτορα edd. — 17 ἐς βίον ὥρης G. — 21 ζωϊδίοιςτε G, ζώδια δ' οἷς τε A. — 29 αἰθερολαμπῆ G, quod errore relictum in K; αἰθερολαμπῆ A. — 31 ῥέξει K errore. — 33 λύπης hic quoque G. — 35 An βιοτοσκόπον ut infra 572? Sed cfr. supra 28 κλυτοτέρμονος ὥρης, quamquam hic quoque ex 77 βιοτέρμονος praesto est. — 37 δρόμον G. — 38 ἠὲ

edd. — 40 *πολέμῳ*] *πόλεών* G, *πολέων* AK. — 43 *πολύκλεος οἴσεται οἴκους* G, *πολὺ κλέος οἴσετ' ἐς οἴκους* A. — 44 *περιλαμπέος* edd. — 45 *ἀμφιπολεύει* G. — 49 *πότμῳ*] *κόσμῳ* edd. — 52 *νοσερῶς* edd. — 53 *δύνουσα* edd. — 56 *πανάθέσμιος ἀνὴρ* edd. — 57 *αἰσχρεόμυθος* edd. — 60 *κατὰ μόχθους* edd. — 65 *ἣν μὲν γὰρ* edd. || *μεσόεντα* G, *μεσσοῦντα* A. — 68 „*ἐκ τοίης τιμῆς μυστήρια τεύχετ ἄπιστα* edd., clausula v. 64 inepte repetita, quae sine dubio invecta est, postquam genuina perierant. Eorum fortasse leve vestigium restat in scriptura v. praecedentis, de qua ita G scribit: „Sic edidi, quum in MS. esset *ἀπλάτου διακοσμήτορα κόμπον*, eique superscriptum *ἀπλάτους διεκοσμήτορα*, at in margine *γρ. θεομήτορα κόσμον*, quod superius“ (v. 7) „occurrit, ut pateat locum diu fuisse ambiguum.“ Hinc ad *τιμῆς* addidi *δέ*, versu lacunae signis expleto.“ Ita tum quidem disserui, nunc vero locum mutilatum ex relictis laciniis satis probabiliter mihi restituisse videor: cfr. II, 243. III, 80 de eodem schemate. — 72 *καὶ καλαμογρ.*] *ἐκ καλαμογρ.* edd. — 76 *τε* om edd. || *ἀχρήεντας* edd., *ἀγριόεντας* K. — 78 *κρατέῃ*] *κατὰ γῆς* edd. — 81 *σεληνιάζων τε νόσοισι* edd. — 83 *γῆςτε* G, *γῆς γε* A. || *φέροιτο* edd. — 82 *ἴδ' ἐν*] *ἔτι* G, sed *εἰ δ' ἐν* M. — 85 *ἐνόλβους* edd. — 86 *θηλυγόνους δὲ τέκνοισι καὶ εὐπάτορας κ' ἀτρέπτους* G; *καὶ ἀτρέπτους* ceteris corruptelis retentis A. — 87 *δύναντος* edd. — 88 *πλαγκτὰ*] *πολλὰ* edd. — 89 *ἐν ξενίῃσιν* K, quoniam sequentis versus defectum nondum perspexeram. Patet enim tale quid deesse:

> — — — — *ἐν ξενίῃ τε*
> *τὸ πλεῖστον ζωῆς θάμ' ἀλωόμενος τολυπεύσει,*
> *εἰναλίας νῆάς τε διευθύνων βιοτεύσει.*

95 *γονίμην ὥρην* edd. — 99 *Ἵζεσθαι* G. — 102 *πλουτοτόκος*] *πλειστοτόκους* edd., *τικτομένοις* dubitanter K. — 104 *δ' οὐχ ἕξει* edd. — 105 *Ἡσυχίης* G. — 106 *τ'* om edd. — 108 *ἅμα τροχίῃ* G, *ἁματροχίῃ* AK. — 109 *σοι* edd. — 114 *λιτῆς*] *λεπτῆς* edd. — 115 *ὤλετο* edd. — 126 *ῃ*] *ἣν* G, *ἣν* A. — 127 *σοφίῃσιν ἀρίστους* v, quod apud hunc propter 129 mutandum erat: cfr. 141. 203. — 132 Post hunc alium versum deesse nunc demum intellexi, cujus quae textui intuli verba ex IV, 45 et VI, 484 petita sunt. Vix dubito, quin olim totus locus hoc modo scriptus fuerit:

in fine ἐςωθρεῖν A sine ulla apertissimi defectus suspicione. — 391 Ἄρης edd. — 397 ὄλεσεν ἥρπαξας G. — 399 κε σε G. — 401 Μοίρης edd. — 408 εὐχήμενον G, εὐχήμενοι A. — 413 αμβλασσεους δ' εγυναιξ (sic?) H, Ἀμβλώσσεις δ' ἐ γυναιξὶ G, ἀμβλωθροῖς δὲ γυναιξὶ A || φύσας ex I, 338 [illegible]: λέχρις edd. — 423 ἰδ' ἡγητῆρας edd. — 427 θεοκλήρους AK, sine necessitate. — 430 „Hunc versum, qui est apud Gron. 441, huc transposuimus." A. — 442 ἀνδροφόνους G. — 448 ψηφίδων? — 452 ἠδ' ἐν] ἦν μὲν edd. || κέλονται G. — 453 αἴθρη G. — 455 διδυματοκαταφύσει' H, δίδυμα κατὰ φύσει' G. — 460 Οὐρανίου G. — 468 ὑπεραγεῖς ὑπὲρ γῆν edd. — 469 μισθῷ] κόσμῳ edd. — 472 Ἄρεα αἰθέρα edd. — 473 ἐναντιόωντα] ἐναντίον ἀστέρα edd. — 474 μεροπήιας G. — 481 αὐτοῖς ἢ] αὐτοῖσι G. — Inter 485 et 486 inserendum fuisse I, 313 jam is qui librum Halensem descripsit indicaverat: nec tamen recepit A. — 488 φονίοις] φοβεροῖς v; I, 316 σφαγίοις legitur. — 490 λυγρὸν] κακὸν edd. — 507 ἀλλοτρίους θαλάμους sequentibus junctum G, ἀλλοτρίου θαλάμου olim K. — 509 ἱερόπλαγκτον G. — 510 μήνη G. — 513 γενεῆντ' G. — 514 ἰθυδίκαιοι] ἠδὲ βίαια edd. — 516 ἐπ' ἄστροις edd. — 524 τιμὴν antecedentibus junctum edd. — 531 δρόμον] νόον v. — 534 ἔκ τ' ἐνέδρων edd. — 535 τελέουσιν edd. — 536 τελέων] τε λόγων G, γε λόγων A. — 540 Μαρφακτὸν G. — 546 συνδέσμοις ῥυσμοῖο edd., συνδέσμου Κρονικοῖο K. — 547 ἰδ'] ἐν G. — 548 θεόληµπτα G. || ἀκρατόεντι edd. — 549 πολλάτ' G, πολλὰ δ' A. || καὶ ἀνθρώποις edd. — 551 βίων G. || κελεύθους v. — 555 νεκροειδῆ] νεκροδερκῆ v, corruptum ex verbo quod antecedit. — 556 μηνίσμασί edd. — 557 ὀξύχολοι edd., ὀξύγοοι K. — 559 θεὰ v. Consulto volgarem formam etiam in θέα retinui. — 560 ἔλθῃ] ὀφθῇ edd. — 565 διὰ παντὸς] διὰ θυμὸν edd. — 571 νεὸν G. An θοόν? — 575 μέγ'] μετ' edd. — 576 καρπώσασθαι edd. — 577 μέροπος πόρον G. — 583 φαίνῃ G. — 585 τε τόκοιο] τέκνοισι G, κείνοισι A. — 587 δειχθεὶς edd. — 590 διδυματόκαι edd., διδυμάστροφοι K, quam insolentiorem formam nunc mutavi. — 592 αἰσχρεόφημοι edd. — 596 ἐκθεσίμην G. — 598 συναίῃ G, συνίῃ A. || τ' om edd. — 599 λαμπομένῳ edd., λαμπόμενοι K. — 600 ἥμισυ δοῦλοι G. — 606 An potius

*πεντάκι κυρίαις τε καὶ ἑπτάκι καινισθέντες?* — 609 *Νειοῦσαι* G. — 611 *ἀλγεινῶντε καὶ ἐχθρῶν* G, *ἀλγεινῶν ἐχθράων* A, *εἱρκτάων ἀλεγεινῶν* majore quam opus erat molimine K. — 612 *πάθος*] *γένος* sine lacunae suspicione edd., quae etiam ante *ἀπολήγῃ* add *δ'*. — 614 *θηροβόλου* G. ‖ *κλωσθέντα* G. Unde A *θηροβόρον θάνατον φωσὶν κλωσθέντα βραβεύει* lacuna non cognita. — 615 *ἠδὲ* G. — 620 *ὡς ἂν ζωϊδίων* — *τέμνῃ* edd. — 621 *τ' εἰδώλων*] *τε δικήλων* G, *δεικήλων* A. — 625 *ἔπων* G. — 626 *Ἐ᾽νμέτροις ἀγῶσι* G, *ἐν μέτροις ἀγνῶσι* A. —

In fine add G *ΜΑΝΕ´ΘΩΝΟΣ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩ˜Ν ΒΙΒΛΙ´ΟΝ Δ.*

## LIBER I. (V.)

20 *ἑταιρίσιν, ἠδὲ λαφύραις* G, *ἑταιρίσιν ἠδὲ λάφυρα* A, *ἑταιρίσιν, ἠδὲ λαφύροις* K „vocabulo insolenter ad captivas puellas traducto,“ quod jam non sufficere videbatur. — 24 *τοῖσιν*] *τούτοις* G. — 39 *χρώματος* G, *χρήματος* A. — 41 *μόρον αἰνὸν οὐκ ἐκφεύγουσι* G, *μόρον αἰνὸν ὑπεκφεύγουσι* A, *μοῖραν δ' οὐκ ἐκφεύγουσι* K majore quam opus erat molimine. — 44 *αὐτοῖσιν*] *ἄνδρεσσιν?* — 47 *κρατέουσ'* edd. — 54 *Ὄχθοὺς* G, *ὄχθους* A. — 60 *ἅπτοντ' ἢ λύρης εὐρύθμοιο* G. — 85 *οἵτ' ἐπὶ* edd. — 87 *παρύγροισι* edd. — 88 *ἰδίων* edd. — 91 *τ'* om edd. — 100 *ἐλαιοφόροιο* edd. — 106 *τε* om edd. — 117 *θῆλυ* G. — 120 *δεινὸν* G. — 123 *ἠδὲ καὶ αὐτὸς*] *εἰ δέ κεν οὕτω* edd. — 124 *καὶ Κρόνος ἀμφιβάλοι* edd. — 126 *αἰνότερ' ὄντας* G. — 137 *Χουλοὶ* G. — 142 *ἐμπίπρανται* v. — 144 *ξηροῖσιν*] *ξηροὶ μὲν* G. — 148 *ἀκλειῶς μεθ' ἑοῦ μόρου ἐσταύρωσας* edd. — 149 *οὔ τέτατ'*] *Οὔτι τάδ'* G. ‖ *ἡλοπαγῆ* G. — 155 *οἵ κεν ἔπειτα* edd. — 159 hic legitur pentameter quem infra sub E 29 posuimus. — 160 *τρυχώμενον* G. — 165 *Λεπταλέοις* G. — 168 *ὄλλυσι* G. — 170 *ἐγύμνασεν ἤμασιν* G. — 171 *τε* om edd. ‖ *ἀργαλίαις πενίεσσιν* G. — 172 *ἐνδείεσσιν* G. — 174 *στυγερῷ* — *σιδήρῳ* edd., quod infra sub E 29 retinui. — 173 *Ἄ˜ς τε γονῇ δ', ἀγύναιον ἄτενοντ' ἐν νεότητι* G, quod feliciter em A de transponendo versu nihil sentiens. — 159 *Ἀνέρα σ' ἐκτήκει* G. — 175 *τοῦτον* edd. — 179 *Ἢ πάθος ἠπλώουσιν* G, *ἢ πάθον* (junctum cum *σίνος αἰνὸν*) *ἢ*

πλώουσιν. A lacuna non animadversa. — 180 Παφίην G. || μὲν] κεν G. — 181 Τὴν πρᾶξιν ἕξουσιν G. — 185 Ο῞σσοι G. — 188 μινυνθαδίοισι edd. — 189 αὐχήσαντα edd. — 190 θηρίεσσι G. || ῥυζήσασαι edd., ῥοιζήσασαι K. — 192 Αὗται G. — 198 ἀθανάτοισι θυηλῆς (θυήλης G) edd. — 204 τε om edd. — 213 τελέσειεν edd. — 214 ἔμεν] ἐὸν edd. — 217 προκοπῇ στερεοῦσι G. || ὀδάσουσι („in marg. adscriptum σκεδάσουσιν, ἐλάσουσιν") G. — 221 χρώματος G, χρήματος A. — 222 ἀπ' εὐπορίης] ἐν εὐπορίῃ edd. — 230 'Ηελίου τε] ἠελίοιο G. — 235 ῇ] ἣν G. — 242 ὀλοαὶ τηροῦσι G, ὀλοὸν τηροῦσι A. — 244 λυσσοῶντες G. — 252 αὐτοὺς] αὐτὰς G. — 254 Ά ψαμένας — ἀραμένας G. — 255 δαιομένας — παθούσας G. — 256 Κρόνου μέση G, Κρόνου μέσση A. — 261 αἳ] καὶ edd. || φίλτρα] λέκτρα edd. — 270 βιότου G. — 272 Μοίρην ἐντὸς ἔχουσα G, μοίρης ἐντὸς ἔχουσα A. — 273 ῎Αρεός τ'] ῎Αρεος G, ῎Αρεως A. — 282 καθ'] ἐπ' G. — 292 σοφίεσσιν G. — 295 κοσμὸν G. — 299 εὐτυπέων („Suprascr. εὐτυπέας") G, εὐτύκτων A. — 302 Ε῾ρμεία („Suprascr. ἑρμείου") G, 'Ερμείω K. — 306 ἀμφικέρως G. — 307 λαξεύματα G. — 310 ἐπανύκτορας G. — 312 φωραθέντες G. — 313 σιδηρόεντάτε G. — 315 Consulto compilatori suas sordes reliqui, quamquam facile aut βίοτον λείψει aut θάνατον βλέψει scribi potuit. — 317 ἀγχονέοντα G. — 321 Κρόνου G. — 326 ὑπότρομον G. — 327 κυανοχρόοιο G. — 333 Κ' ἐκ G. || αὐχήσουσιν edd. — 335 Μάρτυς δ' ἐπὶ τοῦτο γένηται καὶ Πυρόεις, Η῾ μήτηρ προτέρη οἴχεται εἰς ἀΐδην G, quod retinuit A, ego ex IV, 410 sq. redintegravi. — 342 στερέησιν G, στερέσειεν A. — 345 τῇδε] τούσδε edd. — 348 Εὐτυχὲς ἐκ γενεῆς ἔσσεται τοῦτο θέμα edd., sed „MS. ἔσειτε" G. — 352 εὐπράκτους edd. — 355 πολλῶν κακῶν G. — 356 τ' ἄξει] ἕξει G, θ' ἕξει A. — 359 πλανῶντε G, sed „MS. πλανητῶν". — In fine add G: *ΜΑΝΕ΄ΘΩΝΟΣ Α΄ΠΟΤΕΛΕΣΜΑΤΙΚΩ῀Ν | ΒΙΒΛΙ΄ΟΝ Δ | ΠΕΠΛΗΡΩΤΑΙ.*

## LIBER V. (VI.)

2 ἤυρατο v. — 3 τ' in edd. post ἄστρων legitur. — 5 κεκόσμηται G. — 6 βλύζον] βληδῶν G. — 7 ῇ διὰ] Η῏ν δ' ἄρα G, αἱ δ' ἄρα A. || οὐράνιον χορὸν edd. — 8 μοι-

*ραίοισι*] *Μυρίοισι* G. — 9 *ἔτ' ἐμήσατο*] *ἐπεμήσατο* G. — 11 *οὐ*] *Οὖ* G. || *δ'* om G, *γ'* A. — 12 *γενέσειας* G. — 15 *ϑ'*] *γ'* G. — 18 *Μοίρην* G. — 21 *παρέϑηκα γελοῖα* edd. Em Jacobs. ad Anthol. Palat. p. 671. — 22 *Χρύσεα χαλκείοισιν* G. || *ἔπη* A, perperam. — 23 *κόχλος χρυσῷ* edd. — 24 *κοχλάδεσσιν* G, quod fortasse retineri potest. || *περιπορφύροντος* v. — 28 *Ὥρη δ' ἀκριβοῦται βροτοῖσι* G, *ὥρη δ' ἀκριβοῦσα βροτοῖσι* ordine volgato retento A. — 27 *ψεύσηται* G; *ὥρη ψεύσηται, ἅμ' ἐξώλισϑεν* A. — 29 *ἀπ' οὐρανοῦ ἀέρι πουλὺν* edd. — 30 *ἑπταπόλοιο* G. — 31 *καὶ*] *γίνεται* G prono errore propter antecedens *γένος*, quo non animadverso A versum *γίγνεται αἰῶνος ῥιζίς, φύσιος πολυμόρφου* scriptum post 28 posuit. — 32 *σφαίρωμ' ἄνα*] *σφαιρώματα* edd. — 35 Versus, qui post 34 excidit hujus constellationis primus, initium *Ζεύς* fuisse patet. — 42 *ὅτ' ἂν*, pro quo A *ἐπὴν*, et *λεύσειε* ut alia consulto huic reliqui. — 44 *σχήμασι καλὸν*] *σχήμασιν ἄλλος* G. — 50 *τούτων* edd. — 55 sq. sic in G leguntur:

* *Ψυχρὸς γάρ τε πέλει τῇδε Κρόνοιο βολὴ*
*καὶ πήγνυται*
*Ὄψιμος. εἰ δ' ἄμφω δὶ ἔριν δ' ἐπὶ κέντρον ἔχωσιν,*

hac addita nota: „Sic ordinavi, quum in MS. uno versu continuaretur, *ψυχρὸς γάρ τε πέλει τῇδε κρόνοιο βολὴ καὶ πίγνυται ὄψιμος*, in secundo ponerentur haec: *εἰ δ' ἄμφω διέριν δ' ἐπίκεντρον ἔχωσιν*, ut versus quinque pedum.“ Priora retinuit A, in altero versu *εἰ δ' ἄμφω δῆρίν γ' ἐπίκεντρον ἔχωσιν* scribens. — 58 *σύνοδοι* edd. — 61 *ἀποϑάλπεται ϑερμῷ* G, *ϑάλπει ὑπὸ ϑερμῷ* A. — 63 *ἄστροισι ἅπασιν* G. || *κακοεργός* edd. — 65 *ἐνὶ ξενίῃσιν*] *ἐν νήεσσιν* (addito *τε* ante *καὶ* A) edd., *ἐν ὀϑνείῃσιν* K. Cfr. IV, 89. 162. 470. 521. — 67 *Ζῆλος* G. || *ἐγκλήσιας* A. || *ἀνάγκην*] *ἀνίην*? — 68 *ἀλλοπρόσαλλα* sine lacuna A. — 71 *Ἐ'ς πορίην* G. || *τε* om G. — 72 *αἴης*] *ἀναίης* G. — 76 *ὅταν δ'*] *ὅτ' ἂν* G, *ἐπὴν* A. — 77 *Ὅσσον ἔχων* G. || *λεύσει* G, *λεύσῃ* A. — 78 *πέλεται πανείμερος* („Superscr. *πανήμερος*“) G, *πέλετ' ἠὲ πανίμερος* A. — 79 *ἐπιχϑεὶς* G, *ἐπειχϑεὶς* AK. — 83 *ἐπὶ πένϑιμον* („MS. *ἐπιπένϑιμον*“) G, *ἔπι πένϑιμον* A. — 86 *Παίοντας* G. — 90 *Ἡ'δὲ* (sed „*ἤδε* MS.“ et „superscr. *εἰ δὲ*“) G, *εἰ δὲ* A. — 91 *δρησμὸν*] *δεσμὸν* edd. — 94 *δύναντες* edd. — 96 *πινυτοὶ* G. — 97

δ' om edd. || μέγ' ἀειρόμενοι] ἐπιγεινόμενοι G, ἔπι γεινόμενοι A, ἀνεπειγόμενοι K. — 98 ψαύσαντες] φύσαντες edd. — 99 unus versus in G legitur sic: Οὐρανίαισι βολαῖς ὡς ἀστέρες ἦλθον ἐπ' ἄφνῳ *, sed hac addita nota: „* Post hoc verbum in MS. adscribitur ανέλαμψαν, quasi id his adnecti deberet." οὐρανίῃσι — ἦλθον ἐπ' ἄφνω A. Cfr. III, 67 sq. — 104 γελοίους K. Sed facile tale quid excidere poterat:

— — — — ὄχλοισι γελοίων
ἔργων πραγματίῃ μέγα χάρμα φέροντας ἔτευξαν.

Cfr. IV, 277. — 105 μὲν supplet A. — 107 στομάχων κρυφίμων G. — 112 Μείων δ' ἢ μείζων G. — 116 διανοίαις G. — 118 εἰς νόσον ὀργῇ edd. — 122 γὰρ ἔχει] παρέχει corruptum ex versu antecedenti G. — 123 χείρον' ἀπ'] χείρων edd. — 124 Μίμνης ἀσκομένη δάνιόν περ ἀπώλεσεν ἰσοτέλησεν G. — 128 ἔφυσεν] ἔασεν G. In alia omnia abiens A οὗτοι ἔασιν πτωχοί, χερνῆται ταλαπείριοι ἠδέ τ' ἀλῆται. — 133 δεσμοβρόχους G. || θωήν] ζωήν v. — 135 Μιμητὰς G. || καμάτου edd. — 139 Σχῆμα τότε Παφίης μεθοδέυεται, καί τοτ' ἐκεῖνος G, σχήματι τῆς Παφίης μεθοδεύεται, ἠδέ τ' ἐκεῖνος A. — 140 Α' ῤῥενόθηλυς ἐὼν κοσμεῖται πέπλοισι G. — 141 καὶ τούτων ἄχρι δήμου θυμέλεσσιν ἐραστὰς G, καὶ τούτων ἄρχει δήμου θυμέλῃσιν ἀρεστός A. — 143 ἐρασταῖς G. — 146 σχοίνων ἰδὲ ἱερόφοιτον G, σχοίνων ἠδ' ἠερόφοιτον A. — 147 πτερῶν G. — 149 εὕροις v. — 151 'Ανθρώπων δύνουσαν ὁρᾶν, ὅτι ναύτιλον („MS. ναύτηλον") ὑγρὴν G, ἀνθρώπων δεύουσαν ὁρᾷ τότε ναύτιλος ὑγρήν A. — 155 ἢ ὑδροχόῳ ἢ ἴχθυσι G. — 157 δ' om AK, ille consulto cum v. antecedenti δύνων ἂρ καθ' ὕδωρ δεσμευόμενός scripsisset. — 158 πολυτρήτους G. An fuit βυθίοιο πολυτρήτους? — 160 ἄσθμα G. — 161 νομίαν G, νομίῃ A. — 163 Ω' δαῖσιν κιθάρης νευροδέτου („MS. νεῦρεν δὲ τοῦ superscr. νεῦρον") G, nostrum A nisi quod κιθάρῃ habet. — 164 χαλκῷ τε παρέξεται πνεῦμα G, χαλκοῖο πνεῦμα παρέξει A. — 167 Τὴν δ' ἄλλων μορφὴν τοῖς χρώμασιν ὧδε διώκει G, quo retento v. antecedenti ἐπιχωρεῖ pro ἐπὶ χώρῃ A. — 169 ἐπαναφέρηται μετ' ἠελίοιο G. — 170 Η'νίοχον — διερχόμενον G. — 171 πώλων] ζώων v. — 172 Καὶ νείσει σύρτῃ edd., sed καὶ νέες εισύρτῃ M. — 173 ὑψώματι οὖσα G, ὑψώματ' ἰοῦσα A. — 175 χρησαμένη τέχνῃ — ἀναβαίνει edd. Em

A. — 177 εἰ δ' Ἄρεα v. || γνοίης ἀκρώνυκτον G. — 178 τε om G. — 181 ἐπιφωλεύοντα κέντρα G, ἔπι φωλεύων κατὰ κέντρα AK. — 182 Τὴν πρᾶξιν Ζηνὶ καὶ τὸν Κρόνον ὑπόγειον G, τὴν πρῆξιν ζητῇ καὶ τὸν Κρόνον ὄνθ' ὑπόγειον AK; τὴν Παφίην τηρῇ καὶ etc. conjecerunt AR. Locum, de quo olim desperavi, omisso vocabulo male suppletum nunc probabiliter restituisse mihi videor: signa, in quibus contra habere dicitur Mars, accuratius indicanda fuerunt. Et cfr. supra 84. 154. — 184 αὐτοῖς edd. — 185 αὐτομανοῦς G. — 186 προκαλοῦντας] δὲ καλούντων edd., καθελόντας K. — 188 ὑποδίψιον v. Em A. — 189 μεσουρανέουσα G, quo servato alius τύχησι scripsisset. — 190 σὺν ἡελίῳ δ' („MS. ἡλίῳ") G, σύν γ' Ἡλίῳ ὢν A. — 191 ὑποσήκεται πένθιμος ἀνὴρ G, ὑποτήκει πένθιμον ἄνδρα A, ὑποτήκεται αἴθινος ἀνήρ K, pro quo nunc consuetum adjectivum reposui. — 194 ὑὸς om G. || ὑφίσταται λευκὸν G, ὑφίσταται ἀργὸν AK; sed nunc sollemne ‚fulminei dentis' epitheton retinere satius visum. — 195 Ἢ γναπτοῖς ὀνύχεσσιν λαιμὸν ἀνόρυξεν ὀρίοις G, ἢ λαιμὸν γναμπτοῖς ὀνύχεσσ' ἀνορύσσετ' ὀρείου A. — 198 συνλειβομένη G, συλλειβομένη A. — 199 μέλαθρα edd. — 200 Πολλάκι δ' ἢ πτῶσιν G, πολλάκις ἐν πτώσει A. || ἢ χώματι G, καὶ χώματι A. — 201 Κλεινηδὸν ἐπέρηξε G. || συνθλώμενον G, συνθλωμένου A. — 203 Τέκνων G, τεκνοῦν A. || πεδονήϊον G. — 204 ὡς ἄλλην ἀσεβήϊον ἢ Ἰοκάστην edd. — 205 καὶ om G, quo non suppleto μητρυιῆσιν συνέμιξεν A. — 207 μάρτυς] μάντις G. — 209 τοι Τιτὰν μὲν] μὲν Τιτὰν G. — 210 γηθεῖ AK. — 212 ἠδὲ edd. — 216 τελοῦσαν γυναιξίν τε συνευνάζουσαν G, τελοῦσι γυναιξὶ συνευνάζουσαι A. — 221 Μοίρην νευροτόμου ἐσφιγμένην ἀκρισιδήρῳ G, μοῖραν νευροτόμῳ ἐσφιγμένου ἄκρα σιδήρῳ A. — 222 Τιτάνος ἐστὶν ἐν οἴκῳ G. — 224 ἀτίμητον v. — 226 λίην] λείηντε G. — 229 ἐπιμήκεα G. — 233 δαπάνεσσι G. — 235 ὥρην] χώρην G. — 236 δ' om edd. — 237 Ἐχθροὺς ἐκπτώσει G, ἐχθροῖς δὲ πτώξει A. — 238 εἴξει] ἄρξει G. — 239 γραφαῖς ἐπερείδεται ὑψόσε γαίης edd., γραφαῖς ἀπεκείγεται ἄλλοσε γαίης K. — 240 λύπης δίχα· τοῖς ἐπὶ τέκνοις edd. — 241 γραφαῖς] γοναῖς edd. — 243 συνάπτοι G. — 245 πινυτὸν, ἐν γυμνάσι τὸν Ἑρμῆν G, πινυτόν τ', ἐν γυμνασίοις ἴσον Ἑρμῇ A. — 246 ἠδ' ἄρ' οἱ] αὐτὰρ (sic!) G. — 254 βλά-

Restat unus locus, in quo me „sero sapere“ video, IV, 483, ubi elegantissimus auctor dubitari non potest quin θυρέων scripserit, cum a compilatore I, 310 turpissimus soloecismus θυρέτρων — ὀθνείαων haud alienus videatur.

Scripsi Turici die XVIII. mens. Maji. MDCCCLVIII.

ARMINIUS KOECHLY.

# ΜΑΝΕΘΩΝΟΣ

# ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ

## ΒΙΒΛΙΑ ΕΞ.

# ΒΙΒΛΙΟΝ Β. [Α.]

Ἐν τῷ β′ τούτῳ βιβλίῳ διέξεισιν,

*Α.* Περὶ τῆς θέσεως τῶν ἐν τῇ σφαίρᾳ κύκλων φαινομένων τε καὶ ἀφανῶν καὶ ἄξονος καὶ ὁρίζοντος καὶ τῆς ἐν τοῖς κύκλοις τῶν ἄστρων τε καὶ ἀστέρων θέσεως καὶ τῶν λοξῶν κύκλων.

*Β.* Τί ἕκαστος τῶν ἑπτὰ πλανητῶν ἐν ἰδίῳ, καὶ τί ἐν ἀλλοτρίῳ οἴκῳ φαινόμενος ἀποτελεῖ.

*Γ.* Τίς ἑκάστου τῶν ἑπτὰ πλανητῶν ἐν τῇ ἀνατολῇ, καὶ τίς ἐν τῇ δύσει δύναμις.

*Δ.* Περὶ τῆς φάσεως τῶν ζ′ πλανητῶν, καὶ τί μὲν ἕκαστος αὐτῶν τῷ ἡλίῳ συνὼν ἀποτελεῖ, καὶ τί διαμετρῶν, τί δὲ τῇ σελήνῃ καθ᾽ ἑκάστην τῶν δύο φάσεων.

---

Πάντοτε μὲν κόσμοιο κατ᾽ αἰθέρα κοιρανέοντες
Ἠέλιος Μήνη τε διηνεκὲς ὦκα φέρονται.
ἄστρα δ᾽ ἄρ᾽ ἤλιθα μυρί᾽ ἀν᾽ οὐρανῷ ἐστήρικται
μαρμαίροντ᾽ ἐπὶ νυκτί, τὰ μὲν σελάεσσιν ἀφαυροῖς
αἰθύσσοντ᾽, ὥσθ᾽ ὅσσον ὑπ᾽ ὄμμασιν αὐγάζεσθαι,
πολλοὶ δ᾽ αὖτ᾽ αἴγλῃσι φαεινόμενοι βλοσυρῇσιν
ἀστέρες, ὡς καὶ φέγγος ἐπὶ χθονὸς ἡμερίοισιν
φαίνειν, εὖτ᾽ ἀσέληνον ἔχῃ δρόμον ἀμβροσίη νύξ·
καὶ μὴν δὴ τάδε πάντα δι᾽ αἰθέρος αἰὲν ἄρηρεν
ἀπλανέ᾽ ἐν χώρῃ, τῇ δὴ τὰ πρῶτα δέδασται,
ἑλκόμεν᾽ ἀντολίηθεν ἐφ᾽ ἑσπερίην δύσιν αἰεί,
παῦρ᾽ ὑπὸ δεικήλων τεράτων τετυπωμένα μορφαῖς,
αὔτως δὲ πλέονα σποράδην πεφορημέν᾽ ὕπερθεν.

πέντε δ' ἄρ' ἀστέρες οἷοι ἀγαυότατοι διὰ κύκλου
Ζωδιακοῦ πλάζονται ἀμειβόμενοι κατὰ κόσμον
καὶ ῥείκηλ', οὓς φῦλα βροτῶν ὀνόμηναν ἀλήτας,
τῶν μὲν δὴ μετόπισθε φίλῃ μεμνήσομ' ἀοιδῇ.
Μακρὸς δ' αὖ διὰ μέσσου ἐλήλαται οὐρανοῦ ἄξων,
ἀστεμφής, ὄσσοισιν ὁρωμένῳ ἀπροτίοπτος,
ὃς περὶ πᾶν γαίης τε καὶ ἀτρυγέτου διὰ πόντου
ὦκα διηνεκέως δινεύμενος οὐκ ἀπολήγει.
Τοῦ δὲ δύω πόλοι εἰσὶ καταντιπέρην ἀσάλευτοι,
ὃς μὲν ἐπὶ κρυεροῦ Βορέω πνοιῇσιν ἀρηρὼς
καὶ κεφαλῆς ἀγχοῦ βαιῆς κυνοσουρίδος Ἄρκτου,
ἄλλος δ' ἐν διερῷ Νότῳ ἵσταται· ἀλλ' ὃ μὲν ὑψοῦ
κεῖται ὑπερχθόνιος, Νότιος δ' αἴδηλος ὑπ' αἶαν.
Κύκλοι δ' αὖ πολλοὶ καὶ ἀπείριτοι οὐρανοῦ εἴσω
δινεῦνται, τοὺς αὐτὸς ἀεὶ σφαίρης στροφάλιγγι
τεύχει ἑλισσομένων ἄστρων κατ' ἀπείριτον οἶμον.
τῶν δέ τε πάντων εἰσὶ πανέξοχοι ἐννέα κύκλοι,
δοιοὶ μὲν προτίοπτοι ἰδ' ὀφθαλμοῖσιν ὁρητοί,
οἱ δ' ἄλλοι μήτι μερόπων πραπίσιν τε νοητοί.
ἕπτ' ἀιδεῖς μὲν ἔασιν ἰδ' ἐν φρεσὶ μοῦνον ὁρητοί,
ἀλλήλοις δὲ παραβλήδην στρωφώμενοι αἰεί·
ὃς μὲν γὰρ πρῶτος * * *
* * * πόλου δινεύμενος ὑψοῦ,
ὅντε Βόρειον φῶτες ἐπίκλησιν καλέουσιν·
τὸν δὲ μέτα τροπικὸς θέρεος πυριλαμπέος ὥρης
γίνεται· * * * * *
τείνονται μεσάτοιο, δι' οὗ θοὸν ἅρμα τιταίνων
ἴσην Ἠέλιος τεύχει νύκτ' ἄμβροτον ἠοῖ·
τῷ δ' ἔπι χειμερίοιο τροπῆς κύκλος ἐστήρικται·
ἑξείης δ' ἐπὶ τῷ Νότιος πέλει, οὗ ῥά τε βαιὴν
φράζεο μοῖραν ὕπερθε, τὸ γὰρ πλέον ἔσθ' ὑπὸ γαῖαν·
τοὺς δὲ μέσους τέμνουσι δύω κύκλοι ἄξονος αὐτοῦ

ἄκρης ἀρχόμενοι κορυφῆς· αὐτοί γε μὲν ἄμφω
ἀλλήλους ἄχρις Νοτίου τέμνουσι πόλοιο,
ὃς μὲν ἐνὶ θνητοῖσι καλούμενος ὀρθὸν Ὀρίζων,
ὃς δὲ Μεσημβρινὸς ὑψοῦ ἄκρης κυρτούμενος αἴθρης.
ἀμφότεροι δ' ἄρα τοίγε πόλων ἔντοσθεν ἐόντες
ἐντὸς ἐέργουσιν δίνην περικείμενοι ἄστρων.
οἵδε μὲν ἐν πραπίδεσσιν ἀριφραδέες τελέθουσιν
γνώσασθαι κύκλοι. τοὺς δ' αὖθ' ἑτέρους καὶ ὑπ' ὄσσοις
δερκόμεθ', εὖτ' ἂν γαῖαν ἐπιτρέχῃ ἀμβροσίη νύξ,
τὸν μὲν ἴσον χροιῇ λευκῷ φαίνοντα γάλακτι,
τὸν δ' ὑπὸ δεικήλοισι δυώδεκα παμφαίνοντα
Ζωδιακόν· λοξοὶ δ' ἐπαμοιβαδὶς ἐζώσαντο
οὐρανὸν ἀμφότεροι δίχα τέμνοντές σφεας αὐτούς.
ἑπτὰ δ' ἄρ', ὥσπερ πρόσθεν ἀείσαμεν, εἰσὶν ἄιστοι
καὶ μοῦνον πυκινῇσιν ἐνὶ φρεσὶν ἑστηῶτες,
οὕνεκεν οὐ ζώων μορφαῖς ὁλκοῖς τε φαεινοῖς
οὐδὲ μὲν οὐ χροιῇσι διάκριτοι εἰσορόωνται,
ἀλλ' αὔτως δίνῃσιν οἰόμεθά σφεας ἄστρων
κυκλοῦσθαι, τάπερ αὐτὸς ἀτειρὴς αἰὲν ἀγινεῖ
οὐρανὸς ἐν στροφάλιγγι περὶ χθόνα δῖαν ἑλίσσων.
ἦ γὰρ δὴ τὸν μέν τε Βορήιον ἀστέρες Ἄρκτου
μείζονος, ἣν Ἑλίκην ἐλάται νηῶν ὀνόμηναν,
ἀμφιχαράσσονται ῥοίζῳ στρωφώμενοι αἰεί,
οἵτε οἱ ἀκροτάτοισι φαείνονται περὶ ποσσίν·
ἄντυξ δ' αὖ κύκλοιο μέσην διὰ χεῖρα Βοώτου
τέμνει ὑπ' ἀγκῶνος σκαιοῦ, κεφαλῆς τε Δράκοντος
ἀκροτάτης ψαύει, στέρνον θ' ὕπο Κηφέος εἶσιν
καὶ κλεινῆς ἀλόχοιο παραὶ ποσὶ Κασσιεπείης.
κύκλος δ', ὅστε τρέπει θέρεος πυριλαμπέος ὥρην,
ἀστέρι δινεύοντι περιγράφεται κατ' Ὄλυμπον

*Παρθένος ἀνθρώπων γενεὴν ποθέουσα παλαιῶν,*
*Χηλαί θ', ἃς καὶ δὴ μετεφήμισαν ἀνέρες ἱροὶ*
*καὶ Ζυγὸν ἐκλήισσαν, ἐπεὶ τετάνυνθ' ἑκάτερθεν*
*οἷαί περ πλάστιγγες ἐπὶ ζυγοῦ ἑλκομένοιο,*
*Σκορπίος ἐστὶ δ' ἔπειτα, βίη τ' ἔπι Τοξευτῆρος,*
*καὶ δὲ καὶ Αἰγόκερως, μεθ' ὃν Ὑδροχόος τε καὶ Ἰχθῦς. —*

*Οἴκοις μὲν δὴ πάντες ἐοῖς παρεόντες ἄριστοι*
*ἀστέρες ἐν γενέθλῃ, ἐπεὶ ἐσθλοδόται μὲν ἀρείω*
*καὶ πλέον' ἐσθλὰ διδοῦσι, κακοὶ δέ τε μείονα λυγρά.*
*τῷ μάλα χρὴ σκέπτεσθ', ὁπόσοι σφετέροισι δόμοισιν*
*ἠὲ καὶ εἰν ὁρίοισιν ἑοῖς βεβαῶτες ὁρῶνται·*
*εἰ μὲν γὰρ πλέονες, πολὺ φέρτερον, εἰ δέ τε παῦροι,*
*μειότερον κῦδος βιότῳ καὶ πρῆξιν ὄπασσαν.*
*Ἀλλὰ καὶ ἀλλήλων ὅσ' ἀμειβόμενοι κλυτοφεγγεῖς*
*οἴκοις ἐκτελέουσι, μάλα χρειὼ καταλέξαι.*
*Φαίνων μέν τε Διὸς ζώοις μεγακύδεας ἄνδρας*
*τεύχει, καὶ βασιλεῦσιν ἰδ' αὖθ' ἑτάροισιν ἀνάκτων*
*ἐς φιλίην ζεύγνυσι, καὶ αὐτοὺς πολλάκι δασμῶν*
*πρήκτορας ἐξανέφηνεν ἐυπρήσσοντας ἄναξιν,*
*χρήματά τ' ἐν χερσὶν δῶκεν βασιλήια νωμᾶν·*
*πολλάκι δ' ἀλλοτρίων τέκνων πατέρας καλέεσθαι*
*δῶκεν, ἢ ἐκθεμένοις παῖδας σφετέρους πάλι δῶκεν.*
*Ζεὺς δὲ Κρόνοιο τόποις παρεὼν βίοτον μὲν ὀπάζει*
*εὐκτεάνους τε τίθησιν, ἀτὰρ πολυγηθέος ὄλβου*
*φειδωλούς, μηδ' ὅσσον ἑῶν κτεάνων ὀρέγοντας,*
*ἠπεδανὸν στέρνοισι νόον καὶ ἄναλκιν ἔχοντας,*
*ἀμφὶ ἕθεν πολὺ μεῖον ἢ ὧν πέλας ὦσι φρονοῦντας,*
*ἐν δ' ἔργοις πρήξει θ' ἑτέροις ὑποπεπτηῶτας·*
*ὅσσα δέ τ' ἐκτελέουσιν, ἀποκρύπτει κλέος ἐσθλὸν*
*πολλάκις ἀλλοτρίων, | οἳ καί σφισιν αἴσχε' ἔδωκαν.*

ἐν δ' Ἄρεως ὁρίοισιν ἢ ἐν ζῴοισι βεβηκὼς
Φαίνων νωχελέας τε καὶ ἀδρανέας μάλα ῥέξει,
δειλοὺς πανταρβεῖς τε, φρεσὶν καταπεπτηῶτας,
αὐχμηρούς, ἑὸν ἦτορ ἀεὶ βλάπτοντας ἀνίαις.
ἀλλ' Ἄρης οἴκοισι Κρόνου πολιοῖο βεβηκὼς
πανθαρσεῖς τεύχει καὶ πρήξεσι τολμήεντας,
πρὸς δ' ἔτι θαρσαλέους τε καὶ εὐτόλμους καὶ ἀτρέστους,
πρῆξιν παντοίην τε καὶ ἔργα τελοῦντας ἀμόχθως,
οἷσί τ' ἐφορμήσωσιν ἀεὶ τέκμωρ ἐπάγοντας·
φθείρει δὲ κλῆρον πατρώιον, ἠδὲ συναίμους
πρεσβυτέρους πάντας κρυερῷ ζόφῳ ἀμφικαλύπτει.
Ἀφρογενοῦς δὲ Κρόνος παρεὼν οἴκοις τάδε ποιεῖ·
πρεσβυτέραις ζεύγνυσιν ἰδὲ δμωῇσιν ἀκιδναῖς,
ἢ ξυνὴν δήμοισι κύπριν μισθοῦ παρεχούσαις·
πρὸς δ' ἔτι δυσγαμίην καὶ δυστεκνίην μάλ' ὀπάζει,
στείραις ἠδ' ἀτόκοισι συνάπτων δυσκλέα λέκτρα·
δηθάκι καὶ χείρεσσιν ἑαῖς ἀλόχους ἐδάιξαν
ζήλῳ ἀλαστήσαντες ἐπ' αἴσχεσιν, οἷς τελέουσιν.
Ἀφρογενὴς δὲ Κρόνοιο δόμοις λεχέων ὀλετῆρας
ἀλλοτρίων ἔρρεξε, καὶ ἀσπέρμους θέτο τέκνων,
οὐ μάλα κηδομένους μάχλου ἕνεκεν φιλότητος
οὔτε φίλων σφετέρων, οὐδ' αὖ πατέρων ἀλέγοντας·
ἢ γὰρ δὴ κεδνῶν ἑτάρων γάμον αἰσχύνουσιν,
ἢ καὶ μητρυιῇσιν ἑαῖς ἢ παλλακίδεσσιν
σφωιτέρου γενετῆρος ὁμὸν λέχος εἰσανέβησαν.
ἐν δ' ἄρα χρυσοφαοῦς Ἑρμοῦ ζῴοισι βεβηκὼς
Φαίνων ὀξείας μερόπων ἤμβλυνεν ἀκουάς,
ἢ λαλιῆς ἤμερσε φίλης καὶ γλῶσσαν ἔδησεν,
δεινοὺς δ' ἐν πραπίδεσσι καὶ οὐλοὰ μητιόωντας
κρυπταδίως τεύχει, σφέτερον νόον οὔτινι θνητῶν
φαίνοντας, δακετῶν φονιώτερον ἰὸν ἔχοντας,

ἠὲ νόμων θεσμῶν τ' ἐπιίστορας, ὧν ἕνεκ' αἰεὶ
πειθὼ ὁμῶς κῦδός τε κατὰ πτόλιας μέγ' ἔχουσιν,
ῥητῆρας μύθων τε καὶ εἰν ἀγορῇσιν ἀρίστους
260 νείκεά τ' ἰθύνειν καὶ τειρομένοισιν ἀρήγειν,
ἔν τε δικασπολίῃσιν ἐριδμαίνοντας ἔπεσσιν,
ὧν ἄπο πλοῦτον ἀπειρέσιον καὶ χρήματ' ἄγειραν·
ἄλλοι δ' αὖτε πέλονται ἀπαγγελέες βασιλήων,
πίστιν τ' ἀμφὶ δίκῃσι θεμιστοπόλων ἀπ' ἀνάκτων
265 ἴσχουσιν, κείνοις σφετέρῳ νόῳ ἰθύνοντες.-
ἐν δ' ἄρα τοι Παφίης Ἄρης οἴκοισι βεβηκὼς
ἀλλοτρίων λεχέων κρυπτοὺς λυμάντορας ἔρδει,
δώροις ἠδὲ δόλοισιν ὀπιπεύοντας ἑταίρων
εὐνέτιδας πηῶν τε, καὶ αἴσχεα μακρὰ τελοῦντας·
271 ἀλλ' ἄρα κἀκείνων βιότοις ὀλέθρους ἐπάγουσιν,
ἢ καὶ ἑὰς κεδνὰς ἀλόχους ὀλέκουσι χέρεσσιν,
270 δύσγαμα νυμφεύοντες ἀπ' ἀλλοτρίων ὑμεναίων.
273 ζώοις δ' αὖ Πυρόεντος ἐπεμβεβαυῖα Κυθήρη
δυσγαμίην τεύχει τε καὶ ἐκ λεχέων μάλ' ἀνίας·
275 ἢ γὰρ ἄγοντ' ἀλόχους, ὧν ἄργυρον ὦνον ἔδωκαν,
δμωίδας, αἵτ' αὐτοὺς μάχλοις ἔργοισιν ἔπεισαν,
ἠὲ πολυμνήστῃσι συνευνῶσιν φιλότητας
αἰεὶ κλεπτομέναις, ὧν εἵνεκα δηριόωσιν·
οὐ γὰρ ταὶ τίουσ' οὐδ' αὖ φιλέουσι συνεύνους·
280 τῷ δὴ καὶ κρίσιας καὶ νείκεα πολλάκις ἔσχον
σὺν σφετέραις ἀλόχοισι, καὶ ἀλλήλους ἀθέριξαν
* * * καὶ αὐτῶν εἵνεκα δηθὰ
ἐν συνοχῇσι γένοντο καὶ ἀπλήτοις ἀχέεσσιν,
ἠδὲ γυναικείης κεφαλῆς χάριν εἱργμὸν ἔνεικαν·
ἢν δὲ γυναικὸς ἔῃ γενέθλη, μάλ' ἀγήνορα τεύχει
285 καὶ γαῦρον, βουλῇσιν ἑαῖς πίσυνον καὶ ἄκαμπτον,
290 τάς τ' ἄλλας ἄνδρεσσιν ἴσας κάμνουσαν ἀνίας·
286 πάγχυ δ' ἄρ' ἐς φιλότητα δύην, τοκετῶν ἐποχήν τε

ὀτλήσει, καὶ δηθὰ λυγρῇ περὶ γαστρὶ μογήσει,
ἤτοι πρὶν γονίμης ὥρης βρέφε' ὠμοτοκοῦσα,
ἠὲ νεκρῶν ἐν γαστρὶ μέλη τέμνουσ' ἄπο τέκνων.
ναὶ μὴν καὶ Πυρόεις οἴκοις θοοῦ Ἑρμάωνος
οὐλοὰ μηδομένους στέρνων ἔντοσθεν ἔθηκεν,
ἄγριά τ' ἐν πραπίσιν βουλεύματα ποικίλλοντας,
πρὸς δὲ κακοφροσύνῃσιν ἀεὶ μερόπεσσι συνόντας,
ὡς δὴ καί τ' ἄλλοις ὑποφήτορας ἔμμεν ἀνιῶν·
καὶ δὲ δικορραφίης δεδαηκότες εἰν ἀγορῇσιν
καὶ κρίσιας θαμινὰς καὶ νείκεα πυκνὰ ἑκόντες
ἴσχουσιν, φήμη δὲ κακὴ περιδέδρομεν αὐτοὺς
καί τε δικῶν μέγα πλῆθος, ὃ δὴ μάλ' ἀχρήμονας ἔρδει·
πολλοὶ καὶ παίδων τῶνδ' ἡγητῆρες ἔασιν·
πρὸς δ' ἔτι καὶ ψεύστας, ἀθέους, ἀθεμίστια ἔργα
μηδομένους, κλῶπας, ληίστορας, ἀνδροφονῆας,
ὅρκων οὐδ' ὅσσον τι νόῳ κρυερῷ ἀλέγοντας.
ταῦτα δὲ καὶ Στίλβων Ἄρεως ἐν δώμασιν ἔρδει,
πλαστογράφους τεύχων, λυμάντορας, ἠπεροπευτάς,
ἀλλοτρίου πλούτοιο λιλαιομένους κτεάνων τε·
πολλάκι καὶ κτεάνων πίστεις, ὧνπέρ τις ἔδωκεν
λάθρῃ παρθέμενος, κακομητίῃ ἠρνήσαντο,
πολλάκι * * * * *
χρήματα παῦρα διδοῦσιν, ἃ πολλῶν χρεῖος ἐτύχθη·
πρὸς δ' ἔτι φαρμακίης ὀλοῆς ἐπιίστορας ἔρδει·
ὧν ἕνεκεν πάντων καὶ ὑπ' ἴδρισιν ἶφι μάχεσθαι
λάσθαις κερτομίαις τε κατὰ πτόλιας σοβέονται.
ἐν δ' Ἑρμοῦ ζώοισι φιλομμειδὴς Ἀφροδίτη
θῆκε προϊσταμένους μεγάλων βιότοιο γυναικῶν,
κείνων δ' εἵνεκα δηθὰ κρίσεις καὶ νείκε' ἔχοντας,
οἷς ἔπι κῦδος ἔθηκεν ἰδ' εὐκλέα πολλάκι νίκην·
οἱ δὲ θεῆς ἱεροῖο προφήτορες εὐκτεάνοιο

καὶ δ' ἑτέροις τροπικοῖς ζώοις πάντεσσι τάδ' ἔρδει.
χρυσοφαὴς δ' Ἑρμῆς ἐν Καρκίνῳ αἰθροπολεύων
ὀξεῖς ἐν πραπίδεσσι, νοήμονας, ἄλλοτε δ' ἄλλῃ
βουλῇ τερπομένους μήτ' ἔμπεδα μητιόωντας
ῥέζει, καὶ μύθοις ἀγαθοὺς ἔργοις τε φερίστους. —
Ἥλιος δ' αὐτὸς μὲν ὑπὲρ χαροποῖο Λέοντος
εὐκλέας ἐν βιότῳ καὶ ὑπείροχον εὖχος ἔχοντας
ῥέζει· κέντρου δ' αὖτε τυχὼν βασιλῆας ἔτευξεν,
ἢν ἐσθλῶν κοσμῆται ὑπ' ἄστρων μαρτυρίῃσιν.
ὣς δ' αὔτως καὶ Μήνη ἑὸν δόμον ἀμφιβεβῶσα
πρήξιας ἀνθρώποις ἀγαθὰς καὶ κῦδος ὀπάζει·
ἢν δὲ μεσουρανέῃ νυκτός, βασιλῆας ἔθηκεν.
οἱ δ' ἄρ' ἀμειβόμενοι ζῶ' ἀλλήλων κατὰ κύκλον,
ζώοις δ' ἐμβεβαῶτες ἐπ' ἀλλήλων κατὰ κύκλον,
Μήνῃ μὲν Τιτάν, Μήνη δὲ γέγηθε Λέοντι.
τοῖα μὲν ἀλλήλων οἴκοις ὁρίοις τε παρόντες
τεύχουσ' ἄλλα τε πολλὰ πολυτλήτοις μερόπεσσιν.
Αὐτὰρ ἀληθείην πᾶσαν βροτέου βιότοιο
σύγκρασις διέκριν', ἐπιμαρτυρίαι τε φαεινῶν
ἄστρων ἀλλήλοις χώροις θ', ὑπὲρ ὧν γεγάασιν·
ὅσσα δ' ἅμ' Ἠελίῳ δρῶσιν παρεόντες, ἀείσω.
πάντες μὲν χαίρουσιν ἐπ' ἀντολίῃσιν ἐόντες,
ὡς ἐν ἑοῖσιν ἕκαστος ἀγαλλόμενος βασιλείοις,
καί ῥά τ' ἐπ' ἀντολίης μὲν ἰόντες ἅτ' ἐς νεότητα,
θνητοῖς πάντα τελοῦσιν ἄγαν κρατεροὶ παρεόντες·
ἑσπερίοισι δὲ βαρδύτεροι προῖασι χρόνοισιν
δείελοι αὐγῇσιν σφαλεραῖς ὑποπεπτηῶτες,
ἀδρανέες τε πέλονται ἑὸν σθένος ἀμβλύνοντες.
Φαίνων μὲν δὴ πρῶτα σὺν Ἠελίῳ κατὰ πάντων
ζωιδίων πλήθει ξυνῶν ἀγαθῶν τε κακῶν τε,
κρείσσων μέν τε κατ' ἦμαρ ἐών, βλάπτων δ' ἐνὶ νυκτί·

τεύχει γὰρ πατέρας μὲν ἀγακλειτοὺς καὶ ἐπόλβους,
μητέρα δ' ὠκύμορον θανάτῳ διέκρινε τοκῆος,
415 αὐτῶν δὲ κτῆσιν μινύθει οἶκόν τε πατρῷον,
ἀλλ' οὐχ ὡς πενιχροὺς πάμπαν καὶ ἀχρήμονας εἶναι.
καὶ Φαέθων μετὰ Τιτῆνος πατρώια πάντα
φθείρει, παντοίαις τε βλάβαις ἄταις τ' ἐπέδησεν·
419 πολλάκι καὶ ξείνης γαίης ἔπι πήματ' ἔδωκεν,
422 ἠῷος μὲν μεῖον, ἐφ' ἑσπερίησι δὲ δεινά.
Ἄρης δ' Ἠελίῳ συνιὼν πατράσιν μὲν ἀνίας,
γεινομένοις δ' αὐτοῖς θόρυβον καὶ πήματ' ἔδωκεν·
420 τοὺς δ' ἄρα καὶ πάτρης γλυκερῆς θῆκεν μετανάστας·
425 ἡ ματίη γενέθλῃ δ' ὀλοώτατος ἔπλετο πάντων,
421 ἧσσων δ' ἑσπέριος γεγαὼς ἀδρανέστερα ῥέξει.
426 Ἀφρογενὴς δὲ συνοῦσ' Ὑπερίονι γεινομένοισιν
δυσγαμίην παρέχει καὶ δύσκλειαν περὶ λέκτρα·
ἤτοι γὰρ πενιχραῖς ἢ δούλαις ἢ καὶ ἀνάγνοις,
ἢ καὶ πρεσβυτέρῃσι συνέζευξεν μάλ' ἀεικῶς,
430 ἢ ἔτι καὶ πιναροῖσιν ἐφεζομέναις στεγέεσσιν.
Ἑρμῆς δ' Ἠελίῳ ξυνὴν βαίνων κατ' ἀταρπὸν
ἤμερσεν σοφίης καὶ παιδείης μάλα πάσης·
ἑζομένους δ' ὤπασσε βίους * * *
* * μάλα δ' ἠῴῃσιν ἀνάσσων 434
434 ἀνέρας ἀφνειοὺς | ποίησε πόλει παναγήτους 433
* * * * * *
435 πρῆξίν θ' ἥσσονα δῶκ', ἐν πρήξει τ' ἔμμεν ὑπ' ἄλλοις.
Τόσσα μὲν Ἠελίῳ μούνῳ ξυνῇ παρεόντες
ῥέζουσ', ἶσα δὲ τοῖσι καὶ ἀντίον Ἠελίοιο
φαινόμενοι. Μήνη δ' ἃ σὺν αὐτοῖσιν παρεοῦσα
ῥέξει ἐν δισσῇσιν ἀπορροίαις συναφαῖς τε
440 θνητοῖς ἐν μογερῷ βιότῳ, καὶ νῦν ἐνέποιμι.
ἀστέρι μὲν Φαίνοντος ἐπερχομένη συναφῇσιν,
αὐγαῖς αὐξομένη κρείσσων, περὶ μητέρα δ' αἰνοὺς

ἄντα δ' ἄρ' Ἠελίου χαίρει τροχάουσα Σελήνη,
πλήρει ἐπεὶ κύκλῳ τότ' ἀγάλλεται αὐγάζουσα,
καί τε κλέους ὄλβου τε παραιτίη ἐστὶ βροτοῖσιν.

---

# ΒΙΒΛΙΟΝ Γ. [Β.]

Ἐν τῷ γ' βιβλίῳ φησίν·

*Α.* Τί ἀποτελεῖ ἕκαστος τῶν ἑπτὰ πλανητῶν ὡρονομῶν ἐν ἰδίῳ οἴκῳ καὶ ἐν παντὶ τῶν ἄλλων τριῶν κέντρων μόνος εὑρισκόμενος ἐν ἰδίῳ μέντοι οἴκῳ.

*Β.* Τί ἀποτελεῖ, ἡνίκα ἑνὸς ὡρονομοῦντος ἕτερος ἐπὶ τοῦ δυτικοῦ κέντρου μόνος θεωροῖτο, καὶ τὸ τῶν ἀνθρώπων ἀποτέλεσμα ἀπαραλλάκτως εὑρισκόμενον, κἂν ἐπὶ τοῦ μεσουρανήματος καὶ ἀντιμεσουρανήματος εὑρεθῶσιν, ἑαυτοὺς ἀναμετροῦντες εἷς μὲν ἄνω, εἷς δὲ κάτω ὤν.

*Γ.* Τί ἀποτελοῦσιν οἱ συμμαρτυροῦντες ἀλλήλοις, ἢ καὶ συσχηματιζόμενοι, ἢ καὶ ἐπιβλέποντες ἑαυτούς.

*Δ.* Τί ἀποτελεῖται Ἡλίου καὶ Σελήνης ἑαυτοῖς συσχηματιζομένων, τοῦ μὲν ἐν ἀρσενικοῖς προσφόρως τῇ οἰκείᾳ φύσει, τῆς δὲ ἐν ζῴοις θήλεσιν εὑρισκομένης, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἀμφοτέρων ἐν ἄρρεσιν, ἢ καὶ ἀμφοτέρων ἐν θήλεσιν, καὶ τί μὲν ἐπὶ ἀνδρός, τί δὲ ἐπὶ γυναικὸς ταῦτα ἀποτελεῖ.

*Ε.* Περὶ χρόνων ζωῆς, καὶ πῶς μὲν τούτους ἐφοδευτέον δι' ἡμέρας, πῶς δὲ νυκτός· καὶ πότε μὲν ἀπὸ τῶνδε, πότε δὲ ἀφ' ἑτέρων τούτους παραληπτέον.

---

Ὅσσα μὲν ἀλλήλων οἴκοις τελέουσι βροτοῖσιν
ἀστέρες, Ἠελίῳ τε πυριπλήθοντι συνόντες,
ὁππόσα καὶ κεραῆς συναφαῖς τεύχουσι Σελήνης,
ἐν προτέραις σελίδεσσι μάλ' ἀτρεκέως κατέλεξα.
νῦν δ' ἐπιμαρτυρίας αὐτῶν καὶ σχήματα πάντα,

ἀλλήλων θ' ὅσα δρῶσιν ὑπ' ἀκτίνεσσιν ἰόντες,
καὶ κέντροις πισύρεσσιν ἐπεμβεβαῶτες, ἀείσω.
Πρῶτα μὲν οὖν Φαίνων ὑπὲρ ὡρονόμοιο βεβηκὼς
ἤτοι πρωτοτόκους καὶ πρωτοτρόφους ἀνέφηνεν,
ἢ καὶ ἀδελφειοὺς προτέρους διόλεσσεν ἅπαντας,
τέκνων δ' αὖτ' ὀλετὴρ πέλεται, βίοτόν τε χαλέπτει
ἀλλοτρίοις οἴκοισιν ἐών· εὖτ' ἂν δ' ἐν ἑοῖσιν
ὡρονομῇ, ζώοις δ' ἰδίοις ἐπιτέρπεται αἰεί,
Αἰγόκερῳ τε καὶ Ὑδροχόῳ βλοσυρῷ τε Λέοντι
καὶ Χηλαῖς Κριῷ τε, τότ' ἀνέρες ἐξεγένοντο
κύδιστοι, γενεῇ τε γεγηθότες, εὐκλέι πλούτῳ
τιμαῖς καὶ γεράεσσιν ἀγαλλόμενοι βασιλήων.
ψυχρὸν δ' ἐς λίβα νισσόμενος δῦνον περὶ κέντρον
μακροβίους, γήραι λιπαρῷ θαλέθοντας ἔθηκεν,
εὐκτεάνους, μόχθοισιν ἰαινομένους σφετέροισιν.
εἰ δὲ μεσουρανέοι, πατρώια πάντ' ἐκέδασσεν,
δηθάκι δ' οὐδ' ὅσσον κλήρου παρὰ πατρὸς ἔνειμεν,
πρήξεις δ' ἀπροκόπους καὶ νωχελέας μάλα τεύχει,
ἔργα δὲ καὶ τέχνας χειρῶν ἐξαίνυται ἀνδρῶν
ψυχῶν θ', ἥντινα πρῆξιν ἐνὶ στέρνοισιν ἕλωνται,
δυστεκνίην δ' ὤπασσε, κασιγνήτων τ' ἀπάμερσεν.
ὀρφανίην δ' ὑπόγειος ἐὼν ἀπὸ πατρὸς ἔτευξεν
πάμπαν νηπιάχοις, κλῆρόν τ' ἔρραισεν ἀίστως,
ὃν θνήσκων ἔλιπεν γενέτης, αὐτοὶ δ' ὑπὸ νούσου
κάμνουσ', ἔν τε κρύει πυρετῷ τ' αἴθωνι μογεῦσιν,
ἐν δ' ἀγορῇ κρίσιας καὶ νείκεα δηρὸν ὄπασσεν.
Ζεὺς δ' ὥρην ἐφέπων ἐρικυδέας ἄνδρας ἔθηκεν
ἐν δήμοις, πάτρῃσί τ' ἐνὶ σφετέρῃσιν ἀγητούς,
πρὸς δ' ἔτι καὶ πρήξει μεγαλαυχέας, ἐν βιότῳ τε
ἀφνειούς, βασιλεῦσι φίλους μάλα τιμήεντας.

πολλάκι καὶ προδαῆναι ἐνὶ πραπίδεσσι βροτοῖσιν
πείρατα μελλόντων δωρήσατο, καί θ' ἑτέροισιν
θεσπίζειν φήμησιν ὀνείρασί θ', ἅ σφισιν αὐτοὶ
ὀρφναίην κατὰ νύκτα βαθὺ κνώσσοντες ἴδωνται.
ἐν δὲ μεσουρανίῳ θνητοῖς ἔργ' ὤπασε κέντρῳ·
ἤτοι γὰρ σοφίης βίοτον καλάμοιό τε γραπτῶν
πρῆξιν ἔδωκ', ἢ παισὶν ὑφηγητῆρας ἔφηνεν
παιδείης, τοὺς δ' αὖτε τραπέζης ἀργυραμοιβοῦ
εἶσεν ὕπερ, πολέσιν δὲ τέχνας ἡρμόσσατο χειρός.
ἢν δ' ὑπόγειος ἔῃ, πινυτὸν νόον ἐξετέλεσσεν,
θῆκεν καὶ σοφίης δεδαηκότας, ἐν βιότῳ δὲ
αἰὲν ὑπ' ἀλλήκτῃσι μεληδόσι μητιόωντας.
δύνων δ' ἐν μύθοισι καὶ ἐν πραπίδεσσιν ἀρίστους,
καὶ πλούτῳ γηθεῦντας ἀεὶ φήμαις τ' ἀγαθῇσιν.
εὖτ' ἂν δ' ὠκεανοῖο λελουμένος ἀντέλλῃσιν
Τιτάν, ἐν δ' ὥρῃ κείνῃ βροτὸς ἐς φάος ἔλθῃ,
πατρὸς ἀριγνώτου γεγαὼς τότε φύσεται ἀνήρ,
τιμήεις δέ τ' ἄγαν καὶ ὑπείροχός ἐστ' ἐνὶ πάτρῃ,
πλούτῳ καὶ κτεάτεσσιν ὑπέρτατος ἐν μερόπεσσιν·
πολλάκι καὶ βασιλῆες ἐν ὥρῃ τῇδ' ἐγένοντο.
δύνων δ' Ἥλιος λαμπροὺς βιότῳ καὶ ἐπόλβους
τεύχει, καὶ πραπίδων μάλ' ἀριφραδέων ἐπινοίῃ
* * * * ἐνὶ πάτρῃ.
Τιτὰν δ' ἐν γενέθλῃ μέσον οὐρανὸν ἀμφιπολεύων,
ἢν μὲν ὑπ' ἀκτίνεσσ' ἀγαθῶν καὶ μαρτυρίῃσιν
κοσμῆται, μεγάλους τε καὶ εὐκλέα ἔργα τελοῦντας,
φαύλῃσιν δ' αὐγαῖς ὀλοῶν βεβολημένος ἄστρων
ἀκτεάνους τεύχει, λυγραῖς πενίῃσι μογεῦντας.
ἢν δ' ὑπόγειον ἔχῃ κέντρον, μινύθει πατρὸς ὄλβον.
καὶ δὲ Σεληναίη ὑπὲρ ὡρονόμοιο βεβῶσα
μητέρα κυδαίνει. δύνουσα δὲ τηλόθι πάτρης

ἀλλοτρίην κατὰ γαῖαν ἀλωομένους θαμὰ πλάζει.
ἐν δὲ μεσουρανίῳ νυκτὸς μὲν ἀρίστη ἐτύχθη,
ἤματι δ' αὖθ' ἧσσων· εἰ δ' ἐσθλοδόται μιν ὁρῷεν,
εὐκλείην πρήξεις τ' ἀγαθὰς μερόπων ἐτέλεσσεν.
ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ ἀγαθοὺς μὲν ὁρῶσα
ἀστέρας ἐσθλὴ ἔφυ δώτειρά τε κευθομένοιο
πλούτου, ἀτὰρ χαλεποὺς ἐπιμάρτυρας εὖτ' ἂν ἴδησιν,
κρυπταδίοισι σίνεσσι καὶ ἄλγεσι φῶτα χαλέπτει·
πολλάκι καὶ πτώσεις ὀρόφων κατὰ κρατὸς ἐφῆκεν.
μοῦνοι μὲν κέντροισι τάδ' ἐμβεβαῶτες ἔφηναν.
Ἀλλήλους δ' ὁρόωντες ὑπὲρ κέντρων κατέναντα
* * * * * *
ὡρονόμου μὲν ὕπερ Φαίνων, Φαέθων δέ τε δύνων
ὁπλοτέροισι κασιγνήτοις θάνατον τελέουσιν,
πρὸς δ' ἔτι γεινομένοισι χρόνους νεότητος ἀνιγρούς,
ὑστάτιον δὲ χρόνον λιπαρὸν καὶ γῆρας ἐν ὄλβῳ.
ἔμπαλι δ' ἐν τούτοις κατεναντίον ὡρονομοῦντος
Ζηνὸς καὶ πολιοῖο Κρόνου δύνοντος ἔναντα,
πρεσβυτέροις μὲν πότμος ἀδελφειοῖσι τελεῖται,
εὐδαίμων δὲ φανεὶς πρόσθεν βροτὸς ὕστατα κάμνει.
εὖτ' ἂν δ' ἀντέλλῃ Φαίνων, Πυρόεις δέ τε δύνῃ,
πενθαλέοισιν ἑὴν ἄλοχον τύμβοισι καλύψας
χῆρον δηναιὸν κλαύσει κατὰ δώματα λέκτρον·
τήνδε καὶ ἐν τροπικοῖς ζώοις θαμὰ τλήσετ' ἀνίην.

καὶ δὲ καὶ εὐτεκνίη σφιν ἐνὶ μεγάροισιν ὀπηδεῖ.
καὶ δ' ἄλλαις πρὸς Ζῆν' ἐπιμαρτυρίῃσι τάδ' ἔρδει.
ἐσθλὸς καὶ Στίλβοντι συνὼν μεγάλου Διὸς ἀστήρ,
σχήμασί τ' ἐν πάντεσσιν ὁρῶν θοὸν Ἑρμάωνα·
τρισμάκαρας τεύχει γάρ, ἀεὶ βασιλήιον ὄλβον
νωμῶντας, χρυσόν τ' ἐθνέων ἄπο δασμολογοῦντας,
κεκλομένους τ' ἐπὶ τοῖσιν, ἀκουομένους θ' ὑπὸ πολλῶν·
οἱ δέ τ' ἀριγνώτων ἀνδρῶν πλοῦτον διέπουσιν,
οἱ δ' ἄρ' ἀπ' ἐμπορίης ἐσθλῆς βίοτον συνάγειραν,
κέρδεα δὲ σφετέρων καμάτων ἅλις ἐκτήσαντο,
ἄλλοι δ' αὖ κόσμων ἐπιίστορες ἢ διὰ γραπτῶν
ἰδμοσύνης ἐρίτιμοι ἀγακληεῖς τ' ἐγένοντο,
οἱ δ' ἄρα καὶ παίδων ἡγήτορες, ἐν σοφίῃ τε
πολλὸν ἀριπρεπέες μύθων ὑποφήτορες ἐσθλῶν.
εἰ δ' ἄρα τούσδε Κρόνος μαλεραῖς ἀκτῖσιν ἀθρήσῃ,
πρήξεσιν ἐν τοίῃσιν ὑποδρήσσοντας ἔθηκεν.
εἰ δ' Ἄρης συνίῃσιν ὁμοῦ καλῇ Κυθερείῃ,
ὑβρισταὶ λεχέων τε καὶ ἀλλοτρίων ὑμεναίων
γίνονται, ἀναφανδὰ μάλ' ἐκτόλμως τάδε δρῶντες·
καὶ δὲ σύνευνοι τῶνδε πολυκλινέες τελέθουσιν,
ῥηιδίως φιλότηθ' ἑτέροις κυθέρης ὀρέγουσαι.
εἴκελα καὶ δ' ἄλλαις ἐπιμαρτυρίαις τελέουσιν.
εἰ δὲ καὶ Ἑρμείης ἐρατὸς σὺν τοῖσδε φανείη,
τῶν ἕνεκεν κρίσιές τε μάχαι τ' ἀγορῇσι πέλονται·
οἱ δὲ καὶ αἴσχρ' ἔτλησαν ἐν ἀλλοτρίοισι δόμοισιν
ληφθέντες, φήμη δὲ κακὴ περιδέδρομεν αἰεί.
ἢν δ' Ἑρμῇ τετράγωνος ἢ ἀντίος ἢ κατὰ χώρην
τὴν αὐτὴν Θοῦρος τροχάῃ, μάλα λυγρὸς ἐτύχθη·
νείκεα γὰρ γραπτῶν ἕνεκεν κρίσιάς τ' ἐπιπέμπει,

καὶ δόμον ἐξαπίνης κενεὸν βιότου ἀνέφηνεν·
δηθάκι καὶ δεσμοὺς ἐπάγουσ᾽ ὀλοοῖσιν ἐπ᾽ ἔργοις.
ἀλλὰ τρίγωνοι ἐόντες ἐχέφρονας ἐκτελέουσιν
καὶ πυκιναῖς πραπίδεσσιν ἐναίσιμα μητιόωντας.
φαιδρὸς δ᾽ Ἑρμείης καὶ πασιφαὴς Ἀφροδίτη
ξυνὴν ἐξανύοντες ὁδὸν μάλ᾽ ἄριστοι ἔασιν·
ὄλβον μὲν πρώτιστα δόσαν, μετέπειτα δὲ μύθων
πειθὼ καὶ φιλίην ἀγαθὴν τιμήν τ᾽ ἐνὶ δήμοις·
πρὸς δ᾽ ἔτι παντοίης μούσης ἐπιίστορας ἄνδρας
τεύχουσιν, μολπῇσί τ᾽ ἀγαλλομένους καὶ ἀοιδῇ.
* * * * * *

εἰ δέ κε λεύσσωσιν Μήνην καὶ Ζῆνα φέριστον,
καὶ στέφεσιν κύδηναν, ἀγακληεῖς τ᾽ ἐνὶ λαοῖς
ἐξαίτοις γεράεσσιν ἀέθλων εἵνεκ᾽ ἔθηκαν.
εἰ δ᾽ ἔτι καὶ Πυρόεις τούτοις ἐπιμάρτυρος εἴη,
γίνονται σταδίοισι παλαισμοσύνῃσί τ᾽ ἄριστοι,
πυγμαχίῃσί τ᾽ ἀγασθενέες πληγῇσί τε χειρῶν,
καὶ θαμιναῖς νίκῃσιν ἀγάλλονται κατ᾽ ἀγῶνας.
καλὴ καὶ Μήνη καὶ πανδερκὴς Ὑπερίων
ἀλλήλους ὁρόωντες ἐναντίοι ἢ τετράγωνοι,
* * * * * *

ἔξοχα δ᾽ αὖτε τρίγωνοι, ἐπεὶ τόδε πάμπαν ἄριστον
σχῆμα πέλει φαύλοις τε καὶ ἐσθλοῖς ἀστράσι πᾶσιν.
εἰ δὲ καί, οἷς ἐπέοικεν, ἐνὶ ζῴοισι φανείη
ἄμφω φάεα καλά, τὸ δ᾽ αὖ πολὺ φέρτατόν ἐστιν.
πάντων μὲν γὰρ ἄριστον ἐνὶ ζῴοισι παρεῖναι
ἄρσεσι μὲν Τιτῆν᾽, ἐν θηλυτέροισι δὲ Μήνην·
προσφιλέες γὰρ ἀεὶ καὶ μείλιχοι ἐξεγένοντο,
ἔργα τε ῥηιδίως καὶ πρήξιας ἐξετέλεσσαν.
εἰ δέ τ᾽ ἐν ἀρσενικοῖς ἄμφω κλυτὰ φέγγε᾽ ὁρῷτο,

*ὠμούς, ἀστεμφεῖς, ἠδ' ἀτρέπτους ἐσίδοιο*
*γεινομένους, οὐδ' ὅσσον ὑπείκοντας νόῳ ἄλλοις.*
*ὅσσοι δ' αὖ Μήνην μὲν ἐν ἄρσενι, θηλυτέρῳ δὲ*
*ἴσχουσ' Ἠέλιον, τοῖσιν δ' ἄρα πρήξιες ἔργων*
*ἄλλως ἐξανύονται ἢ ὡς φρεσὶν ᾗσι μενοίνων·*
*αὐτοὶ δ' ἀπρόκοποι, πάμπαν τ' ἐπαρίστεροι ἄνδρες.*
*θήλεσι δ' ἐν ζώοις ἄμφω κλυτὰ φῶτα φανέντα*
*δειλούς, πανταρβεῖς, ἑτέροις ὑποπεπτηῶτας*
* * * * * * *

*θηλύτεροι πραπίσιν, βιότῳ δ' ἔνι πάμπαν ἄπρηκτοι,*
*ἀλλοτρίης γαίης καὶ ἀλητύος ἱμείροντες.*
*ἀλλὰ τόδ' ἔμπαλιν ἐσθλὸν ἔφυ κεδνῇσι γυναιξίν·*
*πρηεῖαι γάρ τ' εἰσὶ νόῳ, ποσίεσσί θ' ἑοῖσιν*
*εἴκουσιν μάλα πειθόμεναι, στυγέουσί τε νεῖκος.*
*εἰ δ' ἐπὶ θηλυτέρῃ γενέθλῃ δύο φῶτα φανείη*
*ἄρσεσιν ἐν ζώοις, ἡ δ' αὖ μάλ' ἀγήνορι θυμῷ*
*δεινή τε κρυερή τε πέλει πραπίδεσσί τ' ἄκαμπτος.*
*ὁππότε δ' οὖν σελάων τοίοις ζώοισιν ἐπόντων*
*καὶ Θοῦρος πυρόεις καὶ καλλίκομος Κυθέρεια*
*ἄρσεσι δεικήλοισιν ἐπεμβεβαῶτες ὁρῷντο,*
*καὶ ζῶον πρὸς τοῖς ἄρσεν πέλοι ὡρονόμοιο,*
*ἧς φύσιος λήγουσι, παρὰ λεχέεσσι γυναικῶν*
*κλινόμεναι φιλότητι, τάτ' ἀνέρες ἐκτελέουσιν.*
*ἔμπαλι θηλυτέροισι δ' ὅτ' ἀνέρες ἐν ζώοισιν*
*ἴσχωσ' Ἠέλιον καὶ νυκτεροφεγγέα Μήνην,*
*θῆλυ δὲ καὶ ζῶον κατέχῃ Κυλλήνιος Ἑρμῆς,*
*πάσχουσ' αἴσχεα πολλὰ γυναικῶν ἔργα τελοῦντες·*
*δηθάκι καὶ σπορίμης αἰδοῦς ἀπὸ μήδε' ἔκειραν.*
*τὼς μὲν ἄρ' αἰνὰ πέλει φύσιος βροτέης κατέναντα*
*φῶτ' ἐνὶ δεικήλοισιν ἑὸν δρόμον ἐξανύοντα.*
*Ἀλλ' ἐπεὶ οὖν μοι θυμὸς ἐνὶ προτέροισιν ἀεῖσαι*

*μήσατ' ἀναγκαῖον χρεῖος, σάφα νῦν καταλέξω,*
*ὁππόθεν ἐν γενέθλῃσι χρεὼν ζωῆς χρόνου ἀρχὴν*
*ἀνθρώποις φράζεσθ' ἠδ' ἔμπαλιν, ὁππόθι λήγει.*
*οὐ μὲν δὴ πάντεσσιν ὁμῶς μερόπεσσιν ἔοικεν*
*οἵης ἐκ χώρης ἐτέων λάζυσθαι ἀριθμόν·*
*ἄλλη γάρ θ' ἑτέρῃ γενέθλῃ ἄφεσις συνάρηρεν.*
*ὅσσοις μὲν Τιτὰν ἠοῖ ἔνι γεινομένοισιν*
*κέντρῳ ἐπεμβεβαὼς ἰνδάλλεται, ἐξ ἄρα κείνου*
*μοίρης ἄρχεσθαι βιότου χρόνον ἐξαριθμοῦντας·*
*νυκτερινῇ γενέθλῃ δὲ Σεληναίης ἀπὸ μοίρης.*
*ὁππότε δ' ἂν κέντρων ἐκτὸς δύο φῶτ' ἀποκλινθῇ,*
*ἠδ' ἄρ' ἐπὶ μοίρῃσι κατωφερέεσσι πόλοιο*
*νίσσηται προθέοντα, τότ' ἀστέρος ἄρχεο κείνου,*
*ὅς ῥά τε δεσπόζει γενέθλης μέγα τε κράτος ἴσχει.*
*εἰ δ' ἄρα κἀκεῖνον λεύσσοις κλινθέντ' ἀπὸ κέντρου,*
*ἐξ ὥρης τότ' ἔπειτα χρόνων ἄφεσιν σύ γε φράζου.*
*ζωῆς δ' αὖτ' ἀρχὴν εὖτ' ἂν διζήμενος εὕρῃς,*
*δεικήλων σκέπτοιο χρόνους, ὁπόσοις περάτηθεν*
*ἀντέλλει, κείνων τε περὶ μοιρῶν δεδάασθαι·*
*τὼς γὰρ πλειώνων ἀριθμὸν μοίρῃσι φράσαιο,*
*ὅσσους Μοῖρ' ἐπέδησε βροτῶν μογεροῦ βιότοιο.*
*ἐν δὲ μέσαις μοίρῃσιν, ἐφ' αἷς ζωὴ νέμετ' ἀνδρῶν,*
*ἐνδυκέως σκέπτοιο, μὴ ἀκτὶς ἢ τετράγωνος*
*ἠὲ καταντιπέρην ὀλοοῦ Κρόνου ἢ Πυρόεντος,*
*ἢ αὖ τοίγε συναντόμενοι ζωὴν διέκερσαν.*
*νυκτὶ δὲ γεινομένους καὶ παμφεγγὴς Ὑπερίων*

δηθάκις ἀκτίνεσσιν ἑαῖς πνοιῆς ἀπάμερσεν.
πᾶσαν δ' αὖτ' ἄφεσιν πλευρὴ τετράγωνος ὁρίζει·
μήκιστον γὰρ τοῦτο βροτῶν τέλος εὔαδε Μοίραις.

---

## ΒΙΒΛΙΟΝ Ϛ. [Γ.]

Ἐν ᾧ φησιν·

Α. Περὶ τροφῆς καὶ ἀτροφίας παίδων.
Β. Περὶ γάμου.
Γ. Περὶ τέκνων γονῆς.
Δ. Περὶ στείρων καὶ ἀσπέρμων.
Ε. Περὶ πλήθους τέκνων ἢ καὶ ὀλιγοπαιδίας.
ς. Περὶ τοῦ ποίας τέχνας ἢ ποίας πράξεις μετελεύσεται ὁ τεχθείς.
Ζ. Περὶ σίνους.
Η. Περὶ κτήσεως.
Θ. Περὶ δουλείας τύχης.

---

Ἐλθέ μοι, ὡς προτέρην λιγέως ἥρμοσσας ἀοιδήν,
Μοῦσα φίλη, καὶ Φοῖβε καὶ Ἑρμῆ χρυσοπέδιλε,
καὶ νῦν ἱμερόεν τέκμωρ θείητ' ἐπὶ μολπῇ·
αὐτὰρ ἐγὼ θυμὸν καίπερ καμάτῳ μογέοντα
ὀτρυνέω, μέχρις ἄν κ' ἐπὶ πείρατα νίσσομαι οἴμης·
πᾶν γὰρ ἀεικέλιον, τῷ μὴ τέλος ἐσθλὸν ὀπηδεῖ.
βίβλῳ δ' ἐν πυμάτῃ τάδε μοι κατανεύσατ' ἀεῖσαι,
ἀμφὶ τροφῆς βρεφέων ἠδ' ἀτροφίης ἀλεγεινῆς,
ὅσσα τ' ἐπειγόμενοι Μοίρης ὕπο χερσὶν ἔῃσιν
αὐτοὶ ἐπ' οὐλόμενον πότμον ῥίψαντο γονῆες,
ἀμφὶ γάμων τ' ἐρατῶν καὶ ἀδελφειῶν ἐνέποιτε

καὶ τέκνων γενεῆς, σινέεσσί τε τοῖσιν ἕκαστος
ἀνθρώπων μεμόρηται ὑπ' ἀστράσι κινυμένοισιν,
καὶ τέχνας μέλποιτ' ἰδὲ πρήξιας, ἔργα θ' ὁποῖα
ἀστέρες ἀνθρώποισι δυηπαθέεσσι νέμουσιν,
ἠδ' ὡς σφαλλόμενοι πολυχρήμονος ἐκ βιότοιο
ἀνέρες ἐν πενίῃ τε καὶ ἄλγεσι μοχθίζουσιν,
καὶ δμώων ὅππως τις ἐπιφράσσαιτο γενέθλην.
Κείνοις μὲν δὴ πρῶτα τροφῆς ἐμέγηρε βρέφεσσιν
Αἶσα κακή, τοῖσπέρ τ' ἀπὸ γαστέρος ὀρνυμένοισιν
Ἄρης καὶ Φαίνων ὑπὲρ ὡρονόμοιο βεβῶτες
λεύσσουσ' ἐς δύσιν ἑλκομένην ἐριφεγγέα Μήνην,
μήτε Σεληναίην μήτ' οὖν ὥρην καθορώντων
Φωσφόρου ἢ Ζηνός· τοὶ γὰρ βίου εἰσὶ δοτῆρες.
ὣς δ' αὔτως ἀτροφεῖς καὶ ὅσοις ἔπι γεινομένοισιν
ὡρονόμον διέπει Φαίνων, δῦνον δέ τε κέντρον
Ἄρης, μήθ' ὥρης ζῶον μήτ' οὖν φάος ἁγνὸν
Μήνης δερκομένου Ζηνὸς φυσιζόῳ αἴγλῃ.
καὶ δὲ καί, ὁππότ' ἂν ἠύκερων Πυρόεις διάμετρος
ἀκτῖσιν Μήνην καθορᾷ, Φαίνων δὲ Σελήνῃ
δεξιτερὴν ἱστῆται ἐπὶ πλευρὴν τετράγωνος
ἀντολίην ἀπέχων τηλοῦ Ὑπερίονος αἴγλης,
δὴ τότ' ἀπ' ὠδίνων καὶ γαστέρος ἐκπροθορόντες
αὐτίκ' ἄρ' οἰωνοῖσιν ἕλωρ καὶ θηρσὶ γένοντο.
ἢν δὲ Σεληναίη μὲν ἐφ' ὡρονόμῳ ἐπιτέλλῃ,
ἐν προτέρῳ δ' ὥρης ζῴῳ Φαίνων προθέῃσιν,
δαίμονα τόντε κακὸν πρότεροι φῶτες καλέσαντο,
Ἄρης δ' αὖτ' ἐφέπῃθ' ὥρης κατόπισθε διώκων,
μήτ' οὖν Ἀφρογενοῦς μήτ' εὐφεγγοῦς Φαέθοντος
δερκομένων δείκηλον, ἐφ' ᾧ Μήνη καθορᾶται,

ἢ σελάεσσ᾽ ἐπιδερκόμενοι Μήνην τε καὶ ὥρην,
ἢ κέντρων κατόπισθεν ἐπ᾽ ἀμφοτέρῃσιν ἐόντων
Φαίνοντος καὶ Ἄρηος, ἀπόστροφον ἀκτίνεσσιν
βαινόντων σελάων τε καὶ ὥρης, ἠέ θ᾽ ἑοῖσιν
σύμφωνον δρόμον ἐν ζῴοις φίλιόν τ᾽ ἀνυόντων.
παισὶν δ᾽ αὖ πᾶσιν, τοῖσιν ζωὴν πόρε Μοῖρα,
ἀμφὶ τροφῆς μαζοῦ καὶ νηπιέης ἀλεγεινῆς
ζῷον σημαίνει, τό κε δὴ Μήνης πέλας εἴη,
ᾧ ἔνι δὴ κείνη τριτάτην ἐπινίσσεται ἠῶ.
Τόσσα μὲν ἀμφὶ τροφῆς παίδων, πολέων ἄπο βαιά,
[ἤεισ᾽· ἑξείης δὲ γάμου πέρι νῦν ἐνέποιμι,
ἀστέρες οἷον ἕκαστος ἀεὶ φαίνουσι κελεύθοις.
εὖτ᾽ ἂν γεινομένοιο βροτοῦ Μήνη μὲν ἐπείη
αἰπυτάτῳ κέντρῳ, Κυθέρη δ᾽ ὑπόγειος ὁρῆται,
τῆμος ὁμογνήτοις γενεῆς τ᾽ ἄγχιστα συνεύνοις
ζεύγνυνται, πολέσιν δ᾽ ὁμογάστριοι ἐς λέχος ἦλθον
νύμφαι. τοῦτο δὲ δρῶσι, καὶ ὁππόταν Ἀφρογενείῃ
Ἑρμείῃ τε θοῷ ξυνὴν ὁδὸν ἐξανύωσιν
* * * * * *
ἀκτῖσι σφετέραις, Φαίνων δ᾽ ἐπιμάρτυρος εἴη.
ἢν δὲ πέλῃ ἰσόμοιρος ἀριγνώτῳ Φαέθοντι,
* * * * * *
δείκηλον κατὰ ταὐτὸν ἴῃ, γάμος ἔπλετο τῆμος
παρθενικῆς. ἶσον δὲ καὶ εἰ Ζεὺς μαρτυρίῃσιν
Ἑρμείην λεύσσῃ πλευρὴν ἰσόμοιρον ὁδεύων.
Ἀφρογενὴς δὲ μεσουρανίου κλίνασ᾽ ἀπὸ κέντρου
καὶ δισσοῖς σελάεσσιν ἀπόστροφον οἶμον ἰοῦσα
ἀστασίας τεύχει ταραχήν τε γάμοις μετ᾽ ἀνίης.
Φαίνων δ᾽ Ἑρμείῃ τε συνὼν βλοσυρῇ τε Κυθήρῃ

ἤτοι ἐπ᾽ οὐτιδαναῖς ἢ ἀνάξια μαχλοσύνῃσιν
ἔργα μετερχομέναις ξυγίοις ἡρμόσσατο λέκτροις,
πάμπαν θ᾽ ἡλικίῃσι νέαις ἢ πάγχυ γεραιαῖς.
ἐσθλὴν δ᾽ αὖ φιλότητα γάμου πίστιν τε γυναικῶν
ἀχράντοιο λέχους δῶκεν καλὴ Κυθέρεια,
εὖτ᾽ ἂν ἀπ᾽ ἀκτίνων Ἄρεος πολιοῦ τε Κρόνοιο
μίμνῃ ἀπήμαντος, κείνων φλογέῃσιν ὑπ᾽ αὐγαῖς
ἀλλήλους ἐπιδερκομένων, αὐτὴ δ᾽ ἀγανῇσιν
δέρκηται κερόεσσαν ὑπ᾽ ἀκτίνεσσι Σελήνην.
ὁππότε δ᾽ Ἑρμείης τε καὶ Ἄρης καὶ Κυθέρεια
μέσσου ὑπὲρ κέντρου ξυνὰς ἀνύωσι κελεύθους,
τοῖσιν δ᾽ αὖτ᾽ ὀλοὸς Φαίνων μετόπισθεν ἕπηται
νωθρὸν ἐπαντέλλων ἢ καὶ κατέναντα δοκεύων,
ἐξ ἕδρης πιναροῖο τέγους ξυνῆς τ᾽ ἀπὸ δήμου
[εὐνῆς ἀνστήσαντες ἄγοντ᾽ ἐς δώματα νύμφας,
κῖσα πολυμνήστῃσιν ἀεὶ τίουσ᾽ ἀλόχοισιν.
ἢν δὲ δύω μὲν φῶτα μέσου κλίνωσ᾽ ἀπ᾽ Ὀλύμπου,
πάντες δ᾽ ἀστέρες ἄλλοι ὑποχθόνιοι φορέωνται
ἔκτοσθεν κέντρων, τῆμος ξείνης ἀπὸ γαίης
ἄξεται ἀλλοτρίων φωτῶν ἀγνῶτα θύγατρα,
καὶ πάτρης ἄπο τηλοῦ ὁμῶς κείνῃ βιοτεύσει.
οἷς δ᾽ ἄρ᾽ ὕπερθ᾽ ὥρης χαλεπῷ ἐν δαίμονι καλὴ
Ἀφρογενὴς φαίνῃ, τὴν δ᾽ αὖ Κρόνος ἢ τετράγωνος
ἠὲ καταντιπέρην λεύσσῃ, κἢν λέκτρα πόρωσιν
*   *   *   *   *   *
θηλυτέροις δ᾽ εὖτ᾽ ἂν Κύπρις κεραή τε Σελήνη
ζῴοισιν λάμπωσ᾽, ἤτοι δυτικοῦ κατὰ κέντρου,
ἢ καὶ ὑποχθονίου, ἢ καὶ δύο κέντρ᾽ ἐφέπωσιν,
μουνὰξ δ᾽ ἀμφότεροι κατεναντία τῇσιν ὁρῶνται,

*αἰὲν ὁμοφροσύνῃσιν ἰαίνοντ' ἀμφὶ γάμοισιν.*
*δαίμονι δ' ἢν χαλεπῷ κείνης Μήνη πέλῃ ἀνδρί,*
*αἰὲν ἀτασθαλίῃσι γυνὴ ἀθερίζει ἀκοίτην*
*οὐδὲν ὀπιζομένη λεχέων θεσμῶν τε γάμοιο.*
*ταὐτὰ δ' ἄρ' ἐκ ποσίων τελέθει δειλῇσι γυναιξίν,*
*εὖτε Σεληναίη ἀλόχοις ἐν δαίμονι λυγρῷ*
*ἀνδρῶν φαίνηται· δίχα γὰρ νόον αἰὲν ἔχουσιν.*
*Ἀλλὰ γὰρ οὔτις πάντα δυνήσεται, ὅσσα γάμοιο*
*σήματα φαίνουσιν θοοὶ ἀστέρες, ἐξονομῆναι·*
*τῷ καὶ ἐγὼ τρέψω ἑτέρην κατ' ἀταρπὸν ἀοιδὴν*
*ἀμφὶ τέκνων γενεῆς ἐνέπων, ἥντ' ἀστέρες αἰεὶ*
*ἀνθρώποισι νέμουσιν ἀλημοσύνῃσιν ἑῇσιν.*
*ὅσσοι δὴ χθονίῳ τε καὶ αἰπυτάτῳ περὶ κέντρῳ*
*ἀστέρας εὐεργοὺς φῶτες βεβαῶτας ἔχουσιν,*
*οἵδε τέκνων τόσσων πατέρες βιότῳ τελέθουσιν,*
*ὁππόσοι ἐν τοῖσι ζῴοις καθύπερθεν ὁρῶνται,*
*ἢ κέντροις τούτοισι φέρουσ' ἐπιμάρτυρον αἴγλην.*
*παῖδας δ' ἐσθλοδόται κέντρων καὶ ὄπισθ' ἐπιόντες*
*δῶκαν ἀεὶ δισσούς, εὖτ' ἂν ζῴοισι δισώμοις*
*φαίνωνται. Τιτὰν δὲ καὶ Ἄρης εὖτ' ἂν ἐπῶσιν*
*τούτοισιν κέντροις, τεκέων ἄπο πάμπαν ἄμερσαν,*
*ἔξοχα δ' εἴ κ' ἀγαθοί σφιν ἀμάρτυροι ἀστέρες εἶεν.*
*ὣς δ' αὔτως κατόπισθε μεσουρανίῳ δεικήλῳ*
*ἠέ θ' ὑποχθονίῳ Φαίνων καὶ Ἄρης ἐπιόντες*
*δυστεκνίην ἢ πάμπαν ἀπαιδίην ἐπέκλωσαν.*
*ἀλλ' Ἄρης σὺν Μήνῃ ἰδ' Ἀφρογενεῖ πάλι φαίνων*
*δῶκε τέκνων γενεήν· Ἑρμῇ δ' ἅμα νόσφισε παίδων.*
*ἢν δὲ Κύπρις μὲν ἔῃ ζῴῳ Κρόνου, αὐτὰρ ὅγ' οἴκῳ*

ἔμπαλι Κυπρογενοῦς, παίδων γενεὴν τότ' ἀφαιρεῖ.
εἰ δ' ἔτι καὶ Πυρόεις Παφίην ἀκτῖσιν ὁρῴη,
ὠμοτόκοις ὠδῖσι γονὴν ἔρραισαν ἅπασαν.
εἰ δὲ μεσουρανίῳ ζώῳ κενεῷ γεγαῶτι
Τιτὰν καὶ Πυρόεις ἄμφω κατόπισθεν ἕπωνται,
χῆρον ἀεὶ τεύχουσι δόμον γλυκερῶν ἀπὸ τέκνων.
ὅσσαι δὲ Στίλβοντι καὶ Ἠελίῳ ἅμα Μήνην
ἐν ζώῳ ἴσχουσι μεσουρανέοντι δισώμῳ,
νηδύος εἴσω σπέρμα γονῆς διδύμοιο λάβοντο.
εἰ δὲ δυσὶν σελάεσσιν ὁμοῦ πάλιν ἀστέρες εἶεν
καλοί, ἰδ' ἐν ζώοις δισσοῖς παρεόντες ὁρῷντο,
καὶ δὲ καὶ ὡρονόμος ζώῳ φαίνοιτο δισώμῳ,
τῆμος ἀδελφειοὶ παιδὸς δίδυμοι προγένοντο.
εἰ δὲ πολυσπέρμοισιν ὁμοῦ ζώοισιν ἐπεῖεν
ἀστέρες ἐσθλοδόται, παίδων πληθὺν χαρίσαντο.
οἱ δ' ὀλοοί, κἢν δῶσι γονὴν τεκέων μερόπεσσιν,
ἢ πάλιν ἂψ ἀφέλοντ' ἢ ἀνάρσια θέντο τοκεῦσιν.
Ἀμφί γε μὴν τεκέων γενεῆς ἅλις· ἦ γὰρ ἐχέφρων
ἀνὴρ καί κ' ἀπὸ τῶνδε, τὰ δὴ λίπον, ὦκα φράσαιτο·
ἑξῆς δ' ἡμετέρῃσιν ἀοιδῇσιν καταλέξω,
ὅσσους ἱμερτῆς παίδων φύτλης ἀπάμερσαν
ἀστέρες, ἠδ' ὅσσας ἀτόκους τεύχουσι γυναῖκας.
ὁππότ' ἂν ἐν ζώοισι Κρόνου καλὴ Κυθέρεια
φαίνηται, αὐτὸς δὲ Κρόνος διάμετρος ὁρῆται,
νωθροὺς ἐς φιλότητα καὶ ἀσπέρμους μάλα τεύχει.
καὶ δ' ὁπότ' ἂν Φαίνων τε καὶ Ἄρης Ἀφρογενείης
οἶκον ἐπέρχωνται, Κύπριδος τετραγώνου ἐούσης
ἢ τοὺς ἀντιπέρηθεν ἑαῖς ἀκτῖσιν ὁρώσης,
εὐνοῦχοι τελέθουσι γονῆς ἐς πάμπαν ἄμοιροι.

ὃς μὲν γὰρ φαίνει πατρὸς γόνον, ἡ δ' ἄρα μητρός.
εἰ δ' ἄρ' ἄχρις φάσιος μὴ δή τινι φωτὶ συνάπτοι
παμφεγγὴς Μήνη, ζώῳ δέ τ' ὄπισθεν ἰόντι
ἢ Κρόνος ἢ Πυρόεις ἐπιμάρτυροι ἰνδάλλωνται,
ἢ παύρους θῆκαν γνωτούς, ἢ καὶ σπαναδέλφους.
ταῦτα δὲ ῥέζουσιν καὶ ὅτ' ἂν μεσάτου κατὰ κέντρου
ξυνὰ θέωσ' ἢ ὄπισθεν ἐπαντέλλοντες ὁρῶνται,
κἢν ἐκτὸς κέντροιο, κασιγνήτους ὀλέκουσιν.
καὶ δὲ καὶ ὡρονομῶν Φαίνων, ὁπόσοι προγένοντο
φωτὸς ἀδελφειοί, πάντας ζωῆς ἀπάμερσεν.
Πολλὰ μὲν οὖν τις τοῖσιν ἐοικότα σήματ' ἀνεύροι
εἵνεκ' ἀδελφειῶν· τέχνας δ' ἐγὼ αὐτίκα λέξω
ἔργα θ' ὁποῖα νέμουσιν ὀϊζυροῖσι βροτοῖσιν.
Φαίνων ὡρονομῶν, Ἑρμοῦ δύνοντος ἔναντα
καὶ Μήνης μεσάτοιο φαεινούσης κατὰ κέντρου,
δεικήλων ξεστῶν καὶ ἐπ' ἀνθηραῖς λιθάκεσσιν
σφρηγίδων γλυφέας τεύχει, τοὺς δ' αὖτ' ἐπὶ χαλκῷ
ἢ χρυσῷ δαιδάλματ' ἢ ἀργύρῳ ἐκτελέοντας
εἰκέλια ζώοισιν ὑπὸ γλαφυρῇσι τορείαις,
οἳ καὶ ἐπὶ σφετέρῃσι τέχναις μέγα κῦδος ἄροντο.
εὖτ' ἂν δ' ὡρονομῇ Φαίνων, ζώων δ' ἀνὰ μέσσον
Ἑρμείης ἐφέπῃ, τῷ δὲ Ζεὺς μάρτυρος εἴη,
ῥητῆρας μύθων ἀγαθοὺς σοφίῃ τε μάλ' αἰεὶ
εὐπρεπέας τελέουσι καὶ ἡγητῆρας ἀρίστους
παιδείης· τῶν δ' αὖτε καὶ ἀλλοδαπῆς ἄπο πολλοὶ
εἰσαΐουσι νέοι, ποτὲ δ' αὐτῶν παῖδες ἀνάκτων,
ὧν ἄπο χρήματα πολλὰ κλέος τ' ἄσβεστον ἕλοντο.
ἐν δ' ὥρῃ Στίλβων βεβαώς, δύνοντι δὲ Μήνῃ
* * * * * *
ἀφνειοὺς γλυκερῷ τε μέγα βρίθοντας ἐν ὄλβῳ·
δυομένοισι δὲ φωσὶ χρεῶν νωμήτορας ἄνδρας,

*οὓς δὲ καὶ ἀλλοτρίων κτεάνων ἰθύντορας ἔρξαν·*
*καὶ δὲ καὶ ἐν τροπικοῖς μὲν ἑῆς πάτρης διέποντας*
*χρήματ᾽ ἰδὲ ξυνὸν πλοῦτον· στερεοῖσι δ᾽ ἐπόντες*
*ἐξομένους, ὅθι τ᾽ αἰὲν ἀμείβεται ἀργύρου αἴγλη.*
*εἰδώλοις δ᾽ ἐν ὑγροῖσι Κρόνον καὶ φοίνιον Ἄρην*
*ξυνὴν ἐξανύοντας ὁδὸν Τιτὰν ὅτε λεύσσῃ,*
*πλωτῆρας νηῶν τε κυβερνητῆρας ἀρίστους*
*τεύχει, Ζῆνα δ᾽ ὁρῶν, καί τ᾽ ἀπταίστους ἐνὶ πάτρῃ.*
*χρυσοφαὴς δ᾽ Ἑρμῆς καὶ παμφαίνουσ᾽ Ἀφροδίτη*
*ὁππότ᾽ ἂν ἀλλήλων οἴκοις φαίνωνται ἐπόντες*
*ἢ καὶ ἐναλλάγδην ὁρίων μοίρῃσι βεβῶτες,*
*μολπῇσιν γλυκερῇσι μεμηλότας ἄνδρας ἔτευξαν,*
*ἢ λιγυρῆς κιθάρης ἐπιίστορας ἠδὲ καὶ αὐλῶν.*
*ταῦτα δ᾽ ἄρ᾽ ἐκτελέουσι, καὶ ἢν ξυνὴν ἀνύωσιν*
*οἶμον, τοῦ μὲν ἐπόντος ὅροις, τῆς δ᾽ αὖτε κατ᾽ οἶκον.*
*μεσσοτάτῳ δ᾽ εὖτ᾽ ἂν κέντρῳ Θοῦρός τε καὶ Ἑρμῆς*
*ἕσπωνται κατόπισθε, παλαίστρης ἔργ᾽ ἐφέποντας*
*ἢ σθεναροὺς ῥοπάλοις τε γεγηθότας ἐξετέλεσσαν.*
*εὖτ᾽ ἂν δ᾽ ὡρονομῇ Κυθέρη, Φαέθων δέ τε δύνῃ,*
*ὑψιφαὴς δὲ Κρόνος κέντρῳ φαίνηθ᾽ ὑπογείῳ,*
*θεσπιστὰς θεόληπτα μεμηνότας αἰὲν ἔθηκαν.*
*ταὐτὰ δ᾽ ἄρ᾽ ἐκτελέουσιν ὁμοῦ Κύπρις τε καὶ Ἄρης*
*κέντρῳ ὕπερθ᾽ ὥρης ἢ καὶ δύνοντι βεβῶτες.*
*ἐς λίβα δερκόμενος Πυρόεις, Φαίνων δ᾽ ὑπόγειος,*
*ἢν περ μὴ Φαέθοντος ὑπ᾽ ἀκτίνεσσιν ὁρῶνται,*
*δηναιὸν μόχθοισιν ὑπ᾽ ἀλγεινοῖς μογέοντας*
*τεύχουσ᾽, ἀχθοφόρων ζώων βίοτον τελέοντας.*
*ἐν δέ τ᾽ ἰσημεριναῖς χηλαῖς Στίλβων ἰδὲ Κριῷ*

πιλναμένους τε νέφεσσιν ἐπ' ἠνεμόεντι πετεύρῳ.
ἐν δ' ἄρα δεικήλῳ βροτοειδέι σὺν Πυρόεντι
Ἑρμείης βεβαὼς παίδων πρηκτῆρας ἔθηκεν
αἰὲν ἀλωομένους ξείνης ἐπὶ πείρασι γαίης,
πόντον τ' ἐξανύοντας ἐπ' ἐμπορίαις θαμινῆσιν,
ἢ παίδων φύλακας φρουροὺς θ' ἥβης ἐρατεινῆς.
ἢν δ' αὐτοὺς Κρόνος αἰνὸς ἐπὶ ζώου πτερόεντος
δέρκητ', ἠὲ καὶ αὐτοὶ ἐθὶ πτερόεντι πέλωνται,
ἰχθυβόλους τεύχουσ' ἁλίων δεδαηκότας ἔργων,
ὀρνίθων τε θοῶν θηρήτορας ἠὲ τιθηνούς,
οὓς δὲ καὶ ὠμοβόρων θηρήτορας ἠὲ τιθηνούς,
δαμναμένους τιθασοῖσιν ὑπ' ἤθεσι πρηΰνοντας.
εἰ δὲ μέσον κέντρον Πυρόεις Φαίνων τ' ἐφέποιεν,
μοίραις δ', ἅς κε θέωσ' αὐτοί, ἑτέροιο τύχοιεν,
μηδέ τις εὐεργῶν κείνων χῶρον καθορῴη,
τέχνῃσιν μυσαραῖς λυγρὸν βίον ἐξανύουσιν·
ἤτοι γὰρ νέκυας βλαβερῇ πνείοντας ὑπ' ὀδμῇ
γαστέρας ἀμπτύξαντες ἰδ' ἔγκατα πάντ' ἀφύσαντες
χρίουσιν κέδρου κυαναυγέος ἔνδοθι πίσσῃ,
ἢ τοίγ' εὐχανδεῖ χαλκῷ κοίλοις τε λέβησιν
πυθομένοις μέλδουσιν ἅμ' ἰχθύσιν οὐλοὸν ἅλμην.
ἦμος δ' Ἑρμείαο δόμοις καλὴ Κυθέρεια
σύν τ' αὐτῷ Στίλβοντι φαείνητ', ἠέ θ' ὅροισιν
ἀλλήλων βεβαῶτες ἐναλλάγδην φορέοιντο,
θείῃσιν σοφίῃσι κεκασμένοι ἐξεγένοντο
ἀνέρες· ἢ γὰρ μέτρα μακρῆς χθονὸς ἐξεδάησαν
ᾗσιν ἐπιφροσύνῃσιν, ἢ ἀρθέντες πραπίδεσσιν
ἀθανάτων ἔργων φύσιος πέρι μητιόωσιν.
εἰ δ' ἄρα καὶ Φαίνων τούσδ' ἀκτίνεσσιν ὁρῴη,
μάντιες ἀστρονόμοι τ' οἰωνοπόλοι τ' ἐγένοντο
ἐκ σπλάγχνων τε βροτοῖς θυέων τ' ἄπο θεσπίζοντες,

*ἢ μάγοι ἀρρήτοισι θεοὺς καλέοντες ἀοιδαῖς.*
*εἰ δ' Ἑρμῆς μὲν ὅροις Ζηνὸς πέλοι, ἔμπαλι δ' Ἑρμοῦ*
*κεῖνος, ἴδ' ἀλλήλους φιλίαις ἀκτῖσιν ὁρῷεν,*
*παίδων ἡγητῆρας ἀγακλῆεῖς τ' ἐτέλεσσαν*
*ῥητῆρας μύθων σοφίῃσί τε πάμπαν ἀρίστους.*
*ὣς δὲ καί, ἢν ὥρης μὲν ἔχῃ κέντρον σοφὸς Ἑρμῆς,*
*αὐτὰρ ἐπαντέλλῃ Παφίη, τοίους ἀνέφηναν,*
*πρὸς δ' ἔτι καὶ πάσης τέχνης ἄρχοντας ἐν ἔργοις,*
*ὄργανα θέσκελ' ἑαῖς πολυμηχανίῃσι τελοῦντας.*
*Ζηνὸς δ' ἐν καθύγρῳ ζώῳ βροτῷ ὡρονομοῦντος*
*ἢν Φαίνων ἐφέπηται, ἀλίπλαγκτόν περ ἔθηκαν*
*ἐμπορίῃ νηός θ' ἡγήτορα ποντοπόροιο.*
*εἰ δ' Ἑρμῆν λεύσσειε Κρόνος σφετέροις ἐν ὅροισιν*
*αὐτὸς ἐὼν ἢ ζῷον ἔχων ἑόν, ἐξετέλεσσαν*
*γειοπόνους, ξείνοισι γεγηθότας οὐκ ἰδίοισιν*
*μούνοισιν, μισθοῦ δὲ καὶ ἄλλων κλῆρον ἔχοντας.*
*ξυνὴν δ' ἐξανύοντες ὁδὸν Φαίνων Κυθέρη τε*
*καὶ Θοῦρος θείῃσιν ἐπιπνοιῇσι μογεῦντας*
*θῆκαν καὶ μανίῃ μακάρων ἄπο φοιβάζοντας.*
*ἀλλήλων δ' ἐπιβάντες ὅροις Φαίνων Πυρόεις τε*
*δείκηλον κατὰ ταὐτὸν ἢ ἀντιπέρην βεβαῶτες*
*θήκας τεκταίνοντας ἀποφθιμένοισι βροτοῖσιν*
*ἠὲ πυραῖς μαλερῇσι νεκροὺς αἴθοντας ἔτευξαν,*
*ἢ θρηνοῦντας ἀεὶ κεραοῖς ἐπιτύμβιον αὐλοῖς.*
*εἰ δ' Ἑρμῆς τούτοις ἐπιμάρτυρος ἠὲ κατ' αὐτὸ*
*ζῷον ἔοι, κλῶπας, ληίστορας, ἀνδροφονῆας,*
*ἢ ναύταις ὀλοαῖς ὑπ' ἰωκαῖς κῆρας ἄγοντας*
*ῥέξει, ἀτὰρ θανάτοιο τέλος τετληότας αἰνόν,*
*πρίν τε θανεῖν κρυερῇσι δαϊζομένους ὀδύνῃσιν.*
*ὁππότε δ' αὖτ' οἴκους μοιρῶν θ' ὅρι' ἀλλάξωσιν*

ἀλλήλων Κύπρις τε καὶ εὐφεγγὴς θοὸς Ἑρμῆς,
αὐλῶν ἢ κιθάρης ἢ ἀοιδῆς εὐρύθμοιο
ἠὲ καὶ ὀρχηθμοῦ βητάρμονας ἴδριας ὄντας
θῆκαντ', ἢ χλεύῃσι λάλοις μάχλοις τ' ἐπέεσσιν
τέρποντας, τραγικῆς τε βαρυβρόμου ἵστορας οἴμης,
αἰὲν ἐπ' εὐρυχόροισιν ἀλωομένους θυμέλῃσιν.
εἰ δέ θ' ὅροις Ἑρμοῦ Τιτάν, αὐτός θ' ἅμ' ἐκείνῳ
Ἑρμείης φαίνηται, ἀεθλητῆρας ἔτευξεν.
κἢν μὲν δὴ τούτοισι συνῇ καλὴ Κυθέρεια,
κυδάλιμοι νίκῃσι πολυστεφέες τ' ἐγένοντο·
εἰ δὲ Κρόνος κατέναντ' ἐπιμάρτυρος ἢ τετράγωνος
ἠὲ συνὼν φαίνηται, ἐπὶ χθόνα πᾶσαν ἀλῶνται
ἀστεφέες ψαφαροῖς τε μάτην σταδίοισι μογεῦντες.
ὡρονόμου δ' ἀκτῖσιν ἑαῖς λεύσσουσα Κυθήρη
ἐκ πυρὸς ἢ πολιοῖο τέχνας ὤπασσε σιδήρου.
ἢν δ' Ἑρμῇ χῶρον καθ' ἑὸν βεβαῶτι συνάπτῃ
ἢ σύμφωνος ὁρῆται ὑπὸ Στίλβοντι Σελήνη,
αἰόλα δαιδάλλοντας ἑαῖς χείρεσσιν ἔφηναν
ἐκ πριστοῦ ἐλέφαντος ἢ ἐκ Λύγδοιο φαεινῆς
εὐτήκτου τ' ἀπὸ κηροῦ ἐυξεσταῖς σανίδεσσιν
μορφὰς μιμηλῇσι χαρασσομένους γραφίδεσσιν.
μέσσῳ δ' ἐν κέντρῳ Θοῦρος σφετέροιο κατ' οἶκου
Ἑρμῇ ὁμοτροχάων τέχνας ὤπασσε βαναύσους.
εὖτε Σεληναίη δὲ μεσουρανίου ἀπὸ κέντρου
κλίνῃ, ἀτὰρ Φαίνων τε καὶ Ἄρης κέντρῳ ἐπῶσιν,
τῆμος ὅσοι φῦσαν, νεκυοστόλοι ἐξεγένοντο,
ἢ φρουροὶ νεκύων τύμβοις ἔνι ναιετάοντες.
εἰ δὲ γυναικὸς ἔῃ γενέθλη, τοῖσιν δὲ συνείη
Ἀφρογενής, τεγέεσσιν ἐφήμεναι αἴσχεα δρῶσιν.
ὁππότε δ' ὡρονομῇ Στίλβων ζῶον κατὰ θῆλυ,
δεικήλῳ δ' ἐνὶ θηλυτέρῳ καὶ Μήνη ἐπείη,
ὡρονόμῳ δὲ Κρόνος τε καὶ Ἄρης ὁππότε κέντρῳ

αἰπυτάτῳ ἐφέπωνται, ὀιζυροὶ γεγάασιν
φῶτες· Διδυμίῃ γὰρ ἀγείροντες κατὰ δήμους
καὶ πόλιας πλάζονται ὁμοῦ ῥόπτροις τε καὶ αὐλοῖς,
χερσὶν ἑαῖς κόψαντες ἄφνω τεκνοσπόρον αἰδῶ.
Ἀλλὰ γὰρ οὔτις θνητὸς ἐὼν πάσας κε δύναιτο
πρήξιας ἢ τέχνας εἰπεῖν, ὅσσας μερόπεσσιν
ἀστέρες ἐν σφετέροισιν ἐμοιρήσαντο δρόμοισιν.
ἑξείης δ' ἄρ' ἔπειτα σίνη περὶ σώματα θνητοῖς
ὁππόσ' ἐπεκλώσαντο καὶ ὁπποίας κατ' ἀταρπούς,
ἐξερέω μάλα παῦρ', ἐπεὶ οὔτινα φῶτ' ἐνὶ τόσσοις
ἀσκηθῆ καὶ ἄνουσον ἄχρις θανάτοιό κ' ἐφεύροις.
εὖτ' ἂν δὴ ζῴῳ Πυρόεις ἐπιόντι βεβηκὼς
ἀμφοτέροις σελάεσσιν ὁμοῦ βεβαῶσιν ἕπηται,
ὀφθαλμῶν σέλας ἀμφοτέρων ἤμερσε βροτοῖσιν·
ἢν δὲ Σεληναίῃ μούνῃ τῆμος σέλας ἁγνὸν
ληγούσῃ, ἑτέροιο φάος κανθοῖο σινώσει·
τοῦτο δὲ καὶ δυνούσῃ ἐπερχόμενος πάθος ἔρδει.
ἢν δύνοντα δ' Ἄρην κατίδῃ Κρόνος ἠὲ καὶ Ἑρμῆς,
ἢ μανίην ἢ νοῦσον ὀρίνουσιν βροτῷ ἱρήν.
ὣς δὲ καί, ἢν Φαέθων δύνῃ, ὥρην δ' ἐφέπωσιν
Ἑρμῆς καὶ Πυρόεις, μανίην πραπίδων τελέουσιν.
ναὶ μὴν καὶ Τιτῆνος ἀνερχομένου ἅμα Μήνῃ
ἐκ περάτης δύνοντες ὁμοῦ Φαίνων τε καὶ Ἄρης
λυσσήρεις πινυτοῦ τε νόου παραπλῆγας ἔτευξαν.
εἴκελα κἢν Πυρόεντος ὁμοῦ Μήνῃ ὑπὲρ ὥρης
τελλομένου ἕτερον Φαέθων δύνῃ κατὰ κέντρον.
Ἑρμῆς δ' ὡρονομῶν σύν τε Κρόνῳ ἀντιπέρηθεν
δύνοντος Ζηνὸς πραπίδων νόον ἠμάλδυνεν,
ἄφρονά τ' ἐξετέλεσσ' ἀποφώλια μητιόωντα.
Μήνης δ' ἐν φθινύθοντι φάει πρόδυσιν κατὰ πάντα

Ἡλίου μέτα παμφεγγοῦς, ἑτέρων δ' ἐπιόντων
δυομένῳ κέντρῳ, μάλα δὴ φράζεσθαι ἄνωγα·
οἱ μὲν γάρ τ' ὀλοοὶ κῆρας καὶ δείματ' ἄγουσιν
εἰδώλων τε βροτοῖς ἰνδάλματα δαίμοσιν ἶσα,
καὶ ζαθέαις ὀμφῇσι κλεϊζομένους ἀνέφηναν.
ὣς δὲ καί, ἢν Φαέθων Ἄρην δύνοντα διώκῃ
ἐξόπιθ' ἑσπόμενος, λύσσαν μανίας τ' ἐπιβάλλει.
ὁππότε δ' ὡρονομῇ μὲν Ἄρης, δύνῃ δὲ Σελήνη
ἀμφί τε κυρτωθεῖσα φανῇ Φαίνοντος ὅροισιν,
τῆμος ἄρ' αἴσχιστοι φύντες θνητοὶ περὶ μορφὴν
ὀξέα δινωτοὺς στέρνοις φορέουσιν ἔπ' ὤμους.
σὺν δὲ Κρόνῳ βαίνουσαν ἐπὴν Κυθέρειαν ἀθρήσῃ
Ἄρης ἢ τετράγωνος ἢ ἀντιπέρηθε βεβηκώς,
μήδε' ἀποτμήγοντες ἐφημέρου εἵνεκα φορβῆς
ἀλλοτρίῃσι θύρῃσιν ἐφεστηῶτες ἀλῆται
γείνονται, πενίην αἰεὶ συνοπηδὸν ἔχοντες.
σὺν Παφίῃ δὲ Σεληναίην λεύσσων κλυτὸς Ἄρης
ἄνδρας μὲν μάχλους καὶ ὀπιπευτῆρας ἔτευξεν,
θηλυτέρας δὲ λέχος μισθοῦ δήμοις παρεχούσας.
ὁππότε δ' ἀλλήλων ὁρίοις Κύπρις τε καὶ Ἄρης
φαίνωνται ξυνὸν ζώων δρόμον ἐξανύοντες,
ζωροπότας, κώμοισι γεγηθότας, ἔν τε μέθῃσιν
ὃν βίοτον τελέοντας, ἐπ' ἀλλοτρίαις δὲ γυναιξὶν
κρυπταδίαις τ' εὐνῇσι μεμηνότας ἄνδρας ἔτευξαν.
εἰ δὲ Κρόνος τοῖσιν μάρτυς πέλοι, αἴσχεσιν αἰνοῖς
ἀμφέβαλεν· τοῖσιν γὰρ ἀεὶ κύπρις στομάτεσσιν
* * * * * *
εὖτ' ἂν δ' Ἡλίῳ συνίῃ κερόεσσα Σελήνη
ἀμφοτέρων μέσσοιο φαεινομένου Πυρόεντος,
τοῖσι δ' ὁμοῦ βεβαῶσι Κρόνος τετράγωνος ὁρῆται,

τῆμος ἐνὶ στέρνοισι χολὴ ζείουσα μέλαινα
ἀνθρώποις παρέπλαγξε νόον, λύσσαν τ' ἐπορίνει.
600 δύνοντες Τιτὰν δὲ καὶ ὦκα θέουσα Σελήνη
* * * * * *
598 ἢ ξηρῶν νούσων θανάτου τέλος ἠὲ καθύγρων,
λυσσήρεις δὲ τελοῦσι, φρενοβλαβίην τ' ἐπάγουσιν.
601 ἢν δ' ἐπὶ συνδέσμου Μήνη θέῃ Ἄρεος ἄντα
ἢ τετραγώνου ἐόντος, ἀνιηρῷ τότε φῶτες
οἴστρῳ ἐπ' εἰδώλοις κενεοῖς νόον ἐπτοίηθεν.
εἰ δὲ Σεληναίης Πυρόεις καθυπέρτερος εἴη,
ἤ ὅγε δὺς ὑπ' ἐ[illegible]ίνῃ ἔῃ, συνοχῇσιν ἔδησεν.
εὖτε δὲ καὶ Φαίνων Μήνῃ ἐπιμάρτυρος εἴη,
ὑστάτιον θανάτοιο βίῃ τέλος ἐξανύουσιν.
ἔξοχα δ' αὖτε σινοῦσι βροτοὺς πληγῇσι σιδήρου
ἢ νούσοις ἱερῇσιν Ἄρει Μήνη συνιοῦσα
τέτρασιν ἐν κέντροισι καὶ ἀντιόωσ' ἐπὶ κέντροις.
εἰ δέ τε καὶ Φαίνων ὀλοὴν ἀκτῖνα βάλῃσιν,
ἄχθεσιν ἢ λάεσσι δόμων τ' ὀροφῇσιν ἔθλιψεν.
εἰ δέ τ' ἀπ' ἀκτίνων Ἄρεος φεύγουσα Σελήνη
Φαίνοντι κρυόεντι συνάπτοι δερκομένοιο
Στίλβοντος, δειναῖς νεύρων νούσοισι χαλέπτει.
ἀργαλέοις δὲ σίνεσσι βροτοὶ κάμνουσι, καὶ Ἄρης
ὁππότε δύνῃσιν, Μήνης σὺν τῷ κατιούσης
καὶ Κρόνου αἰπυτάτοιο γονῆς ὥρην ἐφέποντος.
εἰ δέ τε Μήνην μὲν Φαίνων, Τιτῆνα δὲ Θοῦρος
λεύσσειεν κατέναντ' ἢ μαρτυρέοι τετράγωνος,
ὅσσοις ἀμφοτέροισι βροτῷ σίνος ἐκτελέουσιν.
εὖτ' ἂν δ' ὥρης μὲν Πυρόεις κατόπισθεν ἕπηται,
φῶτα δ' ἄρ' ἀλλήλοισι φαείνηται διάμετρα
ἢ τετράγωνα, σίνεσσι δυσαλθήτοις μογέουσιν,
ὡς καὶ ἐπεσβολίῃσι θεοὺς στοβέειν ἐπὶ νούσῳ.

ἀλλ' εἰ μὲν Ζεὺς τοῖσι φίλος καὶ μάρτυρος εἴη,
κινδύνων ῥύεταί τε καὶ ἐκ καμάτων ἐσάωσεν·
ἀντία δὲ Ζηνὸς λεύσσων Κρόνος ἄλγεα τεύχει
ἕξειν δυσπονίην τε, σίνῃ δὲ χερείονα δῶκεν.
Τόσσα μὲν ἀμφὶ νόσων, ἐπὶ δ' εἴκελα τοῖσι δύναιτ' ἂν
φράζεσθαι μάλα πολλὰ νόῳ πεπνυμένος ἀνήρ·
λέξω δ' αὖ μετέπειθ', ὡς ἐκ κτεάνων τε καὶ ὄλβου
Αἶσα κακὴ κρυερὴν πενίην ἐπὶ φῶτας ἀγινεῖ.
κλήρων ἐξελάουσι βροτοὺς Φαίνων Πυρόεις τε,
ὃς μὲν πρόσθεν ἰὼν Ὑπερίονος, ὃς δέ τ' ὄπισθεν.
ταῦτα δὲ καὶ μεσάτου ῥέζει κλίνας ἀπὸ κέντρου
ἀστήρ, οὔγε δόμος κεδνὸς τόδε κέντρον ἐτύχθη.
ναὶ μὴν καὶ Πυρόεις βεβαὼς ζώῳ βιότοιο
ἐξόπιθ' ὡρονόμοιο πατρώια πάντ' ἐκέδασσεν·
ἔξοχα δ' εἴ κ' αὐτῷ συνέῃ κερόεσσα Σελήνη.
τὼς δ' ἀστὴρ παρεὼν ῥέζει σφετέροιο κατ' οἴκου,
ἐς λίβ' ὅτ' ἂν δυτικῷ κέντρῳ κατόπισθ' ἐπιδύνῃ·
καὶ δ' ἄρα καὶ κλήροιο τύχης μεδέων ἀπάμερσεν
ὄλβον, ὅτ' αὐτὸς ἔοι κέντρου βαίνων προπάροιθεν.
πρὸς δὲ μεσουρανέοντες ὁμοῦ Φαίνων τε καὶ Ἄρης
κλῆρον ἢ οὐκ ὤπασσαν ἢ αὖ δόντες γ' ἀπάμερσαν·
ὣς δὲ καὶ εἰ τόδε κέντρον ἀπὸ πλευρῆς τετραγώνου
ἢ διάμετροι ὁρῷεν, ἄφνω ἀπενόσφισαν ὄλβον.
ἐν πενίῃ δὲ μογεῦσι καὶ ὅσσοις φῶτα δύ' ὥρην
μὴ λεύσσῃ, πάμπαν δέ τ' ἀπόστροφον οἶμον ὁδεύῃ.
εἰ δ' ἄρα δὴ Μήνην δεκατεύωσ' ἀστέρες ἄμφω
Ἄρεος ἠδὲ Κρόνοιο, Διὸς δέ τ' ἀπόστροφος ἀστὴρ
εἴη, ὀιζυροὶ καὶ ἀχρήμονες ἐξεγένοντο·
ἔξοχα δ' εἰ καὶ ζῶον ἐπαντέλλον μετόπισθεν

Μήνης ἐκ Ζηνὸς κενεὸν καὶ ἀμάρτυρον εἴη·
δευόμενοι βιότου γὰρ ἀγείρουσιν κατὰ ἄστυ.
εἰ δὲ Διὸς μὲν ὁρῷτο, μέσου Ὑπερίονος, αἴγλη,
κέντρον δ' ἀμφὶς ἔχωσι τόδε Κρόνος ἠδὲ καὶ Ἄρης,
ὃς μὲν ὑπερτέλλων, Ἄρης δέ τ' ὄπισθε διώκων,
ὄλβου καὶ κτεάνων οἶκον πλήθοντα κένωσαν.
ἢν δὲ μεσουράνιον κέντρον κενεὸν Διὸς εἴη,
οἱ δ' ὀλοοὶ ἑκάτερθε φαείνωσιν, τότε θνητοὶ
οὐ μόνον ἐν κρυερῆς πενίης κάμνουσιν ἀνίαις,
ἀλλὰ καὶ ἐν δεσμοῖς θανάτου τέλος ἐξανύουσιν.
ἦμος δ' ἂν Πυρόεντος ἀπορρείουσα Σελήνη
ὥρῃ ἐφέσπηται, συναφῇ Φαίνοντι συνοῦσα,
κέντρον δ' αὖτε μεσουράνιον Φαέθων διέπῃσιν,
τερφθέντες πλούτῳ γλυκερῷ μετόπισθε πένονται,
οἱ δὲ καὶ ἐν συνοχῇσι καὶ ἐν δεσμοῖς ἐγένοντο.
εἰ δέ κ' ἐναλλάξαντες ὅρους ἢ ζῶα θέωσιν
ἀλλήλων Πυρόεις τε καὶ Ἑρμῆς χρυσοπέδιλος,
σὺν Διὶ δ' Ἠέλιος κέντρον κατέχων ὑπόγειον,
ἐκ προτέρου βιότου κτεάνων τ' ἄφαρ ἐξεκύλισσαν,
θωάς τ' ἀλλοτρίων τέχναις ἄτας τ' ἐπάγουσιν.
εἰ δὲ μεσουρανέοντα Κρόνον καλὴ Κυθέρεια
*    *    *    *    *    *
ἢ Φαέθων, πατρῷα βροτὸς μάλα πάντ' ἀπολέσσας
αὖθις ἀπ' ἀλλοτρίων κτεατίσσεται ἄρκιον ὄλβον.
ἢν δ' Ἄρης διάμετρος ἔῃ, κἢν ἄσπετος εἴη,
ἐς κρυερὴν πενίην πάλιν ἵξεται, ἣν πρὶν ἔλειπεν.
ἢν δὲ καὶ Ἠελίῳ Μήνη συνέῃ κατὰ κέντρου
ἐκ Κυθέρης ἢ Ζηνὸς ἀμάρτυρος, ἀλγινόεσσα
πάγχυ πέλει γενέθλη προτέρου τητωμένη ὄλβου.
Παῦρα μὲν ἐκ πολέων ἀμφὶς πενίης τάδε λυγρῆς

*ἤεισ'· αὐτὰρ νῦν δμώων γενέθλης πέρι λέξω*
*πῶς κε διακρίνειεν ἀνὴρ τάδε θέσφατα εἰδώς.*
*εὖτε Σεληναίης καὶ Κύπριδος ἀστέρες αἰνοὶ*
*Φαίνων καὶ Πυρόεις ἀμφοῖν καθυπέρτεροι εἶεν,*
*δμῶες καὶ δμώων τοκέων τοίγ' ἐξεγένοντο.*
*εἰ δ' Ἀφροδίτην μὲν Φαίνων καὶ Ἄρης καθορῷεν,*
*Μήνῃ δ' αὖ Φαέθων τε Κρόνος τ' ἐπιμάρτυροι εἶεν,*
*δουλοσύνην προφυγόντες ἐλεύθερον ἦμαρ ἴδοιεν.*
*ἦμος δ' Ἠέλιον Φαίνοντά τε πυρφόρος Ἄρης,*
*Κύπριν δ' αὖτε Κρόνος κρυεραῖς ἀκτῖσιν ὁρῴη,*
*ἐκ δμώων γεγαῶτας ἑοῖς ἰσοῦσιν ἄναξιν.*
*εἰ δὲ Κρόνῳ μὲν ἴδ' Ἠελίῳ μάρτυς πέλοι Ἄρης,*
*Ζεὺς δὲ Σεληναίῃ τε καὶ Ἀφρογενεῖ, θεράποντος*
*πατρὸς ὁ φὺς ἔσεται, μήτηρ δέ τ' ἐλευθέρη αὐτῷ.*
*ὁππότε δ' αὖ κερόεσσα Σεληναίη ὑπόγειον*
*ἢ δυτικὸν κέντρον διέπῃ, τετραγώνου ἐόντος*
*ἠὲ καταντιπέρην ὀλοοῦ Κρόνου, αὐτὰρ Ἄρηος*
*ἀστὴρ σὺν Παφίῃ ἢ καὶ διάμετρος ὁρῷτο*
*ἢ τετράγωνος ἔοι, μητρὸς πέλει ἀμφιπόλοιο.*
*εἰ δὲ Κρόνος κέντροιο λαχὼν Μήνην ἐσορῴη*
*ἢ Τιτῆν', ἕτερον δὲ φάος Πυρόεις καθορῆται,*
*δμώων ἀμφοτέρων τοκέων φράσσαιο γεγῶτα.*
*καὶ δὲ καὶ ὁππότ' ἂν ἐν κέντρῳ Μήνη μὲν ἐπείη,*
*ἄλλῳ δ' αὖτε Κρόνος κέντρῳ κατόπισθεν ἕποιτο,*
*νυκτιφαὴς δὲ Σεληναίη Πυρόεντι συνάπτοι,*
*δουλοσύνης ζυγὸν αἰὲν ἐπ' αὐχέσιν οἷσι φέρουσιν.*
*εἰ δὲ μεσουρανέοι Φαέθων, Μήνη δέ τ' ἀπ' αὐτοῦ*
*ἅρμ' ἐλάοι, κατόπισθε δ' ἐπαντέλλοντι συνάπτοι,*

ἄστρων οὐλομένων ἑτέρων μαλερῇσιν ὑπ' αὐγαῖς
δερκομένου ἑτέροιο, γονὴν δούλειον ἔτευξαν.
ὁππότε δ' ἂν κέντρων ἐρατὴ κλινθεῖσα Σελήνη
εὐεργῶν μηδ' ὅσσον ἔχῃ ἐπιμάρτυρον ἄστρων,
οἱ δ' ὀλοοὶ Φαίνων τε καὶ Ἄρης ἠὲ καθ' ὥρης
ἐμβεβαῶτες ὁρῶνται ἢ ὡρονόμῳ τετράγωνοι
ἠὲ τρίγωνοι ἔωσιν, ἐλευθερίης τότε θνητοὶ
παυσάμενοι δούλειον ὑπὸ ζυγὸν ἄφνω ἄγονται.
δμῶες δ' αὖτ' ἐγένοντο, καὶ ὁππότε φάεα δοιὰ
Μήνης καὶ Τιτῆνος ἀποκλίνωσ' ἀπὸ κέντρου,
ἢ συναφὴν τεύχωσ' ὀλοεργέσιν ἀστράσιν οἶδε,
μὴ Διὸς αὖ λεύσσοντος ἢ ἁβροκόμοιο Κυθήρης.
εὖτ' ἂν δ' ὡρονόμῳ Φαίνων Κύπρις τ' ἰσόμοιροι
ἐμβεβαῶτες ὁρῶνται, ἀεὶ θεράποντας ἔθηκαν
οὐχ ἑνός, ἄλλοτε δ' ἄλλῳ ὑποδρήσσοντας ἄνακτι,
δηθάκι καὶ σφετέρου πιπρησκομένους ὑπὸ πατρός.
εἰ δὲ καὶ Ἥλιος τοῖσίν γ' ἐπιμάρτυρος εἴη,
καὶ δεσμοὺς ὀτλεῦσι κακῇ ὑπὸ δαίμονος ἄτῃ.
Ἄστρων μὲν δὴ τοῖα καὶ ὁππόσα τοῖσιν ἔοικεν
σχήματα δυσγενέων δμώων τεύχει λυγρὰ φῦλα.
Αὐτὰρ ἐγὼ μάλα μὲν πυκιναῖς πραπίσιν δεδάηκα
* * * * * *

γαστέρος ἐκπροφέρωσι μογοστόκοι Εἰλείθυιαι.
ἀλλ' οὔ κ' ἀσφαλέως τις ἀείδοι τήνδε γ' ἀοιδήν·
μαντοσύνῃ γὰρ τοίῃ ἀεὶ χόλος ἐκ βασιλήων
ἕσπεται, ὅντε χρεὼ σοφὸν ἀνέρα τῆδ' ἀλεεῖναι·
τῷ δὴ τόνδε γε μῦθον ἔχων ἄρρητον ἐάσω.
Αὐτὰρ νειατίην ἐλάων περὶ νύσσαν ἀοιδὴν
ἤδη χἠμετέρης γενέθλης μεμνήσομαι ἄστρων,
ἧχι πέλε, ζώοισί τ' ἐν οἷς ὥρη πέλ' ἐκείνη,
τῇ μ' ἀπὸ γαστρὸς ἔφηνε πολύλλιτος Εἰλείθυια,

ὄφρα καὶ ὑστατίοισιν ἐπ' αἰώνεσσι δαέντες
πείθωνται, τάτ' ἐμοὶ δωρήσατο Μοῖρα δεδάσθαι
ἄστρων ἰδμοσύνην τε καὶ ἱμερόεσσαν ἀοιδήν.
Ἥλιος μὲν ἔην Διδύμοις, τῷ δ' αὖθ' ἅμα καλὴ
Κύπρις καὶ Φαέθων ἐρατὸς καὶ χρύσεος Ἑρμῆς,
Ὑδροχόῳ δὲ Σεληναίη Φαίνων τε καθ' ὥρης,
πουλυπόδῃ δ' Ἄρης ἐν Καρκίνῳ, ἀμφὶ δὲ μέσσον
οὐρανὸν ἐστρωφᾶτο βέλος Κένταυρος ἀνέλκων·
τὼς μὲν ἐμὴν γενέθλην Μοῖραι διετεκμήραντο.
Αὐτὰρ ἐγὼ Μούσῃσι καὶ αἰθερίοισιν ἅμ' ἄστροις
εὐξάμενος λιγὺν ὕμνον ἐμὴν καταπαύσω ἀοιδήν·
ἀστέρες εὐφεγγεῖς, Διὸς αἰγιόχου τε θύγατρες,
ἵλατε καὶ κλέος αἰὲν ἐμῇ πορσύνετ' ἀοιδῇ.

---

# ΒΙΒΛΙΟΝ Δ.

A Οὐρανίων ἄστρων ἀτραπούς, πλάστιγγας Ἀνάγκης,
ᾗσιν ἐφημερίων μερόπων γένος ἐκμεμέτρηται,
Μοιράων τε κέλευθα βροτήσια, καὶ πλάνα φέγγη
ἀπλανέων τ' αὐγὰς πυριλαμπέας ἐξονομήνω,
ζωιδίων τε πόλοιο περίδρομον, ὃς κατὰ γαῖαν
αἰθερίην τε κέλευθον ἐν ἡμιτμῆτι πορείῃ
πλαγκτὰ διχαζόμενος διέπει θεομήστορα κόσμον
ἐξ ἠοῦς ἐπὶ νύκτα καὶ ἀντολίης ἐπὶ δυσμάς.
ταῦτα γὰρ ἐξ ἱερῶν ἀδύτων φύσις αἰθερόπλαγκτος
ὀρθὰ τεκμαιρομένοισι διώρισεν ἀνδράσιν ἄστρα,
οἷς πλαγκτὴ κόσμοιο βροτοκλώστειρα χορείη

δόγματος ἐξ ἱεροῖο σαφῆ πρὸς ἔλεγχον ἰοῦσα,
* * * * * *
ἐξ οὗ μὲν καὶ ἐς οἷον ἀμείβεται εἶδος ἕκαστον.

---

B Πρῶτα μὲν οὖν Τιτὰν παντὸς Κρόνος αἰθέρος ἄρχει,
ἀστήρ, ὃν Φαίνοντα θεοὶ μέροπές τε καλοῦσιν·
οὗτος, ἐπὴν οἰκεῖα φανῇ κατὰ δώμαθ᾽ ἑαυτοῦ
γεινομένοις θνητοῖσιν ἐπίσκοπον εἰς βίου ὥρην,
εὐκτεάνους δείκνυσι καὶ ὄλβου πλείονος ἄρχειν,
εὐτυχέας ζωῇ τε καὶ εἰς τέλος αἰὲν ἀμόχθους·
ἔστι δ᾽ ἐν οἰκείοισι τεταγμένα ταῦτα Κρόνοιο
ζῳίδι᾽, οἷστε φανεὶς τεύχει πολυχρήμονας ἄνδρας·
Ὑδροχόος, ταμίης νεφελώδεος Οὐλύμποιο,
Αἰγόκερως, γαίης τε καὶ ὕδατος ἀμφίβιος θήρ,
Κριὸς ὅ τ᾽ οὐρανίου κορυφῆς ὅρος, εἴαρος ἀρχή,
καὶ Ζυγὸς αἰγλήεις πρὸς Σκορπίον αἰθερονωμῶν,
τετραπόδης τε Λέων, πολυάστερος ἔμπυρος οἶκος·
οὗτοι ἀεὶ τεύχουσι βροτοὺς εὐδαίμονας ἔργοις.
ἢν δέ τ᾽ ἀνοικειοισι τόποις κλυτοτέρμονος ὥρης
φυομένοις θνητοῖς μέσον οὐρανὸν αἰθερολάμπῃ,
ἢ κείνην ὥρην πανεπίσκοπον ἀμφιπολεύῃ,
παμβλαβέας ῥέζει τε καὶ ἀκτεάνους καὶ ἀδόξους,
ἐνδεέας ζωῆς καὶ ἐφημερίης βιότητος,
καὶ πάσης λύμης ἐπιβήτορας οἰκτρομελάθρους
τεύχει, καὶ λύπης καὶ ἀλημοσύνης μετέχοντας.
Ζεὺς δ᾽ ἐπὶ γεινομένοισιν ὅτ᾽ ἂν κυδοσκόπον ὥρην
εἰσλάμψῃ φαέθοντι πυρὸς θερμοῖο σελασμῷ,
ἢ μέσον οὐρανίης ἀτραποῦ δρόμῳ ἠέρα τέμνῃ,
ἠδὲ κατ᾽ οἰκείων προφανῇ δεσπόσμασι μοιρῶν,
χρυσοστέπτορας ἄνδρας ἢ ἀρχιερῆας ἀυτεῖ

ἔσσεσθαι, πολέμῳ τε διιθυντῆρας ἀέθλων,
ἠδὲ μεγιστᾶνάς τε καὶ ἀλλοτρίων κτεανισμῶν
δεσποσύνους, οἷς τέκνα καὶ ὀλβίστη παράκοιτις
εἰς ἀρετὴν νεύουσα πολὺ κλέος ἔσσεται οἴκου.
ἡνίκα δ' ἂν πυρόεις Ἄρεος πυριλαμπέος ἀστὴρ
ἐν καθέτῳ κόσμου μέσον οὐρανὸν ἀμφιπολεύῃ,
τῆμος ὁ φὺς ἔσεται μὲν ἐν ἡγεμόνεσσιν ἄριστος,
φρουρητῆρα σίδηρον ἔχων, φυλακάς τε κρατούντων
πίστιν τ' ἀλκήεσσαν· ἐπὴν δ' εἰς τέρμα βίοιο
μοιριδίου θανάτοιο μόλῃ πολυπήμονι πότμῳ,
ἢ διὰ λαιμοτόμου φάρυγος βίον αἵματι λείψει
σφονδυλόεντα τράχηλον ἐς ἰνίον ἀκροτομηθείς,
ἢ διὰ φαρμακτοῖο δόλου νοσερὸν τέλος ἕξει.
λαμπροφαὴς δ' ἀστὴρ ὁπότ' ἂν δύνουσι φαανθῇ
ζωιδίοις, ὃν πάντες ἐπεφράσσαντ' Ἀφροδίτης
φωσφόρον, ἐν τούτῳ δὲ γονὰς μερόπων τις ἐνέγκῃ,
ἔσσεται ἀλλοτρίων λεχέων πανάθεσμος ἀατήρ,
ὀρφνήεις, δολοεργός, ἀνέστιος, αἰσχεόμυθος,
παμψέκτωρ, ἀδίδακτος, ἀεὶ δεδιδαγμένος αἰσχροῖς.
ἢν δὲ Κύπρις μερόπων ὡροσκόπα φέγγεα λεύσσῃ,
αἱμυλίους τεύχει τε καὶ εὐμούσους καὶ ἀμόχθους,
ἔκ τε γυναικείων χαρίτων λάμποντας ἐν ὄλβοις·
τούτοις θηλειῶν πιστεύεται ὅρκια κρυπτά,
οὗτοι προστήσονται ἐν ὀργιάδεσσιν ἑορταῖς,
ἔνθα φυγαρσενίης μυστήρια τεύχετ' ἄπυστα·
ἢν δ' ἐρατὴ μεσόωντα κατ' οὐρανὸν ἀνδράσιν ὀφθῇ,
φράζει τοι βιοτὴν βαθυχρήμονα, χιλιάδας τε
ἀρχάς, καὶ δόξης ἀπλέτου κοσμήτορα κόμπον,
τοίης δ' ἐκ τιμῆς πλούτου κυδήνορα κόσμον.
στίλβων δ' Ἑρμείαο φανεὶς ἐπὶ τὴν δύσιν ἀστὴρ
* * * * * *

γεινομένων βρεφέων ὡροσκόπου ἢ κατὰ μέσσον οὐρανόν, ἔκ τε λόγων τεύχει προκοπήν τινα θνητοῖς,
καὶ καλαμογραφίης, καὶ ὅσ' εἰς μοῦσαν πεπόνηται·
τούτῳ δ' ὁππότ' Ἄρηος ἔῃ ἰσόμοιρος ἀταρπός,
ἢ διαμετρήσῃ φάεσιν φάος ἀντικέλευθον,
πλαστογράφους, χειρῶν μιμήτορας ἀλλοτυπώτων
παμβλαβέας τεύχει τε καὶ ὠχρήεντας ἰδέσθαι.
ἀμφίκερως Μήνη δ' ὁπότ' ἂν βιοτέρμονος ὥρης
φωτὶ Σεληναίῳ κρατέῃ σκολιωπὰ περῶσα,
τῇ δ' Ἄρης ἰσόμοιρα δι' αἰθέρος ἀκροπολεύῃ,
τηνίκα τοι θεόληπτος ὁ φὺς ἐν σχήματι τοίῳ
γίνεται, ἔκπληκτός τε, σεληνάζων τε νόοιο,
82 καὶ μανίης ἀνάμεστος· | ἐπὴν κατὰ γῆς δὲ φέρηται, 83
83 δυστυχίῃ τ' ἐπίφοιτος | ἰδ' ἐν σινέεσσι πεπληθώς· 82
ἢν δὲ μετ' ἀντολίην μέσον οὐρανὸν ἀμφιθοάζῃ,
παμπλούτους τε τίθησι καὶ ἐντρυφέας καὶ ἐπόλβους,
θηλυνόους δὲ τρόποισι καὶ εὐτρέπτους καὶ ἀπρήκτους·
δύνοντος δ' ἄστροιο Σεληναίης ὁ λοχευθεὶς
ἔσσεται ἐμπορίης ἐμπείραμος, ἔργα τε πλαγκτὰ
ναυκλήρου βιοτήν θ' αἱρήσεται, ἐν ξενίῃ τε
τὸ πλεῖστον ζωῆς * * *
* * * τε διευθύνων βιοτεύσει —
πουλυπλανὴς γὰρ ἕλιξ Μήνης κερατώπιδος αἰεὶ
λοξὰ ταλαντεύουσα — μένει δ' ἀντλούμενος ὄλβῳ.
Ἠελίου δ' ἀκάμαντος ἐπὴν πυριμάρμαρος ἀστὴρ
εἰς μέσον οὐρανίης προφανῇ πυριλαμπέος αἴθρης,
ἢ γονίμῃ ὥρῃ πανεπίσκοπα φέγγεα βάλλῃ,
Τοξότεω κατὰ χῶρον ἰδ' εὐστέρνοιο Λέοντος
Κριοῦ τ' εὐκεράοιο, καὶ ἐν Διδύμοισι φαανθείς,

ζωιδίοις ἰδίοισιν, ἐς ἡγεμονηίδας ἀρχὰς
ἵξεσθαι καὶ σκῆπτρα βροτοῖς βασιλήια φράζει,
πλοῦτόν τ' ὀλβήεντα δόμους τ' εὐδαίμονας ἔρδει·
ἐκτὸς δ' οἰκείων μοιρῶν γενέθλησιν ἐφεστὼς
πλουτοτόκος κτῆσιν μὲν ἄγαν πολυχρήμονα τεύχει
καὶ βιοτὴν πλήθουσαν ἀλύπητόν τε δίαιταν,
ἀρχὰς δ' οὐκ ἄξει βασιληίδας οὐδὲ θρονισμούς,
ἡσυχίῃ δ' ἀφανεῖς σκήπτρων δίχα τούσδε φυλάσσει,
ἀβλαβέας τ', οἴκων τε διευθυντῆρας ἐν ὄλβῳ.

---

C Ὧδε μὲν ἀπλανέων τε πλανητάων τε κέλευθα
ῥομβηδὸν περὶ κόσμον ἁματροχιῇ πεφόρηται.

---

Ἄλλα δέ τοι λέξω πάλι σήματα θεῖα γενέθλης.

---

D 1 Ἡνίκ' ἂν ὡράων πανεπίσκοπα φέγγεα Μήνης
φυομένοις μερόπεσσιν ἀν' οὐρανὸν αὐγάζηται,
ἀστὴρ δ' εἰς δυσμὰς Ἄρεος πυριλαμπέος ἔλθῃ,
ἐνσινέας τε τίθησι βροτούς, ἀβίους, ἀμελάθρους,
καὶ λιτῆς πενίης χερνήτορας, ἀκτεάνους τε·
πολλάκι καὶ θανάτῳ κακομήχανος ὤλεσε δεινῷ.

---

2 Ἢν δέ τ' ἀνοικείοισι τόποις ὡροσκόπου Ἄρης
φέγγος ἐπιτρέψῃ γονίμην ἐπὶ γαστέρα θνητῶν,
χωλόποδας τεύχει τε καὶ ἀσθενέας καὶ ἀώρους,
νῶτά τε κυρτιόωντας, ἰδὲ ψευστῆρας ἀθέσμους,
καὶ παναγεῖς, ὄλβου τε ποθήτορας ἀλλοτρίοιο·
ἢν δ' ἐπὶ μαρτυρίην Ἄρεως ἐλθοῦσ' Ἀφροδίτη
ὄμμα βάλῃ πανταυγὲς ἐν ἡμερινῇσι λοχείαις,
ἐκ πυρὸς αὐχήσουσι τέχνας μέλανός τε σιδήρου,
ἄκμοσι ῥαιστοτύποις μεμελημένοι ἠδὲ καμίνοις.

---

3 Ὁππότε δ' ἂν σκοπιὴν ὡ ρ ο σ κ ό π ο υ ὠδίνεσσιν
Ἑρ μ ε ί α ς κατάγῃ, τῷ δ' ἡ Κ υ θ έ ρ η ἐπίφοιτος,
δὴ τότε ῥήτορας ἄνδρας ἰδ' ἐν σοφίῃσι κρατίστους
ἔσσεσθαι δείκνυσι, καὶ ἀστρολόγους θεοφήμους,
ἔν τε γεωμετρίῃσι καὶ ἐν τελετῇσιν ἀρίστους,
ἔν τε λιθογλυφίῃσι θεῶν νηῶν τε θεμέθλοις.
4 Ζ ε ὺ ς δ' ὑπερορμαίνων φοράδην ὑπὲρ ἀστέρα π α-
τ ρ ὸ ς
ἡνίκ' ἂν ἐν καθέτῳ κόσμου μ έ σ ο ν ἀμφιπολεύῃ
οὐρανὸν ἐν καθύγρῳ * * *
ζωιδίῳ, τῆμος δὲ γονὰς μερόπων τις ἐνέγκῃ,
ἔσσεται ἐμπορικοῦ πλοίου φορτοστόλος ἴδρις,
ναυκλήρου τέχνας θ' αἱρήσεται, ἐν χρέεσίν τε
ἥμερον ὠνητοῖσι βιώσεται, ἐργασίην τε
κοινωνὸν πολλῶν συστήσεται, ἄστατα δ' αὐτῷ
ἐν θαλάμῳ νυμφεῖα γενήσεται ἔν τε γυναιξίν.
5 Ἑ ρ μ ῆ ς δ' οἰκείως ὁπότ' ἂν κατὰ κύκλα φαανθῇ,
μαρτυρίῃ δὲ Κ ρ ό ν ο ι ο κατ' αἰθέρα τῷδε πελάζῃ,
[ῥήτορας ἐμφαίνουσι βροτοὺς σοφίῃ τε κρατίστους,]
ἑρμηνεῖς τε τίθησι καὶ ἀστρολόγους τότε θνητούς,
χρήματα δ' ἐν χείρεσσι καὶ ὄλβου πρήξιας οἴσει
οὐ μόνον ἀλλοτρίων κτεάνων, ἰδίων δὲ μάλιστα
προστῆναι, γαίης τε τεμεῖν * *
* * * * καρπὸν περὶ νῶτα.
6 ἢν δὲ Σ ε λ η ν α ί η ς ἑλικοδρόμος ἄστατος ἀστὴρ
Ἑ ρ μ ε ί α ν σύμφωνον ἔχῃ κατὰ κόσμου ἀταρπόν,
καὶ μούνῃ Κ υ θ έ ρ ε ι α συνῇ καλῷ Φ α έ θ ο ν τ ι,
ῥεκτῆρας χρυσοῖο καὶ Ἰνδογενοῦς ἐλέφαντος
ἐργοπόνους δείκνυσι, καὶ ἐν πραπίδεσσιν ἀρίστους
ἔσσεσθαι, θριγκῶν τε καὶ εὐτοίχων κανονισμῶν
κοσμήτας, μάλα τοι πεπονημένα τεχνάζοντας.

7 *Ἄρης δ' αἰγλήεις ὅτ' ἂν αὐγῶν Ἠελίοιο*
*νέρθε φανῇ Μήνης τε, λοχευομένοισι βροτοῖσιν*
*πήρωσιν στονόεσσαν ἐν ὀφθαλμοῖσι τίθησιν*
*ἔσσεσθαι κενεοῖσι καὶ ἀμβλυόεσσαν ὁμίχλην.*

---

8 *Ἑρμείας δ' οἰκεῖα τυχὼν κατὰ δώμαθ' ἑαυτοῦ*
*ἰητῆρα τίθησι βροτῶν, Παιώνιον ἄνδρα,*
*εἴσεσθαι μάλα δεινὰ καὶ εἰς πανάκειαν ἑτοῖμα,*
*ἔν τε λογιστονόμοισιν ἀεὶ πολυπρήκτορας ἔργοις.*
9 *Ζεὺς δ' ὅτ' ἂν Ἑρμείᾳ προσμάρτυρα φέγγεα βάλλῃ,*
*πουλυπλανεῖς ξενίης φαίνει μερόπεσσι κελεύθους*
*ἴξεσθαι, καὶ λέκτρα γυναικῶν ἧσσονα πολλῷ*
*θηρήσειν παρὰ κῦδος ἀνάξια θηλυμανοῦντας.*

---

E *Ταῦτα μὲν ὡράων σκεπτήρια· νῦν δέ με χρειὼ*
*ἀκτινηβολίας ὁρίων τ' αἴθωπα κέλευθα*
*δωδεκατημορίων τ' ἄστρων κυκλόεσσαν ἐνισπεῖν*
*Ζῳδιακήν, ἐξ ὧν γενεαὶ τέχναι τε βροτοῖσιν*
*κλωστὴν ἐκπληροῦσι βίου θνητοῖο πορείην.*

---

F 1 *Πρῶτα μὲν οὖν Στίλβων, φανερὸς θεός, ἡνίκα καὶ Ζεὺς*
*εἰς ἀκτῖνα βλέπῃ Ἄρεος φαέθοντι σελασμῷ,*
*ἠὲ κατ' οἰκείων ὁρίων πυριλαμπέος ὀφθῇ*
*Ἄρεος, ἀθλητῆρας ἀελλόποδάς τε προφαίνει*
*στερροτάτους τ' ἔσσεσθαι, ἰδ' ἐν νίκαις ἱερῇσιν*
*στέμματα μυριόδοξα* * * *
* * * *καὶ εὐδοκιμοῦντας ἐν ἄθλοις.*
2 *ἄμφω δ' ἢν τούτοισι Κρόνου προσμάρτυρος ἀστὴρ*
*εἰν ἰδίοις ὁρίοις φαινώπιδα τάξιν ἐπίσχῃ,*

ἀστεφάνους τεύχει μέν, ἀλειπτῆρας δὲ κρατίστους
παιδότριβας δείκνυσι διδασκαλίης τε παρέδρους.
3 ἢν δὲ καὶ ἀφρογενοῦς Κύπριδος θοὸν ἀστέρα βάλλῃ
ἀκτὶς Ἑρμάωνος, ἐναλλάγδην τε γένωνται
εἰς ἰδίων ὁρίων ἄμφω τρίβον αἰθερόπλαγκτον,
κωμῳδοὺς λυρικῶν τε μελῶν μελπήτορας ἄνδρας
δείκνυσιν, μαχλικῶν τε λόγων θρασυγλωσσέας ᾠδούς,
ναβλιστοκτυπέας τε χοροῖς, κιθάρης τε μελουργούς,
ὀρχηθμῶν ἴδριάς τε καὶ ἐν θυμέλαις προφέροντας.
4 ἡνίκα δ' ἂν Κρονικοῦ σέλας ἀστέρος Ἄρεος αἴγλην
πορφυρέαις ἀκτῖσι καταντίπερ' αἰγλοβολήσῃ,
δισσά τ' ἐν ἀλλαγμοῖσι φανῇ σελαγίσματα τῶνδε
ὧν ὁρίων, τεύχει θρηνήτορας ἄνδρας ἀσέμνους,
κεδροχαρεῖς, σορόεργα τέχνης κανονίσματ' ἔχοντας,
νεκροτάφους, κλαυστῆρας ἀποφθιμένων, νεκρονώμας.
5 ἢν Πυρόεις δύνῃ Φαίνοντι συνὼν ἐπίκεντρος,
Ἑρμείας δ' ἰσόμοιρος ἐπ' ἀμφοτέροισι φαανθῇ,
εἰν ὁρίοις καὶ κέντρῳ ἐπὴν ἴσχωσι Σελήνην,
ἀνδροφόνους δρῶσιν, ληίστορας, ἐμπεδολώβας,
κέρδεος ἐχθροτάτου θηρήτορας, οἳ βασανηδὸν
στρεβλὰ κολαζόμενοι σκολοπηίδα μοῖραν ὁρῶσιν
πικροτάτοις κέντροισι προσαρτηθέντες ἐν ἥλοις,
οἰωνῶν κακὰ δεῖπνα, κυνῶν θ' ἑλκύσματα δεινά.
6 Ζῆνα δ' ὅτ' ἂν φαέθοντα βάλῃ λαμπραυγέτις ἀκτὶς
Ἑρμειού, μίγδην τε διαλλάξωσιν ὁρισμούς,
ῥητορικῆς φαίνουσι τέχνης σοφίης τε κρατίστους
ζηλωτὰς σκολιῶν τε λόγων, νεότητά τε λαμπρὴν
* * * * * *

γραμματικὴν τ' ἄσκησιν ἐνὶ στέρνοισιν ἔχοντας.
7 στίλβων δ' Ἑρμάωνος ὅτ' ἂν Κυλληνίου ἀστὴρ
φωσφόρον ἀκτίνεσσι βάλῃ Κυθερηίδος αἴγλης,
τάς τ' αὐγὰς ἐπέχοντες ἐν οὐρανῷ ἀστερόεντι
δωδεκατημορίων σχῶσιν βάσιν εἵλικα, θνητοὺς
γαιομέτρας δείκνυσι μαθηματικούς τε φανεῖσθαι,
ἀστρολόγους, μαγικούς τε θύτας, ἰδὲ μάντιας ἐσθλούς,
οἰωνοσκοπικούς τε, σαφεῖς θ' ὑδρομάντιας ἔρξεν,
οἷς λεκανοσκοπίη πιστεύεται ἢ νεκυϊσμός.
8 Κυπρογενὴς δ' ἀκτῖνας ἐς ἠέρα πυρσοβολοῦσα
ἄμμιγα φωτὶ Κρόνου τεύχει μεροπήια ἔργα
δοῦλα θεῶν ἱερῶν τε νεωκόρα λυσσομανοῦντα,
νοῦν τε σεληνάζοντα προφητάζοντά τε θνητοῖς.
9 Ἠελίου δ' ἀκτῖσιν Ἄρης πυριλαμπέσι βάλλων,
Μήνης ὁρμώσης μέγα Κύπριδι κοινὰ σὺν αὐτοῖς,
θηλυτέρους, γονίμων μηδέων ἀπαμήτορας ἄνδρας
γαλλομανεῖς τ' ἔσσεσθαι ἀγυρτῆράς τε προφαίνει,
καὶ πολυπλαγκτοσύνης ἐπιβήτορας οἰκτροκελεύθους
δυστυχέας, καμάτου τε κακοῦ διαδέκτορας αἰεί.
10 ἢν δὲ Σεληναίην ἑλικάστερον αἰθροβολήσῃ
ἀκτῖσι χρυσέῃσι φιλομμειδὴς Ἀφροδίτη,
ἢ κοινῶς ἐπὶ ταὐτὸ πόλου διὰ κύκλα περῶσιν
δωδεκατημορίοισι, προφήτορας ἱερολάμπρους
ἀνέρας ἐμφαίνουσι, καὶ ἐν τελετῇσιν ἀρίστους
μυστιπόλους ῥεκτῆρας ἰδ' ὀργιόωντας ἔσεσθαι.
11 Ἄρης δ' Ἑρμείαν διὰ λαμπάδος ἀντία βάλλων,
ἢ δρόμον εἰς ἰσόμοιρον ἰὼν μετὰ τοῦδε σελασμοῦ,
σωματοφρουρητῆρας ἰδ' ἔμπαλι σωματοφόρβους,
πλαστογράφους τεύχει τε καὶ ἐν ψευστοῖς προφέροντας,
καὶ θεολωβήτας, κακοεργέας, ἀφθιτομίσους

καὶ κατονειδιστῆρας ἐν ἀλλοτρίῃσι βλάβῃσιν,
ψέκτας ἀνθρώπων διαβλήτορας, οἷς τὸ τεχνασθὲν
εἰς ἀπάτην δολόεσσαν ἀληθείης πέλας ἥξει.

12 ἡνίκα δ' ἂν σὺν τοῖσι καὶ Οὐρανίδης Κρόνος ὀφθῇ
ζωιδίῳ, βαίνων τε κατ' αἰθέρα φαίνοιτι ῥόμβῳ
ἢ κατὰ Τοξότεω βάλλῃ σελάγισμα μέλαθρον,
ἠὲ κατ' ἰχθυόεντα βορειοτάτην τε χορείην,
ἔνθα τε Παρθένος ἐστὶ περὶ Πλάστιγγα Λέων τε,
ἰχθυοθηρευτάς τε καὶ ἰξοβόλους δολοεργούς,
τοξελκεῖς τε τίθησι, καὶ ὀρνίθων τροφοποιούς,
θηροδιδασκαλίης τ' ἐπιβήτορας ἡμεροέσσης,
οἷς ἀγρίη γενεὴ τιθασῷ πρηΰνετ' ἀγωγῇ,
κτηνῶν δ' ἀγρονόμων σημάντορας ἐμβασικοίτους·
τούτων οὐκ ἀτυχὴς μὲν ἔφυ βίος, ἀλλ' ἐπίμοχθος.

13 αἰπυπλανὴς δὲ Κρόνος Μήνης ἀκτῖσι πελάζων
δωδεκατημορίοισιν ἐν ἀλλαγμοῖσιν ἑαυτῶν
ἀχθοφόρους ὑδρέας τε καθαρτῆράς τε κελεύθων
ἀμφοδικῶν, οἰκτρούς τ' ἀμαρησκαπτῆρας ἔσεσθαι
ἀγγέλλει, λουτρῶν τε καθαρτῆρας βαλανείων,
ἔν τε παραγχυσίῃσι μέλη μωλυτὰ καθέψει
καὶ πτηνοῖσιν ἄβρωτα καὶ ἀρνοφάγοισι λύκοισιν·
πρὸς δ' ἔτι φύσονται τούτοις καρποσπόροι ἄνδρες,
ληνῶν ἀντλητῆρες, ἐν ὕδατι γηράσκοντες,
ἀρδευταὶ φορβῆς, λαχανηφόροι, ἠδ' ἐπίμοχθοι
ὀνθολόγοι, γαίης τε μεταλλευταὶ καὶ ὑπουργοὶ
δυσπονίης, οἷς λᾶες ἀπ' οὔρεος ἀκροτομοῦνται,
χαλκὸς κασσίτερός τε κελαινόχροός τε σίδηρος,
πάντα θ' ἅτ' ἐκ γαίης μερόπων ἐπίνοια ματεύει.

14 ἣν δ' ἀκτὶς Κρονικὴ κορυφὴν ἐπ' Ἀρήιον ἔλθῃ,
φεγγοβολῶν ὀπτῆρα κακὸς κακόν, αἰγλάζοντες
ἔν θ' ὁρίοις ἰδίοισι δυωδεκατημορίοις τε

συμμίγδην ἐπιβῶσι τριγωνίζοντι σελασμῷ,
γαστροτόμους, νεκρῶν τε ταριχευτῆρας ἀπηνεῖς
ἔσσεσθαι φαίνουσι, κακεμπορίης τε ματευτάς,
καὶ μυσαροὺς σηπτοῖσι τεχνάσμασι σηπεύοντας
* * * * * *.
ἔνθα δυσοσμίη τε καὶ οἰκτρόταθ' ἔργα τελεῖται.
15 Ἠέλιος δ' ἀκάμας ὅτ' ἂν ἀθρῇ τὸν πυρόεντα
ἀστέρ' Ἐνυαλίοιο, θοαῖς ἀκτῖσι βολαυγῶν,
ζωιδίων τετράγωνον ἀν' οὐρανόεσσαν ἀταρπὸν
ἀμφίκερω Ταύροιο καὶ αἰθοτόκοιο Λέοντος
Κριοῦ τ' εἰαρόεντος ἐπ' ὠδίνεσσι βροτείαις,
ἰσχυρῶν ἔργων τεύχει πονοπαίκτορας ἄνδρας,
ὀχλοχαρεῖς, φιλόμοχθα θεατρομανοῦντας, ἴχνεσσιν
αἰθροβάτας, πηκτοῖσι πεταυριστῆρας ἐν ἄκροις,
αἰθέρι καὶ γαίῃ μεμετρημένα ἔργα τελοῦντας,
μιμοβίους, χλεύης τ' ἐπιβήτορας, ὑβριγέλωτας,
ἐν ξείνῃ γήρως ἐπιβήτορας, ὀθνειοτύμβους,
ὄρνεα γῆς, πόλιος πάσης ἀπόλιστα γένεθλα,
μωρόφρονας, λιτούς, ἀσχήμονας, αἰσχρογέλωτας,
κρατοπαλεῖς, ἀχίτωνας, ἀεὶ κορυφῇσι φαλακρούς,
ὧν ὁ βίος χλεύῃ τέχνην ἀπεμάξαθ' ἑτοίμην.
16 ἦν δὲ σὺν Ἠελίῳ τε καὶ Ἄρεϊ καὶ Κύπρις ὀφθῇ,
σχοινοβάτας τεύχει, καλοβάμονας, ὑψόθεν εἰς γῆν
γειτονίῃ θανάτοιο καταρριπτοῦντας ἑαυτούς,
ὧν ὁ πόρος μόρος ἐστίν, ἐπὴν εἰς σφάλματα νεύσῃ.
17 τούτοις δ' ἄμμιγα πᾶσι Κρόνου συναλώμενος ἀστὴρ
τειχοδόμους τε τίθησι, καὶ εὐτόλμους κεραμουργοὺς
πηλαίης πλίνθου τε καὶ εὐτοίχων κανονισμῶν
θριγκῶν τ' εὐθυντῆρας, ἀεὶ καμάτοισι συνήθεις.
18 ἦν δ' ἰσόμοιρα κέλευθα Κυθηριὰς Ἄρεϊ βαίνῃ,

ἠὲ τρίγωνος ἐοῦσα κατ' ἔμβασιν ἢ τετράγωνος,
ἢ διαμετρήσῃ φάος ἄπλετον ἀστέρι κείνῳ,
ἄμφω δ' αὖτε τὸν αὐτὸν ἅμα θρώσκωσι τυχόντες
δωδεκατημορίων ἑλικὸν δρόμον αἰθροδόνητον,
τηνίκα τοὺς τεχθέντας ἀναγγέλλουσιν ἔσεσθαι
ζωροπότας οἴνου, μεθυχάρμονας, εἰλαπινουργούς,
δαιτυμόνας θιάσοισιν ἀεικώμους, ἀκολάστους,
ἤματα νύκτας ἄγοντας ὕπνῳ μετακοσμηθέντα·
πρὸς τούτοις δ' ἔτι πουλὺ κακώτερα βλαστήσουσιν,
πλαστοκόμαι, νομίμων λεχέων κλεπτῆρες ἄθεσμοι,
μοιχευταὶ μυρόεντες ἀεί, νεομορφοτύπωτοι,
μάστροπά τ' ἔργα τελοῦντες, ἀεὶ κακίῃσι γυναικῶν
σύμβουλοι, δόλιοι, κακομήστορες, αἰσχροδιδάκται,
ἴδμονες ὧν ἄλοχοι θαλάμους πωλοῦσι συνεύνων.

19 ὁππότε δ' ἂν τούτοισι Κρόνου βλαβεραυγέος ἀστὴρ
συννεύῃ κατὰ χῶρον ἀνοικείοισι κελεύθοις,
παμπαθέας, στομάτεσσιν ὀπυιομένους, γονοπώτας,
μήδεα μασθὸν ἔχοντας, ἀναστροφίῃ τ' ἐφυβρίστους
ἐκφαίνει φύσεσθαι, ἑταιροτρόφους τε γόητας,
πορνοσύνης ἀκρατοῦς σημάντορας, αἰσχεοκερδεῖς,
ἔχθιστον μυσαρὸν μεμαχλευμένον ἦτορ ἔχοντας,
παμψέκτους, ἀπόφωλα βίου μυσαρωπὰ γένεθλα.

20 φαινούσαις δ' ἀκτῖσιν ὅτ' ἂν Κρόνος εἰς Ἀφροδίτην
λαμπάζῃ, σελάεσσι φλογὸς βαρυβάμονος ὁλκῷ,
Ἄρης δ' αἰθαλόεις παρέῃ σὺν τοῖσι διωγμοῖς,
βυρσοτόμους τεύχει, δοροεργέας, ἔν τε καθέδραις
σκυτείῃ τέχνῃ μεμελημένα δαιδάλλοντας,
θηλυλάλους, ῥώπου τε γυναικῶν ἴδριας αἰεί,
τεκτοσύνης τ' ἄρχοντας, ἰδ' ἐν ναυπηγέσι τέχναις
καγκανέης ὕλης πελεκήτορας εὐξυλοεργούς,

ἥσσονες ἐκ πατέρων μητρὸς θαλέθουσι λοχείαις.
30 ἦμος δ' Ἑρμείας Ζηνὸς φαέεσσ' ἰσόμοιρον
ὁρμήσῃ, τῆμος μὲν ὁ φυόμενος θνητῶν
σεμνοτάτων γονέων ὀφθήσεται, οὗ πατρὶ μήτηρ
παρθένος εἰς θαλάμους ζευχθήσεται ἀνδρὸς ἄπειρος,
31 — — — — — —
ἔσσεται ἐν γενέθλῃσι φάος σπανάδελφον ἐσαθρῶν.
32 σχῆμα δ' Ἄρευς ἐπὶ τοῖσιν ὅτ' ἂν πυριμάρμαρος ἀστὴρ
Κύπριδι συννεύσῃ, ἔτι καὶ Κρόνου εἰσορόωντος,
ἢ μετὰ χηρείην μήτηρ πατρὶ τοῦδε συνήξει,
ἢ διὰ μοιχοσύνην δολοεργέα νυμφευθεῖσα.

---

I 33 Ἠέλιος δὲ Κρόνοιο καὶ Ἄρεος ἀστέρας ἀθρῶν
ἀκτινηβολίῃσι φαεσφόρου Οὐλύμποιο,
ναυσιβάτας φαίνει καὶ ἐν ὕδασι νήκτορας ἄνδρας
ἔσσεσθαι, σκαφέων τε κυβερνητῆρας ἀύπνους,
πρωτάρχας τε νεῶν, οἳ πολλάκι ναυφθορίῃσιν
χείματος ὀρνυμένου βίοτον λείψουσι δι' ἅλμης,
νηχόμενοι Μοίραις βαιὸν χρόνον ἐν πελάγεσσιν.

---

K 34 Παμφαίνων δ' ἀστὴρ ὁπότ' ἂν πολιοῖο Κρόνοιο
Ἠελίου σελάεσσιν ἀν' οὐρανὸν ᾖ ἰσόμοιρος,
τηνίκα φυομένων βρεφέων γεννήτορα πρῶτον
μητέρος εἰς Ἀΐδην πέμψει νεκυοστόλος Αἶσα,
κτήματά τ' ἐξολέσει πατρώια καὶ πολὺν ὄλβον·
καὶ δὲ κασιγνήτων θανάτους ὁρόωσι προόντων,
πλοῦτον δ' ἐκ θανάτων πολλῶν μέγαν αὐξήσουσιν.
35 ἦν δὲ Σεληναίης ἀκτὶς ἰσόμοιρα πελάζῃ
φωτὶ Κρόνου, μάρτυς δ' ἐπὶ σήματι τῷδε γένηται
καὶ Πυρόεις, μήτηρ προτέρη πατρὸς ἴξετ' ἐς Ἄιδην,
ἠὲ μογοστοκίῃ δεδαϊγμένη, ἢ διὰ νούσου

ἀμβλωσμοῦ θ᾽, ἃ γυναιξὶ φύσις κρύφιμ᾽ ἄλγε᾽ ἔδωκεν.
36 Ζεὺς δ᾽ ὅτ᾽ ἂν Ἑρμείαν τε καὶ ἱμερτὴν Ἀφροδίτην
ἀκτῖσιν φαέθουσι βάλῃ λαμπραυγέσι κόσμου,
αὐτοκασιγνήτας ῥέξει κείνοισι βροτοῖσιν
νύμφας συγγενικάς τε, λοχεύονται δ᾽ ἀπὸ τούτων
ἄνδρες παιδείης ἡγήτορες, ἔν τε καθέδραις
γραμματικαῖς δήμοιο βίον διαποιμαίνοντες.

---

L 37 Ἥλιος δ᾽ ἀκάμας ὁπότ᾽ ἂν Κύπριν Ἄρεϊ κοινῶς
ἀκτινηβολίῃσι πυριβλήτοισι καταθρῇ,
γνάπτορας εὐσήμων πέπλων, καὶ τεύκτορας αὐτῶν
ἱστοπόνους ἔσσεσθαι, ἰδὲ σμητῆρας ἀρίστους
πρηκτῆράς τ᾽ ἀγεληδὸν ἀλωομένους διὰ παντός.
38 Ἑρμάων δ᾽ ὁπότ᾽ ἂν Δία καὶ Κρόνον ἀγκυλομήτην
ἀκτῖσι στίλβουσι φλογὸς λαμπτῆρσι πελάζῃ,
νηοπόλους ἱερῆας, ἰδὲ ζακόρους θεοσέπτους,
γραμματέας, τεμενῶν τε προφήτορας ἄνδρας ἀυτεῖ
μυστιπόλους, ἱερῶν τε προϊσταμένους στεφανηδὸν
ἔσσεσθαι σηκῶν τε νεωκορίῃσι μέλοντας.
39 ὁππότε δ᾽ ἂν Κυθέρειαν ἐν ἀκτίνεσσι βολαυγῇ,
Ἄρεά τ᾽ αὖ πυρόεντα βραδὺς Κρόνος, οἱ τότε φύντες
γειοπόνοι ζήσουσι φυτοσπορίας ἀγαπῶντες
ὀθνείης χώρης τε καὶ οἰκείης διὰ παντός·
λήψονται δὲ λέχη δίχα γράμματος, οὐχὶ νόμοισιν,
ἐκ μετεωροσύνης δὲ συναντήσαντες ὁμεύνοις.
40 Κύπριν δ᾽ ἀφρογένειαν ἑλιξοπόρον τε Σελήνην
πυρσοβόλοις ἀκτῖσι βαλὼν τευχεσφόρος Ἄρης
μηχανικοὺς τεύχει τε καὶ ὀργανοπήκτορας ἄνδρας,

*τεκτοσύνης τ' ἄρχοντας, ἰδ' αὐτοδίδακτα τέχνῃσιν*
*θαύματα δαιδάλλοντας, ἐν ἀλκήεντί τε θυμῷ*
*ἐργοπόνους παλάμῃσι καὶ ἀδροτάτους καὶ ἀρίστους*
*ἀχθοφόρους, καμάτων τε πόνους εἰς τέρψιν ἄγοντας.*

41 *τούτοις δ' Ἑρμείας φαύλοις ἐν σχήμασιν ὀφθεὶς*
*μυθολόγους τεύχει τε καὶ αἰσχεορήμονας ἄνδρας,*
*μωρολόγους, χλεύης θ' ἡγήτορας, ὑβριγέλωτας,*
*ἔν τ' ἀρεταλογίῃ μυθεύματα ποικίλ' ἔχοντας,*
*ψηφάων παίκτας τε καὶ ἐξ ὄχλοιο πορισμῶν*
*βομβηδὸν ζώοντας, ἀλήμονας ἧς χθονὸς αἰεί.*

---

M42 *Ἦν δὲ Κύπρις Μήνη τε σὺν Ἠελίῳ τε καὶ Ἑρμῇ*
*μάρτυρες ἀλλήλων μέσον οὐρανὸν ἀμφιπολῶσιν,*
*ἠδ' ἐν ζωιδίοισι διμορφώτοισι πέλωνται,*
*Ἰχθύσιν ἢ Διδύμοισι συνωρίζουσι κατ' αἴθρην,*
*Τοξότεω κατὰ κύκλον ἢ ἐς σταχυηφόρον ἁγνὴν*
*Παρθενικήν, τῆμος διδυμάτοκα φύσεται ἀνδρῶν*
*σώματα καὶ τριδύμων παίδων θαυμαστὰ γένεθλα·*
*κῆν μὲν Ζηνὶ Κύπρις κατὰ φῶς ἰσόμοιρον ἐνεχθῇ,*
*ἄρσενες ἔσσονται δισσοὶ γένει, ἄμμιγα δ' αὐτοῖς*
*κούρη ἀπ' ὠδίνων τεχθήσεται ἐσχατόωσα·*
*Οὐρανίδου δὲ Κρόνοιο θεωροσύνην ἐπέχοντος,*
*θηλυγενὴς διδύμων ἔσται τόκος ἄρσενος ἐκτός·*
*ἐν κακοδαιμοσύνῃ δ' Ἄρεος κατεναντία Μήνης*
*μαρμαρυγὰς φαίνοντος, ὁ τικτόμενος τότε θνητῶν*
*σῶμα περισσομελὴς τεχθήσεται, ἔκμετρα γυῖα*
*πὰρ φύσιν ἡμερίην δεικνὺς μερόπεσσιν ἀθρῆσαι.*

---

N43 *Ὁππότε δ' εἶν ἀγαθοῖσι τόποις στείχωσι κατ' αἴθρην*
*Ἄρης πυρσοτόκος θ' εἱλιξόπορός τε Σελήνη,*

τεύχουσιν σοβαροὺς πολυΐστορας ἄνδρας ὑπουργούς,
ἡγεμόνων φιλίῃσι γεγηθότας, ἀμφὶ δὲ μισθῷ
πουλυπλανεῖς ξενίῃσιν ἀρήια λήματ' ἔχοντας,
καὶ πάσης στρατιῆς ἐπιβήτορας ἐν προκοπῇσιν.
'44 ἢν δὲ Κρόνου βλαβεραυγὲς ἐς Ἄρεα φέγγος ἀθρήσῃ,
δισσὰ δ' ἐναντιόωντα φανῇ σελαγίσματα τῶνδε,
τῆμος ὅσοις γενεὴ μεροπήιος ἄρχεται ἀνδρῶν,
ἐν κακοδαιμοσύνῃ καματώδεϊ πᾶσα βιώσει,
νουσομελεῖς τεύχουσα βροτούς, ὀδύνῃσι συνήθεις,
κινδύνων βλαβερῶν τε δυσεκφεύκτων τε παρέδρους.
45 Μήνη δ' ἀμφίκερως σκολιόδρομος ἡνίκ' ἂν ὀφθῇ
Ἄρεος εἰς τετράγωνα πόλου λοξεύματα βᾶσα,
ἢν δ' ἐπὶ δυομένῳ κατὰ γῆς ἀπὸ τέρμονος αἴθρης
Στίλβων ἀμφ' αὐτοῖς ᾖ καὶ διάμετρος ὁραθῇ
ζωιδίῳ κόσμοιο, κακοὺς ληίστορας ἄνδρας
ἐκφύσει, θυρέτρων ἐπανοίκτορας ὀθνειάων,
κλεπτῆρας φαύλους, νυκτοπλανέας τε λαθραίους·
οὗτοι φωρηθέντες ἐν ἀλλοτρίοισι μελάθροις
I 313 εἰς συνοχὰς ἥξουσι σιδηρήεντά τε δεσμά,
486 εἱρκτὰς δ' οἰκήσουσι φυλασσόμενοι ἀλυσηδόν,
ἔν τε βιαιοτάτῳ θανάτῳ βίον ἐκλείψουσιν,
ἢ φονίοις ξίφεσιν δεδαϊγμένοι ἢ πελέκεσσιν,
ἢ βρόχον ἀλγινόεντα δι' αὐχένος ἐκδήσαντες
πνεῦμα λυγρὸν λείψουσι πικρῆς Μοίρης ὑπ' ἀνάγκῃ.

---

O 46 [Κύπρις δ' ἀφρογένεια βροτῶν ὡροσκόπα φέγγη
δερκομένη, θήσει μὲν ἐν εἰλαπίναις φιλομούσους,
ἡδυπότας, θιάσων κωμάστορας, ἔκ τε γυναικῶν
ὀθνείων στοργῇσι κεκασμένα φίλτρα φέροντας,
μοιχείας τ' ἀγαπῶντας, ἐν αἷς ὕβρις, οὐ κύπρις ἄρχει.

47 Ζεὺς δ' ὁπότ' ἂν φαέθων ὡροσκόπον ὄμμα τιταίνῃ,
εὐμόρφους τε τίθησι καὶ εὐτυχέας καὶ ἐπόλβους,
ἔν τ' ἀρχαῖς πλειστῇσι πάτρης τὰ βέβαια φρονοῦντας.
48 τούτῳ δ' εὖτ' ἂν Ἄρης μίγδην ἰκέλῃσι πορείαις
σχηματίσῃ κατὰ κόσμον, ἰχνοβλαβέας, φθινοκώλους,
νευρονόσους, ποδαγρούς, ἀχθήμονας ἄνδρας ἀντεῖ
ἔσσεσθαι, κατὰ μικρὰ νεκρούμενα δάκτυλ' ἔχοντας.
49 θηλυγενεῖς δὲ γυναῖκες, ἐπὴν Κρόνος ὡρονομήσῃ,
φύσονται λαμπραί, βαθυχρήμονες, ὀλβομέλαθροι,
ἀξιοπιστοσύνῃ μεμεληκέναι, ἀλλὰ πρὸς ἄνδρας
παγκοίνως ζήσουσιν ἐπίψογα, νύκτας ἄγουσαι
ἀλλοτρίοις θαλάμοις, κέρδει βίον ἰθύνουσαι.]

---

P 50 Ἠέλιος δ' ἀκάμας, πυρόεν σέλας, ἡνίκ' ἂν ἔλθῃ
ἀρσενικοῖς ζώοισι κατ' αἰθέρος ἠερόπλαγκτον
ζωφορίην, θήλεια δ' ἔχῃ νεολαμπέα Μήνην,
τῆμος ὅσοι φύσονται, ἐν ἀνθρώποισι κράτιστοι
ἄνδρες, ἀριστοπονῆες, ἐλεύθερα λήματ' ἔχοντες,
εὔσημοι γενεήν, ἀγαθοὶ φύσιν, ἀξιόμορφοι,
δοξοφόροι, πάτρης κηδέστορες ἰθυδίκαιοι.
51 ἢν δέ τ' ἐναλλάξωσι, Σεληναίη μὲν ἐπ' ἄρσεν,
Ἠέλιος δ' ἐπὶ θῆλυ πολυζώοισιν ἐν ἄστροις,
νωχελέες τε πέλουσι, καὶ ἄπρηκτοι καὶ ἄτολμοι,
πηρώσει ψυχῆς νενεφωμένα βουλεύοντες.
52 αὐτὰρ ἐπὴν εἰς θῆλυ καταντήσωσιν ἰόντες
ἀμφότεροι, Μήνης τετελεσμένα τερμοδρομούσης,
πουλυπλανεῖς, ξενίης ἐπιβήτορας ἄνδρας ἔσεσθαι
αὐδῶσιν, χαίροντας ἀεὶ μεταβλήμασι χώρης,
καὶ πόλιος σπουδαῖα πρὸς ὀθνείους φορέοντας
ἤθεα, καὶ τιμῇ μεμετρημένα πράγματ' ἔχοντας,

εἰς ἰδίην δὲ πάτρην ψογερὸν βίον ἰθύνοντας,
οἰκείων ἔργων ἐπιλήσμονας, οὐχὶ θυραίων.
53 ὁππότε δ' ἀρσενικοῖς δισσοὶ μίγα φεγγοβολῶσιν
ζωιδίοις κατὰ χῶρον ἀνάστερον, οἵ τότ' ἔσονται
τολμηροί, θρασύθυμα μεμηνότες, ἐχθροὶ ἑταίρων,
πιστοτάτης φιλίης λυμάντορες, ἀκριτόβουλοι,
οὐ μίαν εἰς ἀτραπὸν βιότου δρόμον ἐκνεύοντες,
ἄλλοτε δ' ἀλλοίην ζωὴν εὔτρεπτον ἔχοντες,
πρήξιας ἀλλάσσοντες ἀεὶ μεθόδους τε πορισμῶν,
ἐκ δ' ἐνύδρων μόχθων τε καὶ ἐκ παράλοιο διαίτης
δώματα ποιμαίνουσι καὶ ἐκ λιμένων τελέοντες,
δημοσίων τελέων ἐμπείραμον ἦθος ἔχοντες.
54 Μήνης δ' Ἠελίῳ σύνοδον κατὰ κόσμον ἐχούσης
ζωιδίῳ δύνοντι, βροτῶν γένος ἔσσετ' ἀμυδρόν,
ἢ καὶ λυσσαλέῃ μανίῃ δεδαμασμένον αἰεί,
φαρμακτόν, νοσόθυμον, ἀεὶ θανάτοιο πάρεδρον·
πᾶσα βροτῶν ψυχὴ γάρ, ἐπὴν τάγε κοινὰ βίοιο
μὴ φρονέῃ κατὰ θυμὸν ἀναισθήτῳ τε παλαίῃ
δυσκρασίῃ, προτέθνηκε, καὶ ἢν φάος ὄμμασι λεύσσῃ·
ψυχὴ γὰρ μερόπων ἀμαθὴς νεκύεσσιν ὁμοίη.
55 ἢν δὲ Σεληναίη κατέχῃ πάμμηνα κέλευθα
σύνδεσμόν τε Κρόνοιο, σεληνιόωντα φανείη
φῦλα βροτῶν τάδε πάμπαν, ἰδ' εἰδώλοισιν ὅμοια,
καὶ κραδίῃ θεόληπτα, καὶ ἀκρατέοντι λογισμῷ
ἔνσοφα, πάντα δ' ἄβουλα κατ' ἀνθρώπους προλέγοντα
φοιβητοῖς μύθοισιν ἀποφθεγκτήρια κρυπτὰ
ἐσσομένων ἔργων τε βίου ζωῆς τε κελεύθων.
56 ἢν δὲ καὶ αἰθαλόεις ἀστὴρ σὺν τοῖσι φανείη
Ἄρεος ἐν κύκλοισι θοοῦ δινήματι κόσμου,
φάσμασι δαιμονίοισι συναντήσουσιν ἐκεῖνοι,

ψυχῇ δερκόμενοι νεκροειδῆ, νερτερόμορφα,
ἔν τε καταγγελίῃσι θεῶν μηνύμασί τ' αἰεὶ
ὀξύφοβοι λυπρὸν βιότου τέλος ἀθρήσουσιν,
εἰδώλων στονόεντα τύπον διὰ παντὸς ὁρῶντες,
ὧν πλάστειρα θέα πικροῦ θαμβήματος ἄρχει.

---

57 Ἄρει δυομένῳ μέσον οὐρανὸν ἢν Κρόνος ἔλθῃ,
561 ἔσται μισέλλην γενέθλῃ, τιμήν τε θεοῖσιν
οὐχὶ νέμων, ἄνομός τε φρεσίν, πλήθοντι λογισμῷ
ἀλλόφρων, δύσμικτος, ἀμετροεπής, ἀτράπεξος,
αὐτόνομος, κακόθυμος, ἀθεσμοφάγος, δολοεργός,
ὀθνείων κτεάνων ἐπιθύμιος, ὃν διὰ παντὸς
δῆμοι μισήσουσι δι' ἀφροσύνην ἀλόγιστον.

58 568 Μήνης ἐρχομένης μέσον οὐρανὸν ἐν γενέθλῃσιν,
567 Ἑρμείας δύνων τε καὶ ὡρονομῶν Κρόνος ἄνδρας
εὐξοάνους παλάμῃσιν ἀγαλμοτυπεῖς, θεοπλάστας,
χαλκοτύποις τέχνῃσι κολοσσοπόνους παναρίστους
* * * * * *

59 Ζεὺς δ' ὑψοῦ φοράδην νέον ἀστέρα φεγγοβολήσας,
ὥρην Ἡελίου βιοτοσκόπου αὐγάζοντος,
ἐκφαίνει γενεῆς βασιληΐδος ἄνδρας ἔσεσθαι
κοινωνοὺς μετόχους τε, καὶ ἐκ σοφίης κλέος ἕξειν,
ῥητορικοῖς τε λόγοισι μέγ' εὐτυχίης μετέχοντας
ὄλβον καὶ βιοτὴν εὐδαίμονα καρπώσεσθαι.

60 Ἑρμῆς δ' εἰς ὥρην μεροποσπόρον ἡνίκ' ἂν ἔλθῃ,
δυνούσης Μήνης ὑπὸ λοίσθια τέρματα γαίης,
ἀνέρες ἔσσονται βαθυχρήμονες, ἔν τε τραπέζαις
πιστόφρονες πόλιος ταμιεύτορες, ἔν τε τοκισμοῖς
καὶ χρείαις ζήσουσι βίον πολὺν ὀλβονομοῦντες.

61 ἢν δὲ Κύπρις κατὰ γῆς ἕλκῃ δρόμον ἀστερόεντα,
καὶ Κρόνος οὐρανίην ἀτραπὸν μεσοδερκέα βαίνῃ,

στείρας τοι δείξει καὶ ἀτέκμονας ἀνδράσι νύμφας
ἀσπορίῃ τε τόκοιο λέχῃ λιπόπαιδα φερούσας.
62 Ζηνὸς δ' αἰθροπλανὴς ἐπὶ τούτοις μάρτυρος ἀστὴρ
δερχθείς, ἀλλοτρίων τέκνων ὑπόβλητα γένεθλα
ἀνδράσιν ἠδὲ γυναιξὶν ὑπὸ στοργῇσι θυραίους
*      *      *      *      *      *
63 ἦν δ' ἰσόμοιρος Ἄρης κατὰ σήματα τοιάδε λάμψῃ,
φύσονται μάχλοι, διδυμόστροφοι, ἀρσενομίκται,
μεμφόμενοι φύσεως ὀρθὴν ὁδόν, ἔν τε πόλεσσιν
ἀλλοτρίαις ζήσουσιν ἀλώμενοι αἰσχεόφημοι.
64 ὁππότε δ' ἂν γενέθλην ἐφέπῃ Κρόνος ὠρονομένων,
ἐν κακοδαιμοσύνῃ δὲ Σεληναίης φάος ὀφθῇ,
Ἠελίου δ' ἀκτῖνες ἀποκλίνωσιν Ὀλύμπου,
ἐκθεσίην ἕξουσι, τραφήσονται δ' ὑπ' ὀθνείων.

---

R 65 Ἡνίκα δ' ἂν Κυθέρη ἐσαθρῇ τεκνοσπόρον ὥρην
φυομένων, συνέῃ δὲ Κρόνος τ' Ἄρης τε σὺν αὐτῷ
φέγγεϊ λαμπομένῳ κακοεργέι, τῆμος ἔσονται
ἐξ ἀπελευθερίης βασιληίδος ἡμισύδουλοι.
66 ἦν δ' ἰσόμοιρα Κρόνοιο σελάσματα Κύπριδος ὀφθῇ,
πανδούλους τε τίθησιν ὁμόζυγα λατρεύοντας,
οἰκέτιδος γενεῆς τε πεφυκότας ἐκ γενετήρων·
οὗτοι δεσποσύνων τε πικρὰς ἕξουσιν ἀνάγκας,
ἐξ ἑτέρων τε δόμων ἑτέροις πάλι δουλεύσουσιν,
ἑπτάκι κυρείαις καὶ πεντάκι καινισθέντες,
εἰς γῆρας δ' ἥξουσιν ἀνασσόμενοι διὰ παντός.
67 Ἠελίου δ' ἀκτῖνες ἀνοικείως ἐπὶ τούσδε
νεύουσαι δεσμούς τε κατηγορίας τε φοροῦσιν
ἀνδράσιν οἰκονόμοισι, καὶ ἔμπαλιν ἔκλυσιν ἄτης,

*κινδύνων κρυερῶν τε καὶ ἀλγεινῶν εἱρκτάων.*
68 *ταὐτὸ πάθος κείνοισι καὶ ἄρξεται, ἣν ἀπολήγῃ*
— — — — — —

---

S 69 *Ἀντιμεσουρανέων δ' ὁπότ' ἂν Κρόνος Ἄρει λάμψῃ,*
*θηροβόρου θανάτου φασὶν κλωθῶα βαρεῖαν*
* * * * * *
*ὧν σάρκας δαίσονται ὀρέστεροι ἠὲ λέοντες,*
*ἢ σύες ἀργιόδοντες, ἢ αἱματοπώτιδες ἄρκτοι·*
*σχήμασι δ' ἐν τούτοις ὁ γεγὼς καὶ πτώσιας οἴκων*
*ταρβείτω, καὶ σφάλματ' ἀφ' ὑψηλοῖο μελάθρου.*

---

*Πάντα γὰρ ἀνθρώποισι πέλει κατὰ Μοῖραν ἄφυκτον·*
*ὡς μὲν ζωιδίων κύκλιος πόρος αἰθέρα τέμνει,*
*μιγνυμένων στοιχηδὸν ἀφισταμένων τ' εἰδώλων,*
*οὕτω καὶ μερόπων γενεὴ καματηδὸν ἀλᾶται,*
*ἢ βίον ἢ θάνατον διζημένη οὐρανόπλαγκτον.*
*Ταῦτά τοι οὐρανίων ἄστρων στοιχεῖα τέτυκται,*
*οἷς ὁ πάλαι καὶ ὁ νῦν καὶ ἐπὼν χρόνος ἐκμεμέτρηται*
*ἐκμέτροις αἰῶσι, καὶ εἰς αἰῶνας ὀπηδεῖ.*

---

## ΒΙΒΛΙΟΝ Α. [Ε.]

*Χαίροις, ὦ Πτολεμαῖε, λαχὼν βασιληίδα τιμὴν*
*γαίης ἡμετέρης, κοσμοτρόφου Αἰγύπτοιο·*
*ἄξιά σοι τάδε δῶρα φέρω βασιληίδος ἀρχῆς,*
*[ἄστρων οὐρανίων τε φάσεις ἀπλανῶν τε πλάνων τε,*
*ὅσσα βροτοῖς τελέουσιν ἐπιβλέψαντες ἐν ἀρχαῖς,*

σπειρομένοις καὶ τικτομένοις δειλοῖσι βροτοῖσιν,
Μοιρῶν ἀρρήκτοισι μίτοις θεσμοῖσί τ' Ἀνάγκης,]
νύκτας ἄυπνος ἐὼν καὶ ἐν ἤμασι πολλὰ μογήσας,
[ὅππως σοι βίβλους, ἅσπερ κάμον, ἅσπερ ἔτευξα,
τάς σοι ἐγὼ πέμψω καμάτων σφετέρων μέγ' ὄνειαρ,]
ὄφρα κεν, ὅσσαπερ αὐτὸς ἐπιτροχάδην Πετόσιρις
εἴρηκεν, τάδε πάντα μάλ' ἀτρεκέως καταλέξω
ῥυθμοῖς ἡρωικοῖσι καὶ ἑξαμέτροις ἐπέεσσιν,
ὄφρα μάθῃς, ὅτι πάντα δαήμονες ἀνέρες εἰμέν,
οἳ λάχομεν ναίειν ἱερὸν πέδον Αἰγύπτοιο.

---

1 † Ἠέλιον, Μήνην, Κρόνον, Ἄρεα, Ἑρμέα, Ζῆνα,
† Κύπριδά τ' εὐπλόκαμον καλὴ λέγε Καλλιόπεια.

---

Α 2 Ἦν Κρόνος Ἠέλιός τ' ἄμφω κατίδωσι Κυθήρην,
δυσγαμίην παρέχουσι καὶ ἀστασίην ἐπὶ λέκτροις,
καὶ δούλαις μίσγουσιν, ἑταιρίσι δ' ἤθεα φαύλαις
αἰσχίστως διδόασι κακῆς ἕνεκεν κυθερείης.
Ἄρης καὶ Παφίη κέντρων ὅτ' ἂν ὦσιν ἄνακτες·
μοιχοὺς ἁρπακτῆρας ἀεὶ ῥέξουσι γυναικῶν.
Ἑρμείας δ' ἢν τοῖσιν ἰσόρροπος ἀντήσειεν,
τέρπονται παίδων χαλεπῇ ἐπὶ κύπριδι κεῖνοι.

---

Α 3 Ἠέλιος κέντροισι παρὼν κερόεσσά τε Μήνη,
ὃς μὲν ἐν ἀρσενικοῖσι παρών, Μήνη δέ τ' ἐναλλάξ,
γεννῶσιν βασιλῆας ὑπερθύμους τε δυνάστας.
ἀμφότεροι φωστῆρες ἐν ἀρσενικοῖσιν ἐόντες
θηλυτέρης Κύπριδός τε καὶ ὡρονόμοιο κατιθύ,
ἀρσενικοῖς ἔργοισιν ἀναγκάζουσι γυναῖκας

τέρπεσθαι, μέγα θαῦμα· γυναιμανέες γὰρ ἐοῦσαι
ἀργαλέως γαμέουσιν ἐς ἀργαλέην φιλότητα.

---

C4 Κριὸν ἐποπτεύων Κρονίδης ἐπίκεντρος ὑπάρχων,
ἢ καὶ σκόρπειον κυανόχροον οἶκον Ἄρηος,
ἐσθλὸς ἔφυ, ῥέξει δὲ καὶ ἀνέρας ἡγεμονῆας.

---

E5 Ἐσθλὸς ἔφυ Κρονίδης, ῥέξει δὲ καὶ ἡγεμονῆας,
ἄρχοντάς τ' ἰδίης πάντοτε πραγματίης.

---

6 †Ἑρμείας καὶ Θοῦρος ἐπὴν τετράγωνοι ἔωσιν,
†πολλάκι κινδύνους περὶ σώματος εὑρίσκουσιν·
†ἢν δ' ἄρα καὶ δύνωσι, κακίονες οἶδε, μάλιστα
†Ζηνὸς ἄτερ, μόρον αἰνὸν ὑπ' ἐμφαίνουσι δυναστῶν.

---

A7 Ἄρης καὶ Παφίη κοινὴν ὁδὸν ἰθύνοντες,
Μήνην εὖτ' ἂν ἴδωσι, λέχος τεύχουσ' ἀθέμιστον,
συγγενικὰς δ' αὐτοῖσιν ἐφαρμόζουσι γυναῖκας.
ἢν δὲ Κύπριν καλὴν πολιὸς Κρόνος ἀγκαλίσαιτο,
δυσγαμίην καὶ δυστοκίην ῥέζουσι γυναιξίν,
οὐδέ τι κουριδίους ἄνδρας κατέχουσ' ἄχρι γήρως,
οὐδὲ τέκνοις γλυκεροῖς ἐπὶ χείλεσι μαζὸν ἔθηκαν·
στειρώδεις γὰρ ἔασιν ἀχρήιά τ' ὠδίνουσιν.

---

A8 Ἀντίον Ἡελίοιο φάσιν λύσασα Σελήνη
51 μὴ Κρόνῳ ἀντήσειε· τίς ἂν τότε φῶς ἐσίδοιτο;
δύσμορος, ὃς κακὰ πολλὰ παθὼν Ἀιδόσδε κάτεισιν·
χροιὴν μὲν φορέουσιν ἀμετροβίων ἐλεφάντων,

ὄγκους δ' ἀμφὶ δέμας κακοελκέας ἀμφιβαλοῦνται,
δάκτυλα σηπόμενοι λιποσαρκέα νηλέι λύθρῳ·
ταῦτα δ' ἄτερ Ζηνός τε καὶ εὐπλοκάμου Κυθερείης
ἔσσεται, ὁππότ' ἐκεῖνοι ἀπόστροφοι ὦσι Σελήνης.

---

9 † Ἑρμῆς ὡρονομῶν Μήνης μέτα καὶ Κυθερείης,
† δύνοντος Κρονίδαο, θεῶν μυστήρια δρῶσιν·
† ἢ μούσης ἅπτονται ἐυρρύθμοιο λύρης τε,
† ἠὲ πάλην φιλέουσιν ἀμύμονα παγκράτιόν τε.

---

A 10 Ἑρμῆς καὶ Κυθέρεια σὺν ἀλλήλοισιν ἐόντες
ῥέζουσιν μούσης ἐπιίστορας εὔφρονας ἄνδρας,
ἤν πως καὶ κερόεσσαν ὁμοῦ Μήνην ἐσίδωνται,
Ἑρμῆς φωσφορέουσαν, ἀτὰρ λιποφεγγέα Κύπρις.

---

A 11 Ζεύς, Κρόνος, ἀμφότεροι κέντρων ὅτ' ἂν ὦσιν ἄνακτες,
ἀνθρώποις διδόασι τύχης πολυήρατα δῶρα,
καὶ μεγάλους ῥέζουσι, καὶ ἐς βασιληίδας αὐλὰς
πολλάκις ἤνεγκαν, τιμήν τε φέρουσι μεγίστην.
Ἑρμείας Φαέθων τε μεσουρανέοντες ἔθηκαν
ἄνδρα μέγα πλούτῳ γαυρούμενον εὐτεκνίῃ τε,
καὶ φιλίην παρέχουσι πρὸς ἀνέρας ἡγεμονῆας
καὶ δόξῃ μεγάλῃ γαυρούμενον, αἴ κεν ἴδηαι
εὐκέραον Μήνην συναφὴν τούτοις ἐπέχουσαν.

---

E 12 Πάντοτε μὲν κέντροισιν ἐκὼν κορυθαίολος Ἄρης
76 τὴν πρῆξιν παρέχων τοίαπερ ἐκτελέει·

---

A 13 — — — — — —
ἤτοι λαξευτὰς ἢ τέκτονας ἢ λιθοεργούς.

*Ἥλιος δ' ἢν τῷδε συνῇ, πυροεργέας ἄνδρας*
*ῥέξει χαλκοτύπους, ἢ φυσητὰς ὑέλοιο,*
*ἢ βαφέας μογερούς, ἢ κλιβανέας σκοτοεργούς·*
*οὗτοι γὰρ καὶ νυκτὸς ἀγρυπνητῆρες ἐόντες*
*νύκτα μὲν ἐργάζονται, ἐν ἤματι δ' ὑπνώουσιν.*
*πάντοτε νυκτερινοῖσι μεσουρανέων Κρόνος αἰνὸς*
*ῥέξει κηπουροὺς ἠδ' ἀργαλέους ὑδραγωγούς,*
*ῥέξει δ' ὑδροφόρους πολυπήμονας, οἵθ' ὑπὸ γαίης*
*κευθμῶνας δύνουσιν ἀεικέος εἵνεκα μισθοῦ,*
*ἢ πανύγροισι τόποισι παρήμενοι ἐργάζονται,*
*μήποτε τῶν ἴδιόν τι κτώμενοι ἐκ καμάτων γε.*

---

E 14 *Ἑρμείας διάμετρον ἔχων Κρόνου ἠδὲ Σελήνην*
91 *ἐμμανέας τεύχει τ' ἠδὲ φρενοβλαβέας.*

---

A 15 *Ἑρμείας διάμετρον ἔχων Κρόνον ἠδὲ Σελήνην,*
90 *κεντρωθεὶς δ' αὐτοῖς κατ' ἐναντίον ὡρονόμοιο,*
94 *καὶ φρένας ἠλλοίωσε, παρέπλαγξεν δὲ νόημα·*
92 *εἰ δὲ ῥοπῆς μὴ μοῖρα τύχῃ, καθέτου δ' ἀποκλίνῃ,*
*ἐσκότισεν μούνῳ κλεψίφρονι ῥεύματι κείνους·*
95 *ἔσθ' ὅτε σωφρονέουσι, καὶ ἔσθ' ὅτε μαργαίνουσιν.*

---

16 † *Πάντας ἀπ' Ἡελίοιο φυγεῖν καλόν, ἀλλ' οὐκ Ἄρην·*
† *νικᾶται γὰρ Ἄρης ὑπὸ αὐγαῖς Ἡελίοιο.*

---

E 17 *Νικᾶται δ' Ἄρης αὐγῇσιν ὑπ' Ἡελίοιο,*
114 *καὶ προτέρην κακίην ἔσβεσεν Ἥλιος.*

---

E 18 *Αἰδεῖται δ' Ἄρης καθορῶν φάος Ἡελίοιο,*
99 *οὐδ' ἔτι τὴν προτέρην ἔσχε κακοφροσύνην.*

---

D 19 Ζεὺς ῥέξει κρατέοντας ἐλαιορόοιο παλαίστρης,
Κύπρις πορφυρέοισιν ἐν εἵμασιν ἀρχιερῆας,
καὶ Κρόνος εὐδόξως ἀγορανόμον ἐστεφάνωσεν·
Ἄρης δ' εὐτόλμους στρατιῆς ἡγήτορας ἄνδρας,
Ἥλιος δ' ὕπατον, Μήνη δέ τοι ἀρχιδικαστήν,
Ἑρμῆς κοσμητῆρας ἑῆς ἐποίησε πόληος.

---

A 20 Αἰγόκερῳ Κύπρις τε καὶ Ὑδροχόῳ παρεοῦσα
σύν τε Κρόνῳ καὶ Ζηνὶ κακὴ κατὰ πάντα τέτυκται,
ἢν συναφὴν πρώτοιο λάβῃ πολιοῖο Κρόνοιο,
Ἄρεος εἰσβλέψαντος ὁμοῦ Μήνην Παφίην τε
σύν τε Κρόνῳ βλαβερῷ· δυστλήμονες ἀνέρες οὗτοι
μαινόμενοι βαίνουσιν ἑῆς ἐπὶ λέκτρα τεκούσης·
ἢν δ' ἀκτῖνα λάβωσι πυραυγέος Ἡελίοιο,
μητρυιαῖς μίσγοντ' ἢ παλλακίσιν γενετήρων,
οὕνεκα τὴν προτέρην κακίην σβέσεν Ἠελίου ἴς.

---

A 21 Μήνη θηλυτέροισιν ἐπεμβαίνουσα τόποισιν
ἀντίον Ἠελίοιο, καὶ ὡρονόμοιο τυχοῦσα,
ἀνέρα γεννήσει μόνον οὔνομα, πάντα δὲ θῆλυν,
πάντα γυναικὸς ἔχοντα καὶ αἴσχεα καὶ φιλότητα.
ἢν δὲ μεσουρανέῃ Φαίνων Ἄρης τε κραταιός,
καὶ στάχυν ἄρσενα δεινῷ ἀποτμήξειε σιδήρῳ.
ἢν δὲ Κύπρις διάμετρον ἔχοι Κρόνον ἠδὲ Σελήνην,
Ἄρης δ' ἢν τετράγωνον ἴδοι καλὴν Ἀφροδίτην,
Ἑρμείας δ' ἄρα κέντρον ἔχοι μέσον, ἠδὲ καὶ αὐτὸς
μαρτυρίην τούτῳ κρυερὸς Κρόνος ἀμφιβάλοιτο,
εὐνούχους στείρους, οὔτ' ἄρσενας οὔτε γυναῖκας,
ἄχνοας, αἰὲν ἐόντας ἀπειρήτους φιλότητος,
ἔσθ' ὅτε δ' ἑρμαφρόδιτον ὁμώνυμον ἀθανάτοισιν
*  *  *  *  *  *

E22 Ἄρης δ' ἢν τετράγωνον ἴδοι καλὴν Ἀφροδίτην,
124 μαρτυρίην τούτῳ καὶ Κρόνος ἀμφιβάλοι,
εὐνούχους στείρους ὁτὲ δ' ἑρμαφροδίτους ἔτευξαν
128 δισσάς, ἀχρήστους εἰς ἓν ἔχοντα φύσεις.

---

A23 Υἱὸς δ' υἱωνός τε Κρόνου Ζεὺς ἠδὲ καὶ Ἑρμῆς
ἀμφότεροι βαίνοντες ὁμοῦ καὶ κέντρα λαβόντες,
τεύχουσιν ῥητῆρας ἢ ἐκ λόγου ἢ καλάμοιο
γραπτῆρας πινυτούς, ἢ καὶ πολυκερδέας ἄνδρας,
ἐμπορίην φιλέοντας, ἀεὶ πρηκτῆρας ἐόντας.

---

A24 Μήνη φωσφορέουσα καὶ Ἄρεϊ συμβάλλουσα
ἕκτον ἔχοντι τόπον, σίνος ἀνδράσιν αὐτίκα ῥέξει·
ἀμφὶ πόδας τέμνονται ὑπ' ἀνδροφόνοιο σιδήρου,
χωλοί, μουνόποδες, ξύλινον προσκείμενοι ἄρθρον,
λύπην αἰείμνηστον ἑὸν πόδα παπταίνοντες.

---

B25 Ἆρες Ἄρες, κακοεργὲ καὶ ἀνδράσι καὶ μακάρεσσιν
καὶ πόλεσιν καὶ νηυσὶ καὶ ἠέρι καὶ πελάγεσσιν
καὶ καρποῖς γαίης τε καὶ εὐρείθροις ποταμοῖσιν·
εἵνεκα σεῦ πόλιες μὲν ὑπαὶ πυρὸς ἐμπίμπρανται,
καὶ νῆες πελάγεσσιν ἐπιπλώουσαι ὄλοντο,
καὶ ποταμοὶ ξηροῖσιν ἀνύδατοι ἐν στομάτεσσιν,
δένδρεά τ' ὠλεσίκαρπα καὶ ἀνέρες αἰνογένεθλοι·
οὓς μὲν γὰρ μογερῶς πυρικαέας ὤλεσας ἄνδρας,
οὓς δὲ καὶ ὠμοβόροισιν ἕλωρ θήρεσσιν ἔδωκας,
ἄλλον δ' ἀκλειῶς μετέωρον ἀνεσταύρωσας,
οὗ τέτατ' ἀνδροφόνοις περὶ δούρασιν ἡλοπαγὴς χείρ·
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν αἰγίοχος Ζεύς,
οὐδ' Ἥρη μήτηρ, ἀλλ' οὔρεα πικρά σ' ἔτικτεν,
* * * * * *

---

Ε26 — — — — — —
καὶ Λύσσα στυγερὴ καὶ Χάος οὐλόμενον.

---

Α27 Εἰ δὲ Κρόνον λείψειε Σεληναίη κατὰ μοῖραν,
τεύχει ῥευματικοὺς ἠδ' ἀσθενέας κατὰ σάρκα,
τεύχει δ' ἀργαλέους ὑδρογάστορας, οἳ καὶ ἔπειτα
ὀστέα χαυνωθέντες ἀφ' ὕδατος οὐλομένοιο
ἔγκυον ὠδίνουσιν ἑὸν μόρον ἐντὸς ἔχοντες.
Ἄρεα δ' ἣν λείψασα Σεληναίη φορέοιτο,
ἀνέρας ἐκτήκει κρυφίμων ἄπο πολλάκι νούσων,
ἤπατος ἢ σπληνὸς τρυχουμένου ἠὲ νεφροῖο,
ἢ κραδίην παρέτριψε νοήμονα, μητέρα βουλῆς,
πνεύμονά θ' ἑλκήεντα, κακὴν νόσον ἀνθρώποισιν,
οἵπερ δὴ μογέοντες ἀποπτύουσιν ὄλεθρον
βηχὸς ἀνιάτοισιν ἐλαυνόμενοι στροφάλιγξιν,
λεπταλέοι θυμοῖσι καὶ ἀδρανέες μελέεσσιν
πίνοντες καὶ ἔδοντες, ἀειθανὲς ἦτορ ἔχοντες.

---

Α28 Ἄρης ἡμερινοῖσι μεσουρανέων τάδε ῥέξει·
πρῶτον μὲν γονέων βίον ὤλεσε, καὶ λέχος αὐτῶν
χωρίζει θανάτῳ κακῷ ἠὲ διχοστασίῃσιν·
αὐτοὺς δ' ἐν πολλοῖσιν ἐγύμνασε πήμασιν αἰεί,
θλίψεσιν οὐλομέναις τε καὶ ἀργαλέαις πενίῃσιν,
κινδύνοις, βλαβέεσσι, δανείσμασιν, ἐνδείῃσιν·
174 πολλάκι καὶ θανάτῳ στυγεροῦ θνήσκουσι σιδήρου
173 ἄστεγοι ἠδ' ἀγύναιοι ἄτεκνοί τ' ἐν νεότητι.

---

Ε29 * * * * * *
159 ἀνέρας ἐκτήκει πολλάκις ἐκ κρυφίμων,
174 πολλάκι δ' ὠκυμόρους στυγερῷ διώλεσσε σιδήρῳ·
175 Ζεὺς δ' ἐσιδὼν τούτων ἐσθλὸν ἔθηκε τέλος.

---

C 30 Ἄρεα δ' ἢν κατέχῃ δεινὸν θεὸν αἰθέριος Λίψ,
πολλῶν αἴτιός ἐστιν ἐν ἀνθρώποισιν ἀνιῶν·
λύπας καὶ θορύβους, ἐγκλήματα καὶ σίνος αἰνόν,
ἢ πάθος * * * *
ἢ πέλαγος πλώουσιν, ἑὴν πάτρην προλιπόντες.

---

A 31 Ἑρμείας, Παφίη, πολιὸς Κρόνος ἢν μὲν ἔχωσιν
181 τὴν πρῆξιν, ῥέξουσιν ἀμύμονας ἰητῆρας,
184 ἤπια φάρμακ' ἔχοντας, ἀνώδυνα φαρμάσσοντας·
182 εἰ δὲ Ζεὺς ἐσίδοι, πολυόλβους εὐτυχέας τε,
πλούτῳ τιμήεντας, ἀγακλέας ἀνθρώποισιν.

---

A 32 Ὅσσαι δ' ἂν κεν ἔχωσιν ὑπὲκ συνόδοιο φυγοῦσαν
186 Μήνην, φωσφορέουσαν ἔτ' ἔμπεδον, ὀρνυμένην τε,
Ἄρεϊ συμβάλλουσαν ἀνηλέι καὶ Κρόνῳ αἰνῷ,
ἔμβρυα μὲν φθείρουσι μινυνθάδι' οἷσι χρόνοισιν,
μηδὲ βροτῶν μορφὴν ἐγγάστριον αὐξήσαντα,
σαρξὶ δὲ θηρείῃσι πανείκελα ῥυστήσασαι
ὠμοτόκοις ὠδῖσιν ἐς ἠελίου φέρον αὐγάς·
αὐταὶ δ' ἀμφὶ πόνοισιν ἀνηλέα κωκύουσαι
εἰς Ἄιδος κατίασιν ἀνοστήτοιο μέλαθρον·
εἰ δὲ Ζεὺς ἐσίδοι, ψυχὴν μάλα πολλὰ παθοῦσαν
ἐκσώσει θανάτοιο, κακῶν δ' οὐκ ἔσσετ' ἀρωγός.

---

B 33 Τίπτε μάτην, ἄνθρωπε, θυηπολέεις μακάρεσσιν;
τίπτε μάτην τρισέλικτος ἀν' οὐρανὸν ἤλυθε κνῖσα;
ἴσχεο· οὐ γὰρ ὄνειαρ ἐν ἀθανάτοιο θυηλαῖς.
οὐ γάρ τις δύναται γένεσιν μετατρεψέμεν ἀνδρῶν,
ἤθ' ἅμα νηπιάχοις συγγίγνεται ἀνθρώποισιν,
εὐθύ τε Μοιράων εἰλίσσεται ἀμφὶ μίτοισιν,

κλώσμασιν ἀρρήκτοισι σιδηρείοισί τ' ἀτράκτοις.
ῥέζε Κρόνῳ καὶ Ἄρηι καὶ Ἑρμῇ καὶ Κυθερείῃ
καὶ Διὶ καὶ Μήνῃ τε καὶ Ἠελίῳ βασιλῆι·
οὗτοι γὰρ κρατέουσι θεῶν, κρατέουσι καὶ ἀνδρῶν,
πόντου καὶ ποταμῶν πάντων ῥοθίων ἀνέμων τε,
καὶ γῆς καρποφόροιο καὶ ἠέρος ἀενάοιο.

---

Ε 34 Πλησιφαὴς Κρονίωνι συναντήσασα Σελήνη
εὐτυχέας ῥέξει καὶ μακαριστοτάτους·
εἰ δὲ λίποι Κρονίωνα φάει πλήθουσα Σελήνη,
οὐκέτι τὴν αὐτὴν ἐντὸς ἔχει δύναμιν·
ἀλλὰ κακῶν ῥεκτεῖρα πέλει λείπουσα πρὸς αὐτόν·
ἔκφρονας, αἰνομόρους ἢ νοσεροὺς τελέσει,
ἀμβλύτερόν τ' ἐτέλεσσεν ἔμεν βίον ἐν καμάτοισιν,
*    *    *    *    *    *

---

Α 35 Ἄρης καὶ Φαέθων κατεναντίον ἀλλήλοισιν
218 ἄμφω κέντρον ἔχοντες | ἀνωμαλίην βιότοιο 216
216 ἀνθρώποις ἐπάγουσι, | καὶ ἐκ φιλίης ἐλάσουσιν, 217
217 καὶ προκοπῆς στερέουσιν, | ἐπεὶ Διὸς ἔπλετο πλοῦτος 218
219 καὶ δόξαι καὶ σωφροσύναι καὶ πίστιες ἐσθλαί,
ἐκ δ' Ἄρεος πενίη τε κακὴ θόρυβοί τε μάχαι τε,
ἐγκλήσεις μεγάλαι, περὶ σώματος ἔσθ' ὅτ' ἀγῶνες·
οὗτοι δ' εὔποροί εἰσιν, ἀπ' εὐπορίης δὲ πένονται·
ἢν δὲ μεσουρανέῃ Πυρόεις, τέλος αἰνὸν ἔχουσιν.
κέντρον ἔχων Φαέθων Μήνης μέτα καὶ Κυθερείης,
ἤν πως φωσφορέουσα Σελήνη τῷδε συνάπτοι,
ἄρχοντας μεγάλους, εὐδαίμονας, ἔμφρονας ἄνδρας,
ἐνδόξους, στροφίοισι καρήατα κοσμηθέντας,
πλούτῳ τιμήεντας, ἀγακλέας ἀνθρώποισιν.

---

A 36 Ἀμφότεροι δύνοντες ὁμοῦ Κρόνος ἠδὲ καὶ Ἄρης,
Μήνης Ἠελίου τε καταντίον ἑστηώτων,
ῥέζουσ' ἐμμανέας, πάσας φρένας ἐξολέσαντες·
οἴονται δ' ὁράαν νεκύων σκιοειδέα μορφήν,
οἱ δὲ καὶ εὐφρονέοντες ἀεικέα πήματ' ἔχοντες
πίπτουσιν συνόδοισι Σεληναίης ὑπὸ ῥιπῆς.
ἣν δὲ Κρόνου μέσση τε καὶ Ἄρεος ἡ Ἀφροδίτη,
καὶ Μήνην λεύσσωσι καὶ Ἑρμείαν τετράγωνον,
δρῶσιν φοιβητὰς ἢ μάντιας, οἵθ' ἱεροῖσιν
ἑζόμενοι ζώουσιν ὀνείρατα μυθίζοντες,
οἱ δὲ καὶ ἐν κατοχῇσι θεῶν πεπεδημένοι αἰεὶ
δεσμοῖσιν μὲν ἔδησαν ἑὸν δέμας ἀρρήκτοισιν,
* * * * * *
εἵματα μὲν ῥυπόωντα, τρίχες δ' οὐρῇσιν ὅμοιαι
ἵππων κηροπαγεῖς οὖλαι πληροῦσι κάρηνον·
οἱ δὲ καὶ ἀμφιτόμοισι σιδηρείοις πελέκεσσιν
ἔνθεα λυσσώοντες ἑὸν δέμας αἱμάσσουσιν.
πλησιφαὴς δ' Ἄρηι συναντήσασα Σελήνη,
Ζηνὸς ἄτερ Κύπριδός τε, κακὴ κατὰ πάντα τέτυκται·
βλάπτει μὲν βίοτον καὶ πλούσιον ἄνδρα πένητα
ῥηιδίως ἔρρεξε, μινυνθάδιόν τε χρόνοισιν
ἐξαπίνης ἀπόλεσσε βίῃ κακοεργέι Μοίρης.
Ἄρεος ἠδὲ Κρόνοιο μέσην δείμαινε Σελήνην,
οὕνεκεν ἀργαλέη πέλεται μογερῇσι τεκούσαις·
τρύχει γὰρ ταύτας κρυφίμων ἄπο· πολλάκι δ' αὐτοὺς
ὤλεσεν ἐν θανάτοισι βιαιοτάτοισι βαλοῦσα,
ἁψαμένους βρόχον αἰνόν, ἢ ἀραμένους ξίφος ὀξύ,
ἢ πυρὶ δαιομένους, ἢ ἐν ὕδασι πολλὰ παθόντας.
Ἄρεος ἠδὲ Κρόνοιο μέσῃ Κύπρις οὐ καλοεργός,

οὕνεκεν ἀνθρώποισι κακὴ κατὰ λέκτρα τέτυκται·
μίσγει γὰρ δούλῃσιν ἑταιρίσιν, ἃς φιλέοντες
ζήλῳ ἐλαύνονται κακοεργέι· πολλάκι δ' οὗτοι
ἀνέρες ὀργιόωντες ἀποκτείνουσι γυναῖκας,
αἳ μόρον αἰνὸν ἔχουσι κακῆς διὰ φίλτρα κυθήρης.

---

A 37 Ζῴδιον ὡρονόμοιο λαχὼν Ζεὺς ἠδ' Ἀφροδίτη
Ἄρηος δύνοντος ἀνηλέος ἠδὲ Κρόνοιο,
* * * * * *
πλούσιοι ἐν πρώτοισι καὶ ἐν πυμάτοισι πένητες,
ἀλλ' οὐκ ἐκλείπουσι μάχας θορύβους τε δίκας τε,
εἰ μή πως Φαέθων πυμάτην περὶ μοῖραν ὁδεύσῃ.
εἰ δ' Ἄρης ὥρην κατέχοι Φαίνωντε σὺν αὐτῷ,
δύνῃ δ' αὖ Φαέθων κατεναντίον ἀμφοτέροισιν,
ἐν νεότητι πένητα καὶ ἐς τέλος εὔπορον ἄνδρα
ῥέξουσιν, βιότοιο δ' ἀνώμαλα ἔργα τελοῦσιν.
εἰ δὲ Κρόνῳ καὶ Ἄρηι συνῇ κερόεσσα Σελήνη,
μοίρης ἐντὸς ἐοῦσα, συνάπτῃ δ' αὐτίκα τοῖσδε,
ἐντὸς ἔχει κακίην Ἄρεός τ' ἠδὲ Κρόνου αἰνήν,
αἰνός τ' ἀνθρώπων ἔσεται βίος ἠδ' ἐλεεινός,
καὶ πενίη καὶ μοῖρα κακή· καὶ λάτρια ἔργα
πείσονται, βιοτόν τε ῥοπῇ λείψουσι πρόμοιροι.

---

F 38 Ἡνίκα δ' ἡ Κερόεσσα μέσον πόλον ἀμφιβεβῶσα
νυκτερινοῦ θέματος κατὰ μοῖραν ἰοῦσα φαανθῇ,
Ἠέλιος τ' ἐπίκεντρος ἐν ἀρσενικοῖσι τόποισιν,
γεννῶσιν βασιλῆα, θεὸν βροτὸν ἀνθρώποισιν.
Ἑρμείας δὲ μεσουρανέων, Τιτὰν δὲ σὺν αὐτῷ
αὐτή θ' ἡ Κερόεσσα καθ' ὡρονόμοιο τυχοῦσα

*ἡμερινοῦ θέματος, βασιληίδος ἐστὶ γενέθλη.*
*ταῦτα δέ τοι τελέουσιν, ἐπὴν ἐπίκεντροι ἔωσιν,*
*μηδένα τῶν ὀλοῶν κατεναντίον ἐχθρὸν ἔχοντες.*

---

IV 39 *Ἢν δ' ἐπὶ μαρτυρίην Ἄρεως ἐλθοῦσ' Ἀφροδίτη*
*ὄμμα βάλῃ πανταυγὲς ἐν ἡμερινῇσι λοχείαις,*
*ἐκ πυρὸς αὐχήσουσι τέχνας μέλανός τε σιδήρου,*
*ἄκμοσι ῥαιστοτύποις μεμελημένοι ἠδὲ καμίνῳ.*

---

*Ἑρμῆς δ' οἰκείοις ὁπότ' ἂν κατὰ κύκλα φαανθῇ,*
*μαρτυρίῃ δὲ Κρόνοιο κατ' αἰθέρα τῷδε πελάζῃ,*
*δὴ τότε ῥήτορας ἄνδρας ἰδ' ἐν σοφίῃσιν ἀρίστους*
*ἔσσεσθαι δείκνυσι καὶ ἀστρολόγους θεοφήμους.*

---

*εἰ δὲ Σεληναίης ἑλικώπιδος ἄστατος ἀστὴρ*
*Ἑρμείαν σύμφωνον ἔχοι κατὰ κόσμου ἀταρπόν,*
*καὶ μούνη Κυθέρεια συνῇ καλῷ Φαέθοντι,*
*ῥεκτῆρας χρυσοῖο καὶ Ἰνδογενοῦς ἐλέφαντος*
*ἐργοπόνους ῥέξει καὶ ζωγραφίης μεδέοντας,*
*εὐφυέας θριγκῶν τε καὶ εὐτυχέας κανονισμῶν*
*κοσμήτας, μάλα τοι πεπονημένα τεχνάζοντας.*

---

*Ζῆνα δ' ὅτ' ἂν φαέθοντα βάλῃ λαμπραυγέτις ἀκτὶ*
*Ἑρμείου, μίγδην τε διαλλάξωσιν ὁρισμούς,*
*ῥήτορας ἐμφαίνουσι βροτοὺς σοφίης τε κρατίστους*
*ζηλωτάς, τεύχει τε λόγων νεότητά τε λαμπρὴν*
* * * * * *
*γραμματικὴν ἄσκησιν ἐνὶ στέρνοισιν ἔχοντας.*

---

286—289=IV, 121—124. — 290 sq.=IV, 139 sq. — 292 s =IV, 127 sq. — 294—300=IV, 146—152. — 301 sq. = I 201 sq. — 303=IV, 141. — 304 sq.=IV, 204 sq.

Μήνης δ' ἀμφίκερω σκολιὸς δρόμος ἡνίκ' ἂν ὀφθῇ
Ἄρεος ἀκτίνεσσι πόλου λοξεύματα βαίνων,
Στίλβων δ' ἀμφ' αὐτοῖς ἢ καὶ διάμετρος ὁραθῇ
ζωιδίῳ κόσμοιο, κακοὺς ληίστορας ἄνδρας
καὶ θυρέτρων δεινοὺς ἐπανοίκτορας ὀθνειάων,
κλεπτῆρας φαύλους νυκτοπλανέας τελέουσιν·
οὗτοι φωρηθέντες ἐν ἀλλοτρίοισι μελάθροις
εἰς συνοχὰς ἥξουσι σιδηρήεντά τε δεσμά,
εἱρκτὰς δ' οἰκήσουσι φυλασσόμενοι ἀλύσεσσιν,
ἔν τε βίᾳ θάνατον λείψει κακοεργέι θυμῷ,
ἢ σφαγίοις ξίφεσιν δεδαϊγμένοι ἢ πελέκεσσιν,
ἢ βρόχον ἀγχονόωντα δι' αὐχένος ἐνδήσαντες,
[ἢ διὰ λαιμοτόμου φάρυγος βίον αἵματι λείψει
σφονδυλόεντα τράχηλον ἢ ἰνίον ἀκροτομηθείς·]
πνεῦμά θ' ἑὸν λείψουσι πικρᾶς Μοίρας ὑπ' ἀνάγκας.

---

Ἠέλιος δὲ Κρόνοιο καὶ Ἄρεος ἀστέρας ἀθρῶν
ἀκτινηβολίῃσι φαεσφόρου Οὐλύμποιο,
ναυσιβάτας δείκνυσι καὶ ὕδατος ἵστορας ἄνδρας,
πλωτάρχας σκαφέων, οἳ πολλάκι ναυφθορίῃσιν
χείματος ὀρνυμένοιο βίον σώζουσι δι' ἅλμης
νηχόμενοι Μοίρῃσιν ὑπὸ τρόμον ἐν πελάγεσσιν.
παμφαίνων δ' ἀστὴρ κυανοχρώτοιο Κρόνοιο
Ἠελίου σελάεσσιν ἀν' οὐρανὸν ἦν ἰσόμοιρος,
τηνίκα φυομέων βρεφέων γεννήτορα πρῶτον
μητέρος εἰς Ἀίδην πέμψει νεκυηπόλος Αἶσα,
κτήματά τ' ἐκβάλλει πατρώια καὶ μέγαν ὄλβον,
καί τε κασιγνήτων θάνατον ὁρόωσι προόντων,

306—317=IV, 478—489. — 318 sq.=IV, 50 sq. — 320=IV, 490. — 321—338=IV, 395—413.

κὰκ πολλῶν θανάτων πλοῦτον μέγαν αὐξήσουσιν.
ἢν δὲ Σεληναίης ἀκτὶς ἰσόμοιρα πελάζῃ
φωτὶ Κρόνου, μάρτυς δ' ἐπὶ σήματι τῷδε γένηται
καὶ Πυρόεις, μήτηρ προτέρη πατρὸς οἴχετ' ἐς Ἀίδην,
ἠὲ μογοστοκίῃ δεδαϊγμένη, ἢ ὑπὸ νούσου
αἱμηρῇσι γυναιξὶ φύσις κρύφι' ἄλγε' ἔδωκεν.

---

40 † Ἢν Κρόνος ὡρονομῇ, Πυρόεις δύνῃ δὲ κατ' ἰθύν,
† αἴλινος ὅστις ἀνήρ γε βιαιότατον μόρον ἕξει.

---

E 41 Ἠελίῳ τετράγωνος Ἄρης, Μήνῃ δέ τε Φαίνων,
δούλους ποιήσει καὶ γονέων στερέσει.
ἢν δ' ἔτι καὶ Παφίη κατέναντίον Ἄρεος ἔλθῃ,
* * * * *
καὶ ταύτην τετράγωνος ἴδοι Κρόνος ὑψόθεν ἑστώς,
ἐκ δούλων δούλους τῇδε νόει ξυνέσει.
ἢ Φαέθων τετράγωνον ἴδοι Κρόνον ἠὲ τρίγωνον,
* * * * *
Ἑρμείας δέ τ' ἐφ' ὡρονόμου Μήνη τε σὺν αὐτῷ,
εὐτυχὲς ἐσσεῖται τοῦτο θέμ' ἐκ γενεῆς,
* * * * * *
δόξῃ καὶ πλούτῳ καὶ φιλίαις μερόπων.
καὶ Ζεὺς ὡρονομῶν Πυρόεις θ' ἅμα καὶ τρίτος Ἑρμῆς
* * * * *
Μήνη δ' ἐκ συνόδοιο Κρόνου φίλον ἀγκαλίσαιτο,
εὐπρήκτους ῥέξει καὶ μακαριστοτάτους.

---

C 42 *Ἦν δὲ Κ ρ ό ν ο ς παρόδοισιν ἐπ᾽ Ἄ ρ η ο ς τόπον ἔλθοι,*
*ψυχρὸς ἐὼν θερμοῖο, μολὼν τόπῳ οὐ καλοεργός,*
*ἔσσεται ἀνθρώποις πολλοῦ κακοῦ αἴτιος οὗτος·*
*λύπας γὰρ στονάχας τε βλάβας τ᾽ ἄξει μερόπεσσιν.*
*Ἄ ρ η ς δ᾽ ἐν παρόδοισι κατοπτεύσας Κ ρ ό ν ο ν αἰνὸν*
*ἐσθλὸς ἔφυ· κτήσεις δ᾽ ἀγαθῶν καὶ νῖκος ὀπάζει.*

---

† *Εἴρηται δρόμος οὐράνιος ἀπλανῶν τε πλάνων τε.*

---

† *Λοιπόν μοι Μοῦσαι δότ᾽ ἀεῖσαι πλείονα τούτων*
*εἰς ἑτέραν βίβλον τῷδε μέτρῳ πρὸς ἔπος.*

---

## ΒΙΒΛΙΟΝ Ε. [ϛ.]

*Ἐξ ἀδύτων ἱερῶν βίβλων, βασιλεῦ Πτολεμαῖε,*
*καὶ κρυφίμων στηλῶν, ἃς ἥρατο πάνσοφος Ἑρμῆς*
4 *σύμβουλον πινυτῆς σοφίης Ἀσκληπιὸν εὑρών,*
3 *οὐρανίων τ᾽ ἄστρων ἰδίαις ἐχάραξε προνοίαις*
5 *ἀντιτύπῳ κηρῷ ἀπομαξάμενος, κεκόμισται*
*ἀνθολόγου μούσης βλύζον δώρημα μελισσῶν,*
*ᾗ διὰ νύκτα μέλαιναν ὑπ᾽ οὐρανίων χοροῦ ἄστρων*
*μοιραίοισι μίτοισι λάλον τὸ μάθημα καθεῦρον·*
*οὐ γάρ τις τοίης σοφίης ἔτ᾽ ἐμήσατο κῦδος,*
*ἢ μοῦνος Πετόσιρις, ἐμοὶ πολὺ φίλτατος ἀνήρ·*
*οὐ βαιὸς κάματος δ᾽ οὗτος, Πτολεμαῖε, πέφυκεν.*

---

*Ἀνθρώπων γενέσεις, ἃς ἤραρε μυρίος αἰών,*
*ἐκ στομάτων ἱερῶν ὁ σοφώτατος εἶπεν Ὅμηρος*

*χείλεσιν ἀμβροσίοις καὶ νεκταρέῃ διανοίῃ*
*„φύλλα, τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη*
*τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίνεται ὥρη·*
*ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει."*
*„μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,*
*οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται."*
*„ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;"*
*μύθοις οὐρανίοισι φέρων παρέθηκ' ἀγελαῖα,*
*χάλκεα χρυσείοισιν, ἐπεὶ καὶ δόγματα θεῖα*
*οἷα κόχλῳ χρυσὸς περικείμενός ἐσθ', ὁ δὲ χρυσὸς*
*κοσμεῖται κοχλίδεσσιν ἁλὸς περιπορφυρούσαις.*

---

*† Ἐν πᾶσιν μύθοις καὶ τῇ ἰδίῃ διανοίῃ*
*† εἴρηται πραπίδων κάματος εὐσυνθέτῳ ἔργῳ.*

---

28 *† Ὥρῃ ἀκριβοῦται δὲ βροτοῖσι τὰ δόγματα θεῖα,*
27 *† ἣν δ' ὥρην ψεύσῃ τι, συνεξώλισθεν ἅπαντα.*

---

1 *† Ἀστέρες ἑπτὰ θεοὶ μὲν ἀν' οὐρανοῦ ἠέρα κουλύν,*
*† οἳ ζώνας κατέχουσιν ἄνω τὰς ἑπτὰ πόλοιο,*
*† αἰῶνός τε γένος καὶ ῥίζα φύσεως πολυμόρφου,*
*† ζωδιακοῦ κύκλου σφαίρωμ' ἄνα καγχαλόωσιν*
*† εἰν ἰδίοις ὁρίοις ὑψώμασιν ἠδέ τ' ἐν οἴκοις·*
*† Ζεύς, Ἄρης, Παφίη, Μήνη, Κρόνος, Ἥλιος, Ἑρμῆς.*

---

* * * * * *

2 *† ἐν συνόδῳ, βασιλεῦ, μεγάλους παρέχει βασιλῆας·*
*† αὐτίκα δ' ἐν συνόδῳ Μακεδὼν βασιλεὺς ἐγενήθη,*
*† ὃν πινυταῖς πραπίδεσσιν ὁμοῦ σκήπτροις ἀνέδειξαν*

† καὶ σὺ δέ γ' ἐν συνόδῳ, ἀλλ' οὐκ αὐτῇ ἐνὶ ὥρῃ.
† Ἥλιος σατράπας μεσσουρανέων ἐπιδείξει,
† καὶ στρατιῆς Ἄρης ἡγήτορας οἷς ἐνὶ οἴκοις,
† ἐν δ' Ἄρεως οἴκοις καὶ Ζεὺς ἀπέφηνε δικαστάς·
† καὶ τούτων δὲ ἕκαστος, ὅτ' ἂν ἐπίκεντρα τὰ φῶτα,
† ἢν δ' ἀτόνως λεύσειε, συνεξώλισθεν ἅπαντα.

---

3 Ὡς ὅτ' ἂν ἐν μεγάλοις τοῖς σχήμασι καλὸν ἀθρήσῃ
ἀστὴρ ἀργαλέος, ὑπὸ βασκάνῳ ὄμματι θραύει,
οὕτως ἀργαλέοις ἀστὴρ καλὸς ὄμματ' ἐποίσει
ἢ τετράγωνος ἐὼν τοῖς σχήμασιν ἢ διάμετρος.

---

4 Ἀντολίην ζητῶν καὶ τὴν φάσιν ἐν συναφῇσιν,
νυκτερινὸν δείμαινε Κρόνον καὶ ἐῷον Ἄρηα·
ἀρχαὶ γὰρ τούτῳ πάμπαν τελέθουσιν ἀηδεῖς.
ὡς πυρὸς αἰθομένου στυγεραὶ φλόγες εἰσὶν ἐν ὕλῃ
λάβρ' ἐπιγινομένου * * *
* * * καὶ σβέννυται εὐθὺ παρ' ἀκμήν,
* * * * * *
ἢν δ' ἐσίδῃ Παφίην, οὐ μαίνεται, ἀλλὰ κενοῦται.
τοῦ δὲ Κρόνου τάρβει αἰεὶ κατὰ πάντα τελευτήν·
ψυχρὸς γάρ τε πέλει * * *
* τῇδε Κρόνοιο βολῇ καὶ πήγνυται αἰεὶ
ὄψιμος· εἰ δ' ἄμφω δι' ἔριν περὶ κέντρον ἔωσιν,
ἔνθ' ἀκαταστασίαι καὶ πῆμ' ἐπὶ πήματι δεινῷ.
ἢν στείχωσι δ' ὁμοῦ συνόδοις ἢ εἰς ἕνα χῶρον,
εὐκρασίῃ χαίρουσι καὶ οὐκέτι δῆριν ἔχουσιν·
θερμότατος γὰρ ἐὼν ψυχρῷ ἀνακίρναται Ἄρης,
ψυχροτάτη δὲ Κρόνοιο βολὴ ὑποθάλπεται Ἄρει.

---

5 Μειλίχιος Κρονίδης κατὰ πάντα Κρόνῳ συνοδεύων
σύν τ' ἄστροις πᾶσιν, πλὴν Ἠελίου κακοεργοῦ,
σὺν κείνῳ γὰρ ἐὼν λύει πατρώϊον οἶκον
καὶ φυγάδας τεύχει καὶ ἐνὶ ξενίῃσιν ἀλήτας.

---

6 Ἠέλιος Παφίῃ κοινούμενός ἐστι κάκιστος·
ζῆλον, δυσγαμίην, ἐγκλήματα, ὕβριν, ἀνάγκην,
καὶ ψόγον ἐν λέκτροις, ἀσχήμονά τ' ἀλλοπρόσαλλον
* * * * * *

---

7 Καὶ δύνων Κρονίδης ἢ καὶ ὑπόγειος ὑπάρχων
λαμπροτέρας πρήξεις εἰν ἀλλοδαποῖσι τόποισιν,
εὐπορίην δηλοῖ τε καὶ ὀψίτυχόν τινα πίστιν.

---

8 Ἢν δ' ἐσορῇ Στίλβοντ' Ἄρης ἐπὶ τέρματος αἴης,
θησαυροὺς ἐπέδειξε, καὶ ἐκ χθονὸς ὄλβον ἔδωκεν.

---

9 Ἄστοργος θυμοῖσιν ἀεὶ ὀλοώτατος Ἄρης
μὴ καθορῶν Κρονίδην, μηδ' εὐπλόκαμον Κυθέρειαν.

---

10 Οὗτος γὰρ κακός ἐστιν, ὅταν δ' ἐπίκεντρος ὁδεύων
ὅσσ' ἀνέχων λεύσσῃ καταλαμπομένην Ἀφροδίτην,
* * * * * *

---

11 Πᾶς ἀστὴρ πέλετ' ἠὲ πανήμερος ἠὲ πονηρὸς
ἐν γενεῇ· φαῦλος δ' ὅτε οἱ παλίνορσος ἐπαχθεὶς
εἰς ἰδίην χώρην αὐτὸς κατ' ἐπέμβασιν ἔλθοι.

---

12 *Ἀργαλέων ἄστρων δυνατῶς γίγνωσκε τὰ δῶρα.*

— — — — — —

13 *ἐν δὲ τέκνοισι μόνοις ἀγνώμονές εἰσι δοτῆρες·*
*καὶ διδόασι γονὴν ἰδὲ πένθιμον ὄμμασι δάκρυ.*

IV. 14 *Ἄρης καὶ Στίλβων, σύμφωνα τὰ κέντρα λαχόντες,*
*ὑψηλούς, δρήστας, μεγαλόφρονας ἠδὲ βιαίους,*
*πταίοντας τόλμῃ καὶ σφαλλομένους ἐπὶ δόξῃ·*
*ἤτοι γὰρ κολάσει συνελαυνόμενοι βεβάρηνται,*
*ἢ ἀλόγους μέμψεις ὑπενεγκάμενοι πεπάτηνται,*
*ἠὲ πάτρην φεύγουσι διωκόμενοι παρ' ἕκαστα.*
*ἢν δὲ Κρόνος τούτῳ τῷ σχήματι μάρτυς ἐπέλθῃ,*
*τὸν δρησμὸν λύσας δόξαν παλίνορσον ἔδωκεν,*
*καὶ χειμῶνι πικρῷ γλυκερὴν ἐπέχευε γαλήνην.*

15 *Ἑρμείας κακότεχνος ὁμοῦ καὶ πυρβόλος Ἄρης,*
*ἢ δύνοντες ὁμοῦ ἢ καὶ ὑπόγειοι ἐόντες,*
* * * * * *
96 *ὄλβῳ γὰρ πίσυνοι καὶ τεύχεσι θωρηχθέντες*
95 *ἐλπίσιν ἀπλήστοις μεγάλας ἀρχὰς μελετῶσιν·*
97 *οὐρανίοις δ' ἄστροις μέγ' ἀειρόμενοι ἀτῶνται,*
*ἠδ' ἄστρων ψαύσαντες ἐὴν διὰ πίστιν ἄπιστον*
*οὐρανίῃσι βολαῖς ὡς ἀστέρες ἄφνω ἔλαμψαν,*
*οὐρανίῃσι βολαῖς ὡς ἀστέρες ἦλθον ὑπ' ὄρφνην.*

16 *Καὶ Παφίη δύνουσα κακή, ὡς λοίγιος Ἄρης·*
101 *ἀλλ' ὁ μὲν ἀλγύνει ψυχὴν καὶ σῶμα βρότειον,*
*ἡ Παφίη δὲ πικρὴ καὶ βάσκανός ἐστ' ἐπὶ λέκτροις·*

17 Ἑρμῆς καὶ Παφίη ἰδίαις μοίρῃσι ταπεινοὶ
ξυρομένους κεφαλὰς μίμους ὄχλοισι γελοίων
* * * * * *

---

18 Οὐ καλός ἐστιν Ἄρης καὶ ἐπεμβαίνων Ἀφροδίτῃ·
ζήλους γὰρ τεύχει φοβερούς, καὶ φάρμακα δεινά,
καὶ κρύφιμα στομάχων ἀλγήματα καὶ νόσον ἄρθρων.

---

19 Ἥμερός ἐστιν Ἄρης ἐπὶ τὸν Δία πάντοτ' ἄκεντρος.

---

20 Αὐξιφαὴς δ' ἀγαθὴ κατὰ πάντα πέφυκε Σελήνη,
ἣν φθεύγουσα Κρόνον ἐπὶ τὸν Δία πρῶτον ἵκηται·
καὶ λείπουσα καλή, ὁπότ' ἂν Παφίῃ συνοδεύῃ·
μεῖον δ' ἢ μεῖζον μεστὴ πρὸς Ἄρηα κακίστη.
Πλησιφαὴς Μήνη ἐπὶ τὸν Κρόνον ἐστὶν ἀρίστη·
πλοῦτον γὰρ πουλὺν παρέχει, ἀλλ' οὐκ ἐπὶ δόξῃ.

---

21 Πλησιφαὴς δ' ἀκτῖσιν ἀπορρείουσα Κρόνοιο
ψυχαῖς πλαζομένους, ἐξισταμένους διανοίης,
σαρκῶν ἐξ ἰδίων ἀπογενομένους, ἱεροῖσιν
θυμῷ μορμύροντας ἐπίψογον εἰς νόσου ὀργήν,
βωμολόχους θ' ἱερεῖς, τιμαῖς θείῃσι προφήτας.

---

22 Ἠέλιον Μήνη ὁπότ' ἂν συναφῇσι καθεύροι,
ἀρχῇσιν πλοῦτον παρέχει πενίην ἐπάγουσα·
οὐκ ἰδικὴν γὰρ ἔχει φάσιν ἡ θεός, ἀλλά τιν' αὐγὴν
χεῖρον' ἀπ' Ἠελίοιο δανείζεται, οὐ μόνιμον φῶς·
Μήνη δ' ὡς σχομένη περ ἀπώλεσεν, ὅσσον ἕλῃσιν,

οὕτω καὶ πλούτῳ πενίην ἐπέθηκε φέρουσα,
ἀντιτύπῳ νεμέσει ἀποδωκαμένη τὸ δάνειον.

---

23 Σύνδεσμος Μήνης ὀλοώτατός ἐστι βροτοῖσιν·
κἢν λύσῃ δὲ φάσιν τὰ τελέσματά γ', οὗτος ἔφυσεν
πτωχόν, χερνήτην ταλαπείριον ἠδέ τ' ἀλήτην.

---

24 Ἠελίου κέντροισιν Ἄρης διάμετρος ὑπάρχων
τέκνοις καὶ γενέτῃσι μάχας ἠδ' ἄστατον ὀργήν·
καὶ διάμετρος Ἄρης εὑρὼν μοίρῃσι Σελήνην,
δεσμά, βρόχους, εἱρκτάς, πολέμους, ἀσχήμονα θωήν·
ἢν δ' ἀπόκεντρος Ἄρης μοιρῶν ἰδίων διάμετρος,
μιμηλὰς τέχνας, καμάτους πυρὸς ἠδὲ σιδήρου·
καὶ Παφίῃ διάμετρος Ἄρης οὐ σώφρονα μοιχόν.

---

25 * * * * * *
καμπτομένοις ζώοις ὅτ' ἂν εὑρήσῃς ποτὲ φῶτα,
Ἑρμείαν σκέπτου, | μεθοδεύεται εἰ τότ' ἐκεῖνος
σχήματι τῆς Παφίης· | θηλυνόμενος γὰρ ἐκεῖνος
κοσμεῖτ' ἀρσενόθηλυς ἑὼν πέπλοισι γυναικῶν,
καὶ τούτων χάρισιν δαμνᾷ θυμέλῃσιν ἐραστάς·
εἰ δὲ γυναικὸς ἔῃ, πολύκοινον ἔτευξεν ἑταίρην,
μουσῳδόν, σοβαρήν, πολλοὺς τήκουσαν ἐραστάς.

---

26 Εἰ δ' Ἄρην ὑπόγειον ἔχων φαίνοιτό τις ἀνήρ,
καὶ σὺν τῷδε γένοιτο ἰοβλέφαρος Κυθέρεια,
καλοβάτην σχοίνοισί τ' ἔπ' ἠερόφοιτον ἔθηκαν,
Ἴκαρον αἰθέριον πτερύγων δίχα καὶ δίχα κηροῦ·
ἢν δ' ἐσίδῃ Τιτὰν φαέθων, ἐπὶ γαῖαν ἀφῆκαν.

---

27 Ἢν δ' εὕρῃς Μήνην αἰεὶ δύνουσαν ἐφ' ὑγροῖς,
πρὸς Κρόνον ἐρχομένην ἢ δύνουσαν τὰ βόρεια,
ἄνθρωποι θύνουσαν ὁρῶνται ναυτίλοι ὑγρήν,
ὧν ὁδός ἐστιν ὕδωρ, οἱ δ' ἀστέρες εἰσὶν ὁδηγοί,
ἡνίοχοι δ' ἄνεμοι, καὶ κύματα μακρὰ κέλευθα.
ἢν δ' ἐσίδῃς ζῴοις ἐν ὀλισθηροῖσι τὰ κέντρα,
Καρκίνῳ, Ὑδροχόῳ ἠδ' Ἰχθύσι τοῖσιν ἀφώνοις,
δύνοντας καθ' ὕδωρ δεσμευομένους θ' ὑπὸ μαζῶν
* * * * * *
κυανέῳ πελάγει δ' ὑπονήχεται, ἠύτε δελφίν,
σφόγγους ἐκ βυθίων πουλυτρήτους ἀνερευνῶν.

---

28 Ἐν δ' ἰδίοις οὔσης Παφίης ἅμα Ἑρμάωνι,
ἢ τρητοῖς καλάμοις ὑπὸ πνεύμασιν ᾆσμα μελῳδεῖ,
ἢ νομίῳ σύριγγι φίλην κεφαλὴν ἐπισείει,
ἄλλῳ δ' ἐκ στομάτων κελαδεῖ μυκήματα σάλπιγξ,
ᾧ δ' ᾄσει κίθαρις νευρένδετος ἐν παλάμῃσιν,
ἄλλῳ δ' ἁρμονίην χαλκώματα πληκτὰ παρέξει.
ἀλλ' ὅτ' ἂν ἡ Παφίη Ἑρμῇ στείχουσα συνοικῇ,
Ἑρμείαο τόποισιν ἀγαλλομένη, ἐπὶ χώρῃ
αἰόλλειν μορφὰς ἢ χρώμασι τῇδέ γ' ἔδωκεν
ἢ πολλοῖσι μίτοις ἢ πλάσμασιν ἤ ποτε κηρῷ.
ἢν δ' ἐπάνω φέρεται μετὰ Ἠελίοιο Σελήνη,
ἡνίοχος καμπτῆρα διερχόμενος, φιλονείκως
ἱπταμένων πώλων τετράζυγον ἅρμα διώκων,
καὶ νύσσῃ σύρδην ἐπινίκιον ἵππον ἐλαύνων.
ἢν δὲ Σεληναίη ὕψωμ' ἀνιοῦσα σὺν Ἑρμῇ
αὐξιφαὴς κατίδοι κλυτὸν Ἥλιον Ὠκεανίτην,
ἰξῷ χρησαμένην τέχνην καλάμοις τ' ἀναφαίνει,
καὶ ταύτην ἴρηξ ὠκύπτερος οὔ ποτε λείπει.
Ἄρεα δ' εἰ γνοίης ἀκρονύκτιον ὀβριμοεργόν,
καὶ σὺν τῷδε Κρόνον τε καὶ Ἑρμείην παρεόντα,

*ἀράμενοι παλάμαις ὑπὸ τύμπανα φάσγανον ὀξὺ*
*μιμοῦνται δυσαγῆ Κυβελήιον ἔνθεον Ἄττιν.*
*ἢν δ' Ἄρης ζώοις ἐπὶ φωλεύουσι τὰ κέντρα*
*ξυνὰ Ζηνὶ λαχὼν κατίδῃ Κρόνον ὄνθ' ὑπόγειον,*
*ῥιζοτόμους τεύχει, παραβαλλομένους, ἐπαοιδούς,*
*ζητοῦντας θάνατον κακοδαίμονα καὶ μόρον αὔτως*
*ἀσπίδος αἰνομανοῦς πλατυαύχενος, ἠδ' ἄρ' ἐχίδνης*
*διψάδος αἱμοβόρου φοβερὸν θάνατον προκαλοῦντας,*
*Ταντιλικῇ κολάσει ὑπὸ γαμφηλῇσιν ὀδοῦσιν*
*ἰὸν ἐρευγομένης ἐπιδίψιον ἄσθματι δεινῷ.*
*εἰ δ' αὔξουσα τύχῃ μεσσουρανέουσα Σελήνη*
*καὶ διάμετρος Ἄρης σύν τ' Ἠελίῳ ὑπόγειος,*
*φρυγομένων σαρκῶν ὑποτήκεται ἔμπυρος ἀνήρ.*
*καὶ δύνων Πυρόεις, ὁπότ' ἂν Κρόνος ὡρονομήσῃ,*
*σαρκοβόροις θηρσὶν παρέχει γεννώμενον ἄνδρα·*
*ἢ γὰρ ὑὸς καπρίοιο ὑπέστη λευκὸν ὀδόντα,*
*ἢ γναμπτοί σφ' ὄνυχες λαιμὸν διόρυξαν ὄρεσσιν.*
*πορδάλιος στικτῆς ἠὲ βλοσυροῖο λέοντος.*
*ἡνίκα δ' ἡ βασίλεια μέσῃ συνέχοιτο Σελήνη*
*Ἄρεος ἠδὲ Κρόνου συλλαμπομένη ἰσόμοιρος,*
*τῷ μὲν ἔδωκε βρόχον, τῷ δ' αὖ βυθόν, ᾧ δὲ μελάθρων*
*πολλάκις ἢ πτώσεις ἢ χώματα προσκυλίσασα*
*κληίδων ἀπέρρηξε βίῃ συνθλωμένῳ ὀστᾶ.*

---

29 † *Μὴ λαθέτω σε Κρόνος ἰσομοιρήσας Ἀφροδίτῃ,*
† *τέκνῳ μὲν τεύχων Πελοπήιον ἠὲ Θυέστην,*
† *ἠὲ καὶ εἰς ἄλλην ἀσεβῆ υἱὸν Ἰοκάστην,*
† *πολλάκι δὲ προγόνους καὶ μητρυιῇσιν ἔμιξεν,*
† *ἠδὲ κασιγνήτοις ἐπάγει ὁμογάστριον εὐνήν.*

† ἐνθάδε μοι, βασιλεῦ, τῷ σχήματι γίγνεο μάρτυς,
† γνωρίζων γενεῇ τοὺς Ἀρσινόης ὑμεναίους.

---

30 Χαίρει τοι Τιτὰν μὲν ἐπ' ἀρσενικοῖσι τόποισιν,
γήθει δ' αὖ Μήνη πάλι θηλυτέροισιν ἐν οἴκοις.
εἰ δ' ἄμφω τούτους ἐνὶ θηλυτέροισι καθεύροις,
εὐνοῦχον σὺ νόει ταλαπείριον ἠὲ κίναιδον,
ἱστοῖς, ἠλακάταις μιμούμενον ἔργα γυναικῶν.
εἰ δὲ γυναῖκα λάβοις εἰν ἀρσενικοῖσιν ἔχουσαν
Μήνην Ἠέλιόν τε, νόει τὸ σχῆμ' ὅ τι δηλοῖ·
ἀνδρῶν ἔργα τέλεσσε γυναιξὶ συνευνάζουσα.

---

31 Νυκτερινὸς δὲ Κρόνος ὁπόταν ὑπόγειος ὑπάρχῃ,
καὶ δέ τ' Ἄρην ἐσίδοις γε μεσουρανέοντα ἄνωθεν,
ἁπλώσας παλάμῃσιν ἐπὶ ξύλου ὑψόθι σῶμα
οἰωνοῖσι βορὴν ἐπανιπταμένοις ἐπέδειξεν,
μοίρης νευροτόμου ἐσφιγμένος ἄκρα σιδήρῳ.

---

32 † Τὴν Μήνην σκέπτου, εἰ Τιτῆνος ἐνὶ οἴκῳ,
† κἢν εὕρῃς τοῦτον φωλευόμενον διάμετρον,
† καὶ φυγάδας σὺ νόει καὶ ἀτιμήτους διὰ πάντων.

---

33 Αὐξιφαὴς Μήνη θερμὸν διάμετρον Ἄρηα
ἢν προφύγῃ, λίην ψυχρήν τ' ἀκτῖνα Κρόνοιο,
Ζεὺς δὲ τρίγωνος ἔῃ ἐν σχήματι τῷδέ γε μάρτυς,
τὸν βίον αὐτὸς ἔχων ἢ καὶ καθορῶν διάμετρος,
ἡλικίῃ μὲν πρῶτα μέγαν, περιμήκεα θῆκεν,
ὀφθαλμοῖσι χαρωπὸν ἰδ' ὀφρύσιν εὖ ἀραρυίαις,
[μηχανικὸν σὺ νόει τε πολύτροπον ἢ πολύτλητον,]
[οἶκον μὲν φθείροντα πατρώιον, ἠδέ τ' ἀλιτρόν,
ὃς σκεδάσας ὄλβον πενίῃν δαπάνῃσι διώκει,]

τὴν δ' ἰδίην ἀκμὴν φιλέοντι δίδωσιν ἐραστῇ,
τὴν δ' ἄλλου ὥρην αὐτὸς ποθέων ἀγαπήσει,
ζηλώσει δούλην δ', ἢ ψάλτριαν, ἢ πολύκοινον,
ἐχθροὺς δ' ἐκπτώσσει, τοῖς κρείττοσιν ἀντιφερίζων,
καὶ πάτρης εἴξει, ἠδ' ἐν ξείνῃ διατρίψει,
καὶ πλαστῆσι γραφαῖς ἀπελαύνεται ἄλλοσε γαίης
εἰς στεινὸν ζωῆς λύπης μέτα, ταῖς ἐπὶ τέχναις
ἀλλοτρίαις τε γραφαῖς ἐπιτέρπεται, ἢ δίχα λύπης
εὐτραπέλοισι γραφαῖς τερπνὸν βίοτον διοδεύει.

---

34 Ἡνίκα δ' ἂν Μήνη Ἑρμῇ στίλβοντι συνάπτῃ,
ῥήτορα σημαίνει, καί ῥ' ἐν μελέτῃσι σοφιστήν,
εὔγραμμον πινυτόν τ', ἐν γυμνασίοις τ' ἴσον Ἑρμῇ.

---

35 Σκορπίος, Αἰγόκερως καὶ Καρκίνος ἠδ' ἄρ' οἱ Ἰχθῦς
ἐκ φολίδων πολλῶν συγκείμενοί εἰσι τὸ σῶμα,
καὶ λεπίδων πολλῶν λεπτῶν θ' ἅμα καὶ πολυχρώμων·
ἐν τούτοισι τυχὼν Πρέσβυς καὶ λοίγιος Ἄρης
καὶ Μήνη κεραὴ καὶ γλαυκιόωσα Κυθήρη
ψώρην καὶ λέπρην, ἀλφούς, λειχῆνας ἔτευξαν.
κεντρωθεὶς δ' Ἄρης ἤν πως φαίνοιτο σὺν Ἑρμῇ
Ἠελίου οἴκῳ καθορώμενος, ἐχθρὸς ἐπ' ἐχθρῷ,
ὀφθαλμὸν βλάπτει, εἰ μέν θ' ἕνα φωσφόρον ἀθροῖ·
εἰ δ' ἄμφω κατίδοιτ', ἀλαὸν καὶ πηρὸν ἔθηκεν.

---

36 Εἰ δ' ἀγαθὸς σωτὴρ φαεσίμβροτος οὐράνιος Ζεὺς
αὐξιφαοῦς Μήνης ὑποδέξεται ἱερὸν ὄμμα,
ἀρχῇ καὶ πίστει καὶ τιμαῖς ἐστεφάνωσεν,
εἵμασι πορφυρέοις τε φέρει κοσμούμενον ἄνδρα.

---

37 Ὁ Κρόνος Ἑρμείαν κατέχων Κριοῦ ἐνὶ οἴκῳ,
ἣν Μήνην ἐσίδῃ ὕψωμ' ἀνιοῦσαν ἑαυτῆς,
ὡρονόμου τε κρατῆσι, βραβεὺς τοῦ πνεύματος αὐτός,
τραυλὸν ἐνὶ γλώσσῃ, ἀχαρίστατον εἶδος ἔχοντα,
ταῖς ἀκοῇσι βαρὺν καὶ τοῖς ποσὶν ἠδὲ καὶ ἄρθροις,
[ἀστρολόγον πινυτὸν καὶ ῥήτορα καὶ φιλόμουσον,
ῥυθμοῖς καὶ μέτρων ποιήμασιν εὔστοχον ἄνδρα,
σχήμασιν εὐθαρσῆ καὶ χρώμασιν ἀπρονόητον,]
[πουλύγαμον, τέκνοισιν ἐπώδυνον ἠδὲ πολύτλαν,]
εὔμουσον, λιγυρόν, φιλοπαίγμονα τῇ διανοίῃ,
[οὗ πόρος ἐστὶ φύσις, ἡ δ' αὖ φύσις ἐστὶν ὁ δαίμων,
καὶ σοφίῃσι λόγων φυσικῶν βίοτον μεθοδεύων,]
ζωῆς καὶ μούσης εὐσύνθετον εἰς τὸ νοῆσαι
ἀνθολόγοισι τροφαῖς ἠδ' εἰν ἰδίῃσι μελίσσαις.

---

38 Εὔσφυρος Ἑρμείης ἣν Ζηνὶ μόνῳ συνοδεύῃ,
εὔπορος ἀκριβής τε φύσει, κυκλῶν τὸ νόμισμα·
σμικρολόγος γὰρ ἐὼν πολλοῖσι τόκοις ἀναβαίνει,
φειδωλός, ψηφῶν τε φιλάργυρος ἠδὲ δανειστής.
ἐν δὲ τρίταις χώρῃσιν ἀφ' ὡρονόμοιο τυχήσας
ἀγρευτῆρι λίνῳ ἀνεφέλκεται ἐξ ἁλὸς ἰχθύν.
εἰ δ' Ἄρην ἐσίδοις θυμούμενον ἐκ διαμέτρου,
καὶ δολίοισι βρόχοις ὀρεσίτροφα πάντα κυνηγεῖ.

---

39 Ἣν Παφίην εὕρῃς περιπλεξαμένην τὸν Ἄρηα,
μοιχοὺς καὶ λάγνους καὶ παντοπαθεῖς ἐποίησεν.

---

40 Ἐν Παφίης οἴκοις ὁ Ζεὺς ἐπίδοξος ὑπάρχει,
καί ῥ' οὕτως παρέχει, ἣν καὶ ἐπίδοξα τὰ φῶτα·
IV [ἀφνειοί, μεγάλοι, περικαλλέες, ὄμμασι γαῦροι,
λευκοί, καὶ ξανθοῖσιν ἐπαντέλλοντες ἰούλοις,
εὐπρόσιτοι, γλυκεροί, σοβαροί, χαρίεντες ἀοιδοί,

εὔθικτοι, πινυτοί, εὐσχήμονες, ἀρχικυνηγοί,
οὐχὶ μόνον ζώων θηρήτορες, ἀλλὰ γυναικῶν,
δισσολόγοι, δίγαμοι, δίγονοί θ' ἅμα καὶ διπολῖται,
* φαινόμενοι πᾶσιν μακαριζόμενοί τε.]
† καὶ πάτρῃ χαίρουσι, καὶ ἐν ξείνοισι βιοῦσιν·
† τιμῶνται συνεχῶς ἠδ' ἐξ ἀλόχων ἀγαπῶνται·
† αὐχοῦσιν στεφάνοις, φιλίαις γήθουσιν ἀνάκτων·
† μαρτυρίαις δόξῃσί τ' ἀγαλλόμενοι σελαγεῦνται,
† πενθερικοῖς θαλάμοισι διωκόμενοι καθορῶνται,
† ἢ κλοπίμως φθείρουσι λέχη ἰδίων συνεφήβων.
[κἂν ἄστει φαίνονται, ἰδ' ἐν στρατιῇσιν ὁρῶνται.]

41 Ἢν δὲ τ' ἔχῃ σύνδεσμον ἐπ' Ἠέλιόν ποτε Μήνη,
ἐκ πενίης πλουτεῖ τε καὶ εἰς πενίην ἀνακάμπτει·
δόξαν ἔχει τέχνης Ἑκατησίου εἵνεκα κέρδους,
καὶ μαγικῇ συνέσει πέπιθεν τὰ πνεύματα φεύγειν,
καὶ κρυφίμαις βίβλοις ἐπαγαλλόμενος περιείργει·
πίστεις μὲν παρέχει σοβαραῖς μεγάλῃσι γυναιξίν,
ἐκ δὲ τύχης μικρῆς ἐπὶ μείζονα πίστιν ὁδεύει.
κἢν εὕρῃ Μήνη μετὰ τὴν λύσιν ἀστέρας ἐσθλούς,
σιτοδόται, κτίσται, μὴ φειδόμενοι φιλοτίμως
ὄλβον καὶ πλοῦτον καὶ χρήματα χρυσοφορητὰ
εἰς βυθόν, εἰς ἀνέμους διαπαιζόμενοι δαπανῶσιν,
καιροῖσιν πάμπαν, τὸ πλέον δὲ περισσὰ διδόντες
λείπονται πάντων ἐλεούμενοι οὐδὲν ἔχοντες.

---

42 Τὰς αὐτὰς δυνάμεις εἴτ' ἀνδράσιν εἴτε γυναιξὶν
σκεπτόμενος προλέγω, ὥρη δὲ φύσιν διορίζει·
ἀλλὰ καὶ ὧς ἐρέω τοῖς σχήμασι καὶ τὰ γυναικῶν.
σώφρονας ἡ Παφίη οἴκοις ἰδίοις, μετὰ Ζηνὸς
εὐμόρφους, πινυτάς τ', ἢν καὶ Στίλβοντα καθεύρῃ·
καὶ πόρνας ὁ Κρόνος ἀσχήμονα ἔργα τελούσας,

*ἐν διθύροις αἰεί τε προϊσταμένας ἀναφανδόν.*
*τετράποσιν ζώοισιν εἰ ἣ στείχουσα Σελήνη,*
*εἰ καὶ τὴν ὥρην ἐν τετραπόδεσσι καθεύροις,*
*ἀρρήτοις ἔργοισι μιαίνεται, ἠύτ' ἐπ' ἔργοις*
*ἐκ στομάτων αἰσχροῖς διαβαλλομένη κακοφήμως.*
*εἰ δ' Ἄρης ἠοῦς γε μεσουρανέοιτο, λογίζου,*
*ἣ πολλοῖς μήτηρ ἐπὶ δάκρυσιν ἔστεν' ἄτεκνος.*
*εἰ δὲ Κρόνος Παφίην ἰδίοις οἴκοισι καθεύροι,*
*κἢν φάσκῃ τίκτειν ἐκ νηδύος, οὔ ποτε τίκτει,*
*ψευδομένη δ' ὠδῖνας ἀνώδυνός ἐστιν ἄτεκνος,*
*ἀλλοτρίην τε γονὴν ὑποβαλλομένη κακοτέχνως*
*καὶ κλίνασα δέμας στεῖρα λοχός ἐστ' ἐπὶ κλίνης,*
*καὶ πλαστὴ μήτηρ ἐσκήψατο τὴν φάσιν ἁγνῶς.*

---

IV 43 *Ἄρεα καὶ Παφίην συναφαῖς εὑροῦσα Σελήνη*
*Ἠελίοιο τόποις ἢ καὶ Στίλβοντος ἐν οἴκοις,*
*ἣν διάμετρον ἔχῃ δνοφερὴν ἀκτῖνα Κρόνοιο,*
*ἰσχνὴν καὶ λυπρήν, κακοπρήγμονα καὶ κακόβουλον,*
*αὐστηρήν, προπετῆ, πολυπρήγμονα, βάσκανον αἰεί,*
*εὔκνιστον, πρόλαλον καὶ βληχρὴν καὶ φιλόνεικον,*
*λυσσάδα, ζηλότυπον καὶ ἀγνώμονα καὶ περίεργον,*
*πῆμα λυγρῷ γαμέτῃ συναλιζόμενον κακοῆθες·*
*ἀλλ' ὑπὸ τῆς Παφίης ἀμβλυνομένη μεταβάλλει.*

---

# *ΕΚ ΤΩΝ ΔΩΡΟΘΕΟΥ.*

*Ἡφαιστίωνος τοῦ Θηβαίου ἐκ τοῦ πρώτου περὶ τῶν καταρχῶν : ἐκ τῶν Δωροθέου.*

*Κριός.*

*Ἀρχαίη Βαβυλὼν Τυρίου Βήλοιο πόλισμα,*
*ὕστατα δ' Ἀρραβίης, γείτων χθονὸς Αἰγύπτοιο.*

*Ταῦρος.*

*Θηρὶ δ' ὑπέστρωται κλίμα Μηδικὸν Ἀρραβίη τε,*
*ἠδὲ καὶ εὐβώλοιο καλὸν πέδον Αἰγύπτοιο.*

*Δίδυμοι.*

*Ἔστι δὲ φωνῆεν κλίμα Καππαδοκῶν ὑπὸ τῷδε,*
*ἠδέ τε Περραιβῶν καὶ Φοινίκων θεοτεύκτων.*

*Καρκίνος.*

*Τῷ δ' ὕπο Θρηίκων τε καὶ Αἰθιόπων κλίμα κεῖται.*

*Λέων.*

*Τῷ δ' ὑπόκειθ' Ἑλλὰς Φρυγίη δ' ἅμα καὶ στόμα Πόντου.*

*Παρθένος.*

*Τῇ δ' ὕπο πᾶσα Ῥόδος καὶ Κυκλάδες ἄμμιγα νῆσοι,*
*καὶ δρυὸς ὠγυγίης ἄκρ' Ἀρκάδες ἄνδρες ἔδοντες,*
*καὶ βαθυδινήταο μέγας ῥόος Ὠκεανοῖο,*
*καὶ κλίμ' Ἀχαιικὸν ἔσκε Λακωνίδος ἠδὲ Λακώνων.*

*Ζυγός.*

* * * *κλίμα Κυρήνης ὑπὸ χηλαῖς,*
*Ἰταλίη χώρη τε πέλει πλάστιγγας ὑπ' αὐτάς.*

Σκορπίος.

* * * ὑπὸ δ' αὐτῷ ἔπλετο πᾶσα
Καρχηδὼν Τυρίης Διδοῦς ὕπο δωμηθεῖσα,
Ἄμμωνος Λιβύη, σύν τ' οἴδματι Σικελίη χθών.

Τοξότης.

Ἔστρωται δ' ὑπὸ τῷδε βαθυπλούτων κλίμα Γάλλων,
καὶ Κρήτη Κρονίδαο Διὸς τροφός, ἧχί τε μύστης
ἁρπαγίμης ὑμέναιος ἔφυ κρατερῆς Εὐρώπης·
τῷ δ' ὕπο Κιμμερίη τέταται χθὼν ἡ πανέρημος.

## Ἐκ τῶν τοῦ αὐτοῦ Δωροθέου περὶ ὁρίων.

Κριός.

Ἓξ δ' ὁρίων ἐπέχει μοίρας Φαέθων ἐνὶ τούτῳ
τὰς πρώτας, μετέπειτα δ' ἴσας λάχεν ἡ Κυθέρεια,
ὀκτὼ δὲ Στίλβων τρίτατος, Πυρόεις δέ τε πέντε·
τὰς δ' ὑπολειπομένας ἔλαχεν Φαίνων ἴσα Θούρῳ.

Ταῦρος.

Ὀκτὼ δ' ἔλλαχε τὰς πρώτας μοίρας Κυθέρεια
ἐν τούτῳ· Στίλβων δὲ μετ' αὐτὴν ἔλλαχε μοίρας
δὶς τρεῖς, καὶ Φαέθων ἔλαχ' ὀκτώ, πέντε δὲ Φαίνων·
τὰς δ' ὑπολειπομένας ἔλαχεν Πυρόεις μετὰ τούσδε.

Δίδυμοι.

Στίλβων ἐν τούτῳ προτέρας ἓξ ἔλλαχε μοίρας,
τὰς δ' ἴσας Φαέθων, τριτάτη Παφίη λάχε πέντε,
ἑπτὰ δὲ θοῦρος Ἄρης, ἓξ δ' αὖ Φαίνων μετέπειτα.

Καρκίνος.

Ἑπτὰ δὲ τὰς προτέρας ὁρίων μοίρας λάχε Θοῦρος
ἐν τούτῳ, μετέπειτα καὶ ἓξ λάχεν ἡ Κυθέρεια,
τὰς δ' ἴσας Ἑρμῆς, φαέθων Ζεὺς ἑπτὰ μετ' αὐτόν,
δὶς δὲ δύω πυμάτας ἔλαχε Κρόνος ἀγκυλομήτης.

Λέων.

Ἓξ δ' ἐπέχει Φαέθων προτέρας μοίρας ἐνὶ τούτῳ,

πέντε δ' ἔχει Παφίη· Φαίνων δ' ἔχει ἑπτὰ μετ' αὐτήν,
ἓξ δ' ἔχει Ἑρμείας, πυμάτας δ' ἓξ ἔλλαχεν Ἄρης.

Παρθένος.

Ἑπτὰ δὲ τὰς προτέρας ἔλαχε Στίλβων πάλι ταύτης,
καὶ δέκα Κύπρις ἔχει μοίρας, Φαέθων δὲ μετ' αὐτὴν
τέσσαρας, ἑπτὰ δ' Ἄρης· πυμάτας δύο δ' ἔλλαχε Φαίνων.

Ζυγός.

Ἓξ δ' ὁρίων μοίρας ἔλαχεν Φαίνων ἐνὶ τούτῳ,
ὀκτὼ δὲ στίλβων ἀστὴρ μέγας Ἑρμάωνος,
ἑπτὰ δὲ Ζεὺς φαέθων, Παφίη δ' ἴσας λάχεν ἑπτά·
τὰς δ' ὑπολειπομένας δισσὰς λάχεν Ἄρεος ἀστήρ.

Σκορπίος.

Ἑπτὰ δέ τοι μοίρας ὁρίων Πυρόεις λάχε τούτου,
τέσσαρας αὖ Παφίη, ὀκτὼ Στίλβων, μετέπειτα
πέντε Ζεὺς φαέθων, πυμάτας δ' ἓξ ἔλλαχε Φαίνων.

Τοξότης.

Δώδεκα δὲ προτέρας Φαέθων μοίρας λάχε τούτου,
πέντε δέ τοι Παφίη· τρίτατος στίλβων μετὰ τούσδε
τέσσαρας Ἑρμείας ἔλαχεν, Φαίνων δέ τε πέντε·
τὰς δ' ὑπολειπομένας Ἄρης λάχε δὶς δύο μοίρας.

Αἰγόκερως.

Ἑπτὰ δὲ τὰς πρώτας ἔλαχε Στίλβων πάλι μοίρας,
ἑπτὰ δέ τοι Φαέθων, δὶς τέσσαρας ἡ Κυθέρεια,
Φαίνων δὶς δύ' ἔχει, πυμάτας δ' Ἄρης ἴσα τούτῳ.

Ὑδροχόος.

Ἑπτὰ δὲ τὰς προτέρας Ἑρμῆς λάχεν· εἶτα μετ' αὐτὸν
ἓξ μοίρας Κύπρις· Φαέθων μετέπειτα λάχ' ἑπτά,
πέντε δὲ θοῦρος Ἄρης, πυμάτας δὲ Κρόνος λάχε πέντε.

Ἰχθύες.

Δώδεκα δὲ προτέρας μοίρας λάχε Κύπρις ἁπάσας,

*δὶς δὲ δύω Φαέθων, Στίλβων τρεῖς, ἐννέα Θοῦρος·*
*τὰς δ' ὑπολειπομένας δισσὰς Φαίνων λάχε μοίρας.*

## Δωροθέου περὶ τριγώνων.

*Κριὸς χαιτήεις τε Λέων τόξοιό τε Ῥυτὴρ*
*ἤματος Ἠελίοιο, Διὸς δέ τε νυκτὸς ἔασιν*
*ἀλλάγδην· αἰνὸς δὲ Κρόνος τριτάτην λάχεν αἶσαν*
*Ταύρου· Παρθενικῆς δὲ καὶ Αἰγόκερω κρατέουσιν*
*ἤματος Ἀφρογενής, νυκτὸς δέ τε δῖα Σελήνη,*
*καὶ τρίτατος μετὰ τοῖσι θεὸς πολέμοισιν ἀνάσσων·*
*ἐν δέ νυ Παρθενικῇ Μαίης προσλάμβανε κοῦρον.*
*ἐν Διδύμοις Ζυγῷ τε καὶ Ὑδροχόῳ κρυόεντι*
*ἡμάτιος Φαίνων, ἀτὰρ ἔννυχος Ἀργειφόντης·*
*τούτων δ' ὑστατίην Κρονίδης μοιρήσατο τάξιν.*
*Καρκίνου αὖτε λάχεν καὶ Σκορπίου ἠδέ τε λοίσθους*
*Ἰχθύας ἠματίη Κύπρις, Πυρόεις δέ τε νυκτός,*
*καὶ μετὰ τοὺς ἑλικῶπις ἔχει βασίλισσα Σελήνη.*

## Τοῦ αὐτοῦ ἐν οἷς χαίρουσι τόποις οἱ ἀστέρες.

*Αἱρετοὶ ἐκ τούτων μᾶλλον Κρόνος εἰν Ὑδροχῆι,*
*Ζεὺς δ' ἐνὶ Τοξευτῇ, καὶ Σκορπίῳ ἥδεται Ἄρης·*
*Κύπρις δ' ἐν Ταύρῳ γάνυται νόον, ἐν δέ νυ Κούρῃ*
*Ἑρμείας· εἷς δ' ἔστι δόμος φωστῆρος ἑκάστου.*

## Τοῦ αὐτοῦ περὶ ὑψωμάτων.

*Ἥλιος Κριοῖο κατ' ἐννέα καὶ δέκα μοίρας*
*ὑψοῦται, Μήνη δὲ περὶ τριτάτην Ταύροιο,*
*εἰκοστῇ δὲ μιῇ Ζυγοῦ Κρόνος· Αἰγίοχος δὲ*
*Καρκίνου ἐν δεκαπέντε, καθ' ἑβδομάδας δὲ τετάρτας*
*Ἄρης Αἰγόκερω, περὶ δ' ἐννέα τρισσάκι Κύπρις*
*Ἰχθύσι, Παρθενικῆς δὲ τρίτην κατὰ πεντάδα Ἑρμῆς·*
*αἱ δὲ ταπεινώσεις ὑψώμασιν ἐν διαμέτρῳ.*

# ΕΚ ΤΩΝ ΑΝΝΟΥΒΙΩΝΟΣ.

## *Περὶ μοίρας ὡροσκοπούσης ὡς Ἀννουβίων ἐν τοῖς ἐλεγείοις.*

*Ὡρονόμου δὲ μάθοις ὥρην ἄτερ ἀστράσιν ἄλλοις*
*σκεπτόμενος Μήνην καὶ μέγαν Ἠέλιον·*
*ἡμερινῇ γενέσει μὲν ἀπ' Ἠελίοιο, νοήσας*
*οἴκου δεσπόζων ἔνθα βέβηκε θεός·*
*κεῖθεν δὲ στοιχηδὸν ἀριθμηθήμεναι ἄστρα*
*μέχρι Σεληναίης ἀστέρος ἱσταμένου·*
*πάντα δ' ἀπ' Ἠελίοιο διέκβαλε τοῦτον ἀριθμόν,*
*εἰς ὅ τι δ' ἂν λήξῃ, κεῖθι καὶ ὡρονόμος.*
*χρὴ δὲ Σεληναίης προτέρης ἀνελέσθαι ἀριθμόν,*
*ὥρην νυκτερινὴν σκεπτόμενον θέματος·*
*εἰ δέ κεν Ἠέλιος ὀλίγας μοίρας ἔχῃ ἄστρων,*
*χρὴ τετράγωνά θ' ὁρᾶν καὶ διάμετρα τόπων.*

---

In meinem Verlage ist nun vollständig erschienen und in allen Buchhandlungen zu haben:

# Reallexikon
des
# classischen Alterthums
für
# Gymnasien.

## Im Verein mit mehreren Schulmännern herausgegeben
von
## Dr. Friedrich Lübker,
Director des Gymnasiums in Parchim.

**Vollständig in einem Bande von 65½ Bogen gr. Lexikon-Format.**

**Preis broschirt 3 Thlr. 12 Ngr.**

Das Bedürfniß eines compendiösen Realwörterbuchs über die in Schulen gelesenen griechischen und lateinischen Classiker für die Hand der Jugend ist so vielseitig ausgesprochen worden, daß die unterzeichnete Verlagshandlung den wiederholt an sie ergangenen Aufforderungen, zur Veröffentlichung eines solchen die Hand zu bieten, nicht länger widerstreben mochte. Es mußte bei der Herstellung desselben eine Hauptaufgabe sein, den Umfang des Werkes möglichst zu beschränken und doch durch eine sparsame compresse Einrichtung des Drucks die nöthige Vollständigkeit zu erreichen, um dem Schüler unserer höheren Lehranstalten über alle in seinem Bereich liegenden Gegenstände des classischen Alterthums, soweit er sich darüber nicht in den gewöhnlichen griechischen und lateinischen Wörterbüchern unterrichten kann, die gesuchte Auskunft zu geben. Es war deshalb erforderlich, in der ganzen Behandlungsweise lediglich den Zweck als maßgebend zu betrachten, den Studien unserer Schüler und eben damit dem unmittelbaren Nutzen der Schule zu dienen. Dies war im Wesentlichen eine Beschränkung des Inhalts auf die für unsere in Gymnasien unterrichtete Jugend wissenswürdigen Theile und Seiten des Alterthums, auf den Bereich der vorzugsweise in Schulen gelesenen Classiker, auf alle diejenigen Gebiete und Gegenstände des Alterthums, deren Verständniß dem jungen Leser so recht anschaulich und fruchtbar gemacht werden kann. Es galt also vor allen Dingen, einerseits die rechte Lesung der großen Alten selbst zu unterstützen, andererseits von kleinen Punkten aus einen Ueberblick über größere Partieen und eine Einsicht in den Zusammenhang des antiken Lebens und Denkens zu vermitteln. Aus diesem Grunde mußte der Herausgeber bemüht sein, eine Menge vereinzelter und eben darum anhaltslos verschwindender Notizen in Ein größeres Ganze zusammenzufassen, was nur bei den geographischen Artikeln weniger

erreichen stand, da hier eine kurze Orientirung über Lage und Bedeutung eines Orts oft vollkommen genügt, eine Verweisung aber auf das größere Ganze, dem es angehört, unnöthigen Raum in Anspruch nimmt und beim Gebrauche unbequem ist. So sind die zusammenfassenden Artikel, wie Baukünstler, Belagerung, Bildhauer, Bücherwesen, Disciplina militaris, Divinatio, Epos, Erziehung, Exercitus, Geographia, Grammatiker, Historia, Judicia, Kleidung, Komoedia, lyrische Poesie, Mahlzeiten, Musica, Mythologie, Opfer, Priester, Proceß (attischer), Πρόσοδοι, Religion, Schauspiele, Schulwesen, Staatsformen, Sternbilder, Tragoedia, Vectigal, Volkslied, Winde, Zauberei entstanden. Aus demselben Grunde wird auch von einigen Kriegen, wie den punischen, dem peloponnesischen, dem trojanischen 2c., eine Uebersicht gegeben.

Zur Ausführung des Unternehmens ist dem Herausgeber die Mitwirkung tüchtiger Mitarbeiter in erfreulichem Maße zu Theil geworden: Hr. Director Classen in Frankfurt a. M. lieferte die Artikel Brutus, Julius Cäsar und Pompejus; — die Herren Rector Eckstein und Dr. H. Keil in Halle eine Reihe von Beiträgen aus der römischen Literaturgeschichte; Herr Conrector Dr. Hudemann in Leer aus der griechischen und römischen Geschichte; Herr Dr. Jessen in Kiel griechische Literaturgeschichte und Geschichte (auch einige lateinische, wie Cicero); — Herr Dr. Pfitzner in Parchim bearbeitete sämmtliche Artikel aus den griechischen und römischen Kriegsalterthümern; Herr Professor Dr. Rein in Eisenach die römischen Rechts-, Staats- und Privatalterthümer; Herr Prof. Siefert in Altona die alte Geographie; Herr Conrector Stoll in Weilburg die antike Religion und Mythologie und die epische und lyrische Poesie der Griechen; Herr Prof. Dr. Witzschel in Eisenach übernahm das Fach der dramatischen Literatur und Kunst; Herr Gymnasiallehrer Zelle in Greiffenberg bearbeitete die griechischen Staats- und Privatalterthümer, während der Herausgeber endlich eine Anzahl der allgemeinen und zusammenfassenden Artikel, ferner fast alle Beiträge aus der Geschichte der Philosophie, literarhistorische und andere Artikel geliefert hat, die zur Ergänzung der eintretenden Lücken erforderlich waren. Zur Veranschaulichung der wichtigsten Gegenstände aus dem Leben, der Culturgeschichte, der Topographie u. s. w. sind hie und da Illustrationen beigegeben worden, so weit es die Rücksicht auf einen billigen Preis nur irgend zuließ.

Die bereits erschienenen günstigen Beurtheilungen in der Zeitschrift für Gymnasialwesen 1853 S. 709 ff., in dem Literar. Centralblatte 1854 Nr. 12, in den Heidelberger Jahrbüchern der Literatur 1854 Nr. 44, in der Allgemeinen Schulzeitung 1854 Nr. 114, in der Zeitschrift für östreichische Gymnasien 1854 u. s. w. lassen die unterzeichnete Verlagshandlung auf eine rege Theilnahme für das nun vollständige Werk um so sicherer rechnen, als sie einen außerordentlich billigen Preis dafür gestellt hat und außerdem gern bereit ist, bei 10 auf einmal bestellten Exemplaren ein Freiexemplar zu liefern.

Leipzig. **B. G. Teubner.**